ISOCRATES
ÆSCHINIS
DEMOSTHENI
ET
THUCYDIDIS

12
X
77

REAL ACADEMIA ESPAÑOLA

REAL ACADEMIA ESPAÑOLA

2-6

12-X-77

Τῶν τῆς Ἑλλάδος ἐξόχων

# ῬΗΤΟΡΩΝ

ΙΣΟΚΡΑΤΟΥΣ, ΑΙΣΧΙΝΟΥ,

ΚΑΙ ΔΗΜΟΣΘΕΝΟΥΣ

Λόγοι τινὲς, καὶ πλεῖσται τῶν ἐκ

ΘΟΥΚΥΔΙΔΟΥ

ΔΗΜΗΓΟΡΙΩΝ.

EXCELLENTIUM GRÆCIÆ

# ORATORUM

ISOCRATIS, ÆSCHINIS,

& DEMOSTHENIS

Orationes quædam, & plures ex Thucydidis Concionibus.

*Ad usum Seminarii Patavini.*

PATAVII, Typis Seminari. MDCCLXV

Apud Joannem Manfrè.

*SUPERIORUM PERMISSU.*

# TYPOGRAPHUS
## Studiosæ Juventuti Seminarii Patavini.
## FELICITATEM.

*CUm jam aliquot ex Græcis Scriptoribus monumenta nostris excusa typis in lucem venerint, nondum tamen ea attigerimus, quæ ad Artem Oratoriam plurimum conferunt; tandem ad hanc etiam Græcæ Litteraturæ partem, quæ sine controversia nobilissima est, animum applicuimus, ut Adolescentibus, qui in Seminario, & Collegio nostro sunt, abunde succurrere videremur. Sed quoniam ex iis Oratoribus, qui olim Athenis, hoc est in tota Græcia maxime floruerunt, Isocrates lepidissimum, ac plane venustum dicendi genus sequutus est, Æschines vero, & Demosthenes gravem, & sublimem orationis speciem usurparunt; satius esse visum est, quasdam ex singulis, easque pulcherrimas o-*

*rationes seligere, ne quidquam omnino de-
esset, seu quis elegantiam, & leporem
quæreret, seu vim argumentorum, & pon-
dus desideraret. Quantum enim cæteris o-
mnibus dicuntur hi duo præstitisse in cau-
sis agendis, iis præcipue, quas in se in-
vicem de Corona, deque male gesta Le-
gatione mutua malevolentia, atque inimi-
cissimis animis habuerunt; tantum ille
valuit ad permulcendas hominum mente
eloquentiæ lenociniis, & ad animos Juve-
num optimis præceptis imbuendos. Thu-
cydidis præterea conciones plures addidi-
mus, plenas ubique sententiarum, eam-
que nobis exhibentes Majestatem sermo-
nis, quæ plane decet Historicorum Prin-
cipem, virumque in Rep. administrand
optime versatum. Restat, ut quæ Vobis
vestrisque studiis subsidia liberalissim
paramus, ea Vos quidem, Studiosi Ado-
lescentes, benevole suscipiatis, nos a
rem existimetis de nulla re magis es
sollicitos, quam ut vestræ utilitati, &
progressui more nostro consulamus. Va-
lete.*

# ἸΣΟΚΡΆΤΟΥΣ
# ΠΡΌΣ
# ΔΗΜΌΝΙΚΟΝ

## Λόγος Παραινετικός.

ἘΝ πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διεστώσας εὑρήσομεν τάς τε τῶν σπουδαίων γνώμας, καὶ τὰς τῶν φαύλων διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς πρὸς ἀλλήλους συνηθείαις. οἱ μὲν γὰρ τοὺς φίλους παρόντας μόνον τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγαπῶσι. καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος διέλυσε· τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν ἐξαλείψειεν. ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρεγομένους, καὶ παιδείας ἀντιποιουμένους τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητὰς, ἀπέσταλκά σοι τόνδε τὸν λόγον δῶρον, τεκμήριον μὲν τῆς πρὸς ὑμᾶς φιλίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας. Πρέπει γὰρ τοὺς παῖδας, ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς φιλίας τῆς πατρικῆς κληρονομεῖν· ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν, καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς, ἐγὼ δὲ παιδεύειν ἄλλους ἐπιχειρῶ· καὶ σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ. Ὅσοι μὲν οὖν πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγγράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν· οὐ μὴν περί γε τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν· ὅσοι δὲ τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν δεινότητα τὴν ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη σπουδαῖοι πεφυκέναι δόξουσι, τοσούτῳ μᾶλλον ἐκείνων, τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν, οἱ δὲ καὶ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι· διόπερ

ἡμεῖς οὖν οὐ παράκλησιν εὑρόντες, ἀλλὰ παραίνεσιν γράψαντες, μέλλομέν σοι συμβουλεύειν, ὧν χρὴ τοὺς νεωτέρους ὀρέγεσθαι, καὶ τίνων ἔργων ἀπέχεσθαι, καὶ ποίοις τισὶν ἀνθρώποις ὁμιλεῖν, καὶ πῶς τὸν ἑαυτῶν βίον οἰκονομεῖν. Ὅσοι γὰρ τοῦ βίου ταύτην τὴν ὁδὸν ἐπορεύθησαν, οὗτοι μόνοι τῆς ἀρετῆς ἐφικέσθαι γνησίως ἠδυνήθησαν, ἧς οὐδὲν κτῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι· κάλλος μὲν γὰρ ἢ χρόνος ἀνήλωσεν, ἢ νόσος ἐμάρανε· πλοῦτος δὲ κακίας μᾶλλον, ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν. Ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψε· καὶ τὰ μὲν σώματα τῶν ἀσκούντων ἐκόσμησε, ταῖς δὲ τῆς ψυχῆς ἐπιμελείαις ἐπεσκότησεν· ἡ δὲ τῆς ἀρετῆς κτῆσις, οἷς ἂν ἀκιβδήλως ταῖς διανοίαις συναυξηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησιμωτέρα δὲ εὐγενείας ἐστί· τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα, δυνατὰ καθιστᾶσα, τὰ δὲ τῷ πλήθει φοβερὰ θαρσαλέως ὑπομένουσα· καὶ τὸν μὲν ὄκνον, ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη· ῥᾴδιον δὲ τοῦτο καταμαθεῖν ἐστιν ἔκ τε τῶν Ἡρακλέους ἄθλων, καὶ τῶν Θησέως ἔργων· οἷς ἡ τῶν τρόπων ἀρετὴ τηλικοῦτον εὐδοξίας χαρακτῆρα τοῖς ἔργοις ἐπέβαλεν, ὥστε μηδὲ τὸν ἅπαντα χρόνον δύνασθαι λήθην ἐμποιῆσαι τῶν ἐκείνοις πεπραγμένων· οὐ μὴν ἀλλὰ καὶ τὰς τοῦ πατρὸς προαιρέσεις ἀναμνησθεὶς, οἰκεῖον, καὶ καλὸν ἕξεις παράδειγμα τῶν ὑπ' ἐμοῦ λεγομένων· οὐδὲ γὰρ ὀλιγωρῶν τῆς ἀρετῆς, οὐδὲ ῥᾳθυμῶν διετέλεσε τὸν βίον· ἀλλὰ τὸ μὲν σῶμα τοῖς πόνοις ἐγύμναζε, τῇ δὲ ψυχῇ τοὺς κινδύνους ὑπέμεινεν. Οὐ τὸν πλοῦτον παρακαίρως ἠγάπα, ἀλλ' ἀπέλαυε μὲν τῶν παρόντων ἀγαθῶν, ὡς θνητὸς, ἐπεμελεῖτο δὲ τῶν ὑπαρχόντων, ὡς ἀθάνατος· οὐδὲ ταπεινῶς διῴκει τὸν ἑαυτοῦ βίον, ἀλλὰ φιλόκαλός τε ἦν καὶ μεγαλοπρεπὴς, καὶ τοῖς φίλοις κοινός· καὶ μᾶλλον ἐθαύμαζε τοὺς περὶ αὐτὸν σπουδάζοντας, ἢ τοὺς τῷ γένει προσήκοντας· ἡγεῖτο γὰρ εἶναι πρὸς ἑταιρείαν πολλῷ κρείττω φύσιν νόμου, καὶ τρόπον γένους, καὶ προαίρεσιν ἀνάγκης· ἐπιλίποι δ' ἂν ἡμᾶς ὁ πᾶς χρόνος, εἰ πάσας τὰς ἐκείνου πράξεις καταριθμησαίμεθα· ἀλλὰ τὸ μὲν ἀκριβὲς αὐτῶν ἐν ἑτέροις καιροῖς δηλώσομεν· δεῖγμα δὲ τῆς Ἱππονίκου φύσεως νῦν ἐξενηνόχαμεν· πρὸς ὃ δεῖ ζῆν σε, ὥσπερ πρὸς

παράδειγμα, νόμον μὲν τὸν ἐκείνου τρόπον ἡγησάμενον, μιμητὴν δὲ καὶ ζηλωτὴν τῆς πατρῴας ἀρετῆς γιγνόμενον. Αἰσχρὸν γὰρ τοὺς μὲν γραφέας ἀπεικάζειν τὰ καλὰ τῶν ζώων, τοὺς δὲ παῖδας μὴ μιμεῖσθαι τοὺς σπουδαίους τῶν γονέων. ἡγοῦμαι δὲ μηδενὶ τῶν ἀθλητῶν οὕτω προσήκειν ἐπὶ τοὺς ἀνταγωνιστὰς ἀσκεῖν, ὡς σοὶ σκοπεῖν, ὅπως ἐφάμιλλος γενήσῃ τοῖς πατρὸς ἐπιτηδεύμασιν· οὕτω δὲ τὴν γνώμην ἀδύνατον διατεθῆναι, τὸν μὴ πολλῶν καὶ καλῶν ἀκουσμάτων πεπληρωμένον· τὰ μὲν γὰρ σώματα τοῖς συμμέτροις πόνοις, ἡ δὲ ψυχὴ τοῖς σπουδαίοις λόγοις αὔξεσθαι πέφυκε· διόπερ ἐγώ σοι πειράσομαι συντόμως ὑποθέσθαι, δι᾽ ὧν ἄν μοι δοκοίης ἐπιτηδευμάτων πλεῖστον πρὸς ἀρετὴν ἐπιδοῦναι, καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις εὐδοκιμῆσαι. Πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς θεούς, μὴ μόνον θύων, ἀλλὰ καὶ τοῖς ὅρκοις ἐμμένων· ἐκεῖνο μὲν γὰρ τῆς τῶν χρημάτων εὐπορίας σημεῖον, τοῦτο δὲ τῆς τῶν τρόπων καλοκἀγαθίας τεκμήριον. Τίμα τὸ δαιμόνιον ἀεὶ μέν, μάλιστα δὲ μετὰ τῆς πόλεως, οὕτω γὰρ δόξεις ἅμα τε τοῖς θεοῖς θύειν, καὶ τοῖς νόμοις ἐμμένειν· τοιοῦτος γίνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοῦ παῖδας. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων, μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. τούτου δ᾽ ἂν ἐπιτυγχάνοις, εἰ λήγοις τῶν πόνων ἔτι ποιεῖν δυνάμενος. Μήτε γέλωτα προπετῆ στέργε, μήτε λόγον μετὰ θράσους ἀποδέχου· τὸ μὲν γὰρ ἀνόητον, τὸ δὲ μανικόν· ἃ ποιεῖν αἰσχρόν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν. ἔθιζε σεαυτὸν εἶναι μὴ σκυθρωπόν, ἀλλὰ σύννουν, δι᾽ ἐκεῖνο μὲν γὰρ αὐθάδης, διὰ δὲ τοῦτο φρόνιμος εἶναι δόξεις. Ἡγοῦ μάλιστα σεαυτῷ πρέπειν κόσμον, αἰσχύνην, δικαιοσύνην, σωφροσύνην. τούτοις γὰρ ἅπασι δοκεῖ κρατεῖσθαι τὸ τῶν νεωτέρων ἦθος. Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν. καὶ γὰρ ἂν τοὺς ἄλλους λάθῃς, σεαυτῷ γε συνειδήσεις· τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς τίμα, τοὺς δὲ φίλους αἰσχύνου, τοῖς δὲ νόμοις πείθου· τὰς ἡδονὰς θήρευε, τὰς μετὰ δόξης· τέρψις γὰρ σὺν τῷ καλῷ μὲν ἄριστον, ἄνευ δὲ τούτου, κάκιστον· εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν μὲν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν. Ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων. καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον

ὀφθήσῃ. Μάλιστα δ' ἂν εὐδοκιμοίης, εἰ φαίνοιο ταῦτα μὴ πράττων, ἃ τοῖς ἄλλοις ἂν πράττουσιν ἐπιτιμῴης. Ἐὰν ᾖς φιλομαθὴς, ἔσῃ καὶ πολυμαθής. Ἃ μὲν ἐπίστασαι, διαφύλαττε ταῖς μελέταις· ἃ δὲ μὴ μεμάθηκας, προσλάμβανε ταῖς ἐπιστήμαις· ὁμοίως γὰρ αἰσχρὸν ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν, καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν. Κατανάλισκε τὴν ἐν τῷ βίῳ σχολὴν εἰς τὴν τῶν λόγων φιληκοΐαν. οὕτω γὰρ τὰ τοῖς ἄλλοις χαλεπῶς εὑρημένα συμβήσεταί σοι ῥᾳδίως μανθάνειν· ἡγοῦ τῶν ἀκουσμάτων πολλὰ πολλῶν εἶναι χρημάτων κρείττω· τὰ μὲν γὰρ ταχέως ἀπολείπει, τὰ δὲ πάντα τὸν χρόνον παραμένει· σοφία γὰρ μόνη τῶν κτημάτων ἀθάνατον. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπεραίνειν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν, ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν ἑαυτῶν διάνοιαν. Τῷ μὲν τρόπῳ γίνου φιλοπροσήγορος, τῷ δὲ λόγῳ εὐπροσήγορος· ἔστι δὲ φιλοπροσηγορίας μὲν τὸ προσφωνεῖν τοὺς ἀπαντῶντας, εὐπροσηγορίας δὲ τὸ τοῖς λόγοις αὐτοῖς οἰκείως ἐντυγχάνειν· ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις· οὕτω γὰρ τοῖς μὲν οὐκ ἀπεχθὴς ἔσῃ, τοῖς δὲ φίλος γενήσῃ· Τὰς ἐντεύξεις μὴ πυκνὰς ποιοῦ τοῖς αὐτοῖς, μηδὲ μακρὰς περὶ τῶν αὐτῶν· πλησμονὴ γὰρ ἁπάντων. Γύμναζε σεαυτὸν πόνοις ἑκουσίοις, ὅπως ἂν δύναιο καὶ τοὺς ἀκουσίους ὑπομένειν. Ὑφ' ὧν κρατεῖσθαι τὴν ψυχὴν αἰσχρὸν, τούτων ἐγκράτειαν ἄσκει πάντων, κέρδους, ὀργῆς, ἡδονῆς, λύπης· ἔσῃ δὲ τοιοῦτος, ἂν κέρδη μὲν εἶναι νομίζῃς δι' ὧν εὐδοκιμήσεις, ἀλλὰ μὴ δι' ὧν εὐπορήσεις· τῇ δὲ ὀργῇ ἂν παραπλησίως ἔχῃς πρὸς τοὺς ἁμαρτάνοντας, ὥσπερ ἂν πρὸς σεαυτὸν ἁμαρτάνοντα καὶ τοὺς ἄλλους ἔχειν ἀξιώσειας· ἐν δὲ τοῖς τερπνοῖς, ἂν αἰσχρὸν ὑπολάβῃς, τῶν μὲν οἰκετῶν ἄρχειν, ταῖς δ' ἡδοναῖς δουλεύειν· ἐν δὲ τοῖς λυπηροῖς, ἂν τὰς τῶν ἄλλων ἀτυχίας ἐπιβλέπῃς, καὶ σεαυτὸν ὡς ἄνθρωπος ὢν ὑπομιμνήσκῃς. Μᾶλλον τήρει τὰς τῶν λόγων, ἢ τὰς τῶν χρημάτων παρακαταθήκας· δεῖ γὰρ τοὺς ἀγαθοὺς ἄνδρας τρόπον ὅρκου πιστότερον φαίνεσθαι παρεχομένους. Προσήκειν ἡγοῦ τοῖς πονηροῖς ἀπιστεῖν, ὥσπερ τοῖς χρηστοῖς

πι-

πίστευε· περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε, πλὴν ἐὰν ὁμοίως ξυμφέρῃ τὰς πράξεις σιωπᾶσθαι σοί τε τῷ λέγοντι, κἀκείνοις τοῖς ἀκούουσι. Ὅρκον ἐπακτὸν προσδέχου, διὰ δύο προφάσεις, ἢ σαυτὸν αἰτίας αἰσχρᾶς ἀπολύων, ἢ φίλους ἐκ κινδύνων διασώζων· ἕνεκα δὲ χρημάτων μηδένα θεὸν ὀμόσῃς, μηδ' ἂν εὐορκεῖν μέλλῃς· δόξεις γὰρ τοῖς μὲν ἐπιορκεῖν, τοῖς δὲ φιλοχρημάτως ἔχειν. Μηδένα φίλον ποιοῦ πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε· βραδέως μὲν φίλος γίνου. γενόμενος δὲ, πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν, καὶ πολλοὺς ἑταίρους μεταλλάττειν· μήτε μετὰ βλάβης πειρῶ τῶν φίλων, μήτε ἄπειρος εἶναι τῶν ἑταίρων θέλε· τοῦτο δὲ ποιήσεις, ἂν μὴ δεόμενος, τὸ δεῖσθαι προσποιῇ. Περὶ τῶν ῥητῶν, ὡς ἀπορρήτων ἀνακοίνου, μὴ τυχὼν μὲν γὰρ οὐδὲν βλαβήσῃ, τυχὼν δὲ μᾶλλον τὸν τρόπον αὐτῶν ἐπιστήσῃ. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας, καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ δοκιμάζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγινώσκομεν· οὕτω δ' ἂν ἄριστα χρήσῃ τοῖς φίλοις, ἂν μὴ προσμένῃς τὰς παρ' ἐκείνων δεήσεις, ἀλλ' αὐτεπάγγελτος ἐν τοῖς καιροῖς αὐτοῖς βοηθῇς. Ὁμοίως αἰσχρὸν νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιίαις, καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας· πολλοὶ μὲν γὰρ ἀτυχοῦσι τοῖς φίλοις συνάχθονται, καλῶς δὲ πράττουσι φθονοῦσι. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας, ἵνα δοκῇς μηδὲ τούτων ἀπόντων ὀλιγωρεῖν. Εἶναι βούλου τὰ περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής· ἔστι γὰρ φιλοκάλου μὲν τὸ μεγαλοπρεπὲς, καλλωπιστοῦ δὲ τὸ περίεργον. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν· καταφρόνει τῶν περὶ τὸν πλοῦτον σπουδαζόντων, χρῆσθαι δὲ τοῖς ὑπάρχουσι μὴ δυναμένων· παραπλήσιον γὰρ οἱ τοιοῦτοι πάσχουσιν, ὥσπερ ἂν εἴ τις ἵππον κτήσαιτο καλὸν, κακῶς ἱππεύειν ἐπιστάμενος. Πειρῶ τὸν πλοῦτον χρήματα καὶ κτήματα κατασκευάζειν· ἔστι δὲ χρήματα μὲν τοῖς ἀπολαύειν ἐπισταμένοις, κτήματα δὲ τοῖς χρῆσθαι δυναμένοις. Τίμα τὴν ὑπάρχουσαν οὐσίαν

δυοῖν ἕνεκα, τῆς τε ζημίαν μεγάλην ἐκτίσαι, καὶ τοῦ φίλῳ σπουδαίῳ δυστυχοῦντι βοηθῆσαι· πρὸς δὲ τὸν ἄλλον βίον μηδὲν ὑπερβαλλόντως, ἀλλὰ μετρίως αὐτοῦ ἀγάπα· στέργε μὲν τὰ παρόντα, ζήτει δὲ τὰ βελτίω. Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη, καὶ τὸ μέλλον ἀόρατον· τοὺς ἀγαθοὺς εὖ ποίει· καλὸς γὰρ θησαυρὸς παρ' ἀνδρὶ σπουδαίῳ χάρις ὀφειλομένη· τοὺς κακοὺς εὖ ποιῶν, ὅμοια πείσῃ τοῖς τὰς ἀλλοτρίας κύνας σιτίζουσιν· ἐκεῖναί τε γὰρ τοὺς διδόντας, ὥσπερ τοὺς τυχόντας ὑλακτοῦσιν, οἵ τε κακοὶ τοὺς ὠφελοῦντας, ὥσπερ τοὺς βλάπτοντας ἀδικοῦσι. Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν· Ἐὰν ἀποδέχῃ τῶν φίλων τοὺς πρὸς τὸ φαυλότατόν σοι χαριζομένους, οὐχ ἕξεις ἐν τῷ βίῳ τοὺς πρὸς τὸ βέλτιστον ἀπεχθανομένους. Γίνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικός, ἀλλὰ μὴ σεμνός. τὸν μὲν γὰρ τὸν ὑπεροπτικὸν ὄγκον μόλις ἂν οἱ δοῦλοι καρτερήσειαν, τὸν δὲ τὸν ὁμιλητικὸν τρόπον ἅπαντες ἡδέως ὑποφέρουσιν· ὁμιλητικὸς δὲ ἔσῃ μὴ δύσερις ὤν, μηδὲ δυσάρεστος, μηδὲ πρὸς πάντας φιλόνικος, μηδὲ πρὸς τὰς τῶν πλησιαζόντων ὀργὰς τραχέως ἀπαντῶν, μηδ' ἂν ἀδίκως ὀργιζόμενοι τυγχάνωσιν· ἀλλὰ θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ τῆς ὀργῆς ἐπιπλήττων· μηδὲ περὶ τὰ γελοῖα σπουδάζων, μηδὲ περὶ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· (τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν·) μηδὲ τὰς χάριτας ἀχαρίστως χαριζόμενος· ὅπερ πάσχουσιν οἱ πολλοί, ποιοῦντες μὲν εὖ, ἀηδῶς δὲ τοῖς φίλοις ὑπουργοῦντες. μηδὲ φιλαίτιος ὤν. βαρὺ γάρ, μὴ δὲ φιλεπιτιμητής, παροξυντικὸν γάρ· Μάλιστα μὲν εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας. ἂν δὲ ποτέ σοι συμπέσῃ καιρός, ἐξανίστασο πρὸ μέθης. ὅταν γὰρ ὁ νοῦς ὑπὸ οἴνου διαφθαρῇ, ταὐτὰ πάσχει τοῖς ἅρμασι, τοῖς τοὺς ἡνιόχους ἀποβάλλουσιν· ἐκεῖνά τε γὰρ ἀτάκτως φέρεται διαμαρτάνοντα τῶν εὐθυνόντων, ἥτε ψυχὴ πολλὰ σφάλλεται, διαφθαρείσης τῆς διανοίας· ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. Ἡγοῦ τὴν παιδείαν τοσούτῳ μεῖζον ἀγαθὸν εἶναι τῆς ἀπαιδευσίας, ὅσῳ τὰ μὲν ἄλλα μοχθηρὰ πάντες κερδαίνοντες πράττουσιν, αὕτη δὲ μόνη καὶ προσεζημίωσε τοὺς ἔχοντας· πολλάκις γὰρ οὓς τοῖς λόγοις ἐλύπησαν, τούτῳ τοῖς ἔργοις τὴν τιμω-

εἶναι δόξουσιν· οὓς ἂν βούλῃ ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν πρὸς τοὺς ἀπαγγέλλοντας· ἀρχὴ μὲν γὰρ φιλίας ἔπαινος, ἔχθρας δὲ ψόγος· βουλευόμενος, παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων· τὸ γὰρ ἀφανὲς ἐκ τοῦ φανεροῦ ταχίστην ἔχει τὴν διάγνωσιν. Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα. Ἡγοῦ κράτιστον εἶναι παρὰ μὲν θεῶν εὐτυχίαν, παρὰ δ' ἡμῶν εὐβουλίαν. Περὶ ὧν ἂν αἰσχύνῃ παρρησιάσασθαι, βούλει δέ τισι τῶν φίλων ἀνακοινώσασθαι, χρῶ τοῖς λόγοις, ὡς περὶ ἀλλοτρίου τοῦ πράγματος· οὕτω γὰρ τὴν ἐκείνων τε γνώμην αἰσθήσῃ, καὶ σεαυτὸν οὐ καταφανῆ ποιήσεις· ὅταν δὲ ὑπὲρ τῶν σεαυτοῦ μέλλῃς τινὶ συμβουλεύεσθαι, σκόπει πρῶτον πῶς ὑπὲρ τῶν αὐτοῦ διῴκησεν· ὁ γὰρ κακῶς διανοηθεὶς ὑπὲρ τῶν ἰδίων, οὐδέποτε καλῶς βουλεύσεται περὶ τῶν ἀλλοτρίων· οὕτω δ' ἂν μάλιστα βουλεύεσθαι παροξυνθείης, εἰ τὰς συμφορὰς τὰς ἐκ τῆς ἀβουλίας ἐπιβλέψεις· καὶ γὰρ τῆς ὑγιείας πλείστην ἐπιμέλειαν ἔχομεν, ὅταν τὰς λύπας τὰς ἐκ τῆς ἀρρωστίας ἀναμνησθῶμεν· Μιμοῦ τὰ τῶν βασιλέων ἤθη· καὶ δίωκε τὰ ἐκείνων ἐπιτηδεύματα· δόξεις γὰρ αὐτοὺς ἀποδέχεσθαι καὶ ζηλοῦν· ὥστε συμβήσεταί σοι παρά τε τῷ πλήθει μᾶλλον εὐδοκιμεῖν, καὶ τὴν παρ' ἐκείνων εὔνοιαν βεβαιοτέραν ἔχειν. Πείθου μὲν καὶ τοῖς νόμοις ὑπὸ τῶν βασιλέων κειμένοις· ἰσχυρότατον μέντοι νόμον ἡγοῦ τὸν ἐκείνων τρόπον· ὥσπερ γὰρ τὸν ἐν δημοκρατίᾳ πολιτευόμενον, τὸ πλῆθος δεῖ θεραπεύειν, οὕτω καὶ τὸν ἐν μοναρχίᾳ κατοικοῦντα, τὸν βασιλέα προσήκει θαυμάζειν· εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις· ὧν γὰρ ἂν ἐκεῖνος ἁμάρτῃ, σοὶ τὰς αἰτίας ἀναθήσουσιν. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος· μηδενὶ πονηρῷ πράγματι μήτε παρίστασο, μήτε συνηγόρει· δόξεις γὰρ καὶ αὐτὸς τοιαῦτα πράττειν, οἷάπερ ἂν τοῖς ἄλλοις πράττουσι βοηθῇς. Παρασκεύαζε σεαυτὸν πλεονεκτεῖν μὲν δυνάμενον, ἀνέχου δὲ τὸ ἴσον ἔχειν· ἵνα δοκῇς ὀρέγεσθαι τῆς δικαιοσύνης μὴ δι' ἀσθένειαν, ἀλλὰ δι' ἐπιείκειαν. Μᾶλλον ἀποδέχου δικαίαν πενίαν, ἢ πλοῦτον ἄδικον· τοσούτῳ γὰρ κρείττων δικαιοσύνη χρημάτων, ὅσῳ τὰ μὲν ζῶντας μόνον ὠφελεῖ, ἡ δὲ καὶ τελευτήσασι δόξαν παρασκευά-

ζῆν· κἀκείνου μὲν τοῖς φαύλοις μέτεστι, ταύτης δὲ τοῖς
μοχθηροῖς ἀσύμικτον μεταλαβεῖν. Μηδένα ζήλου τῶν ἐξ
ἀδικίας κερδαινόντων, ἀλλὰ μᾶλλον ἀποδέχου τοὺς μετὰ
δικαιοσύνης ζημιωθέντας· οἱ γὰρ δίκαιοι τῶν ἀδίκων
εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' ἐν ἐλπίσι γε σπουδαίαις
ὑπερέχουσι. Πάντων μὲν ἐπιμελοῦ τῶν περὶ τὸν βίον, μά-
λιστα δὲ τὴν σαυτοῦ φρόνησιν ἄσκει. μέγιστον γὰρ ἐν ἐλαχί-
στῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. Πειρῶ τὸ μὲν σῶμα
εἶναι φιλόπονος, τῇ δὲ ψυχῇ φιλόσοφος· ἵνα τῷ μὲν
ἐπιτελεῖν δύνῃ τὰ δόξαντα, τῇ δὲ προορᾷν ἐπίστῃ τὰ συμ-
φέροντα. Πᾶν ὅτι ἂν μέλλῃς λέγειν, πρότερον ἐπισκό-
πει τῇ γνώμῃ· πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς δια-
νοίας. Νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον. οὕτω
γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυ-
πος. Δύο ποιοῦ καιροὺς τοῦ λέγειν, ἢ περὶ ὧν οἶσθα
σαφῶς, ἢ περὶ ὧν ἀναγκαῖον εἰπεῖν· ἐν τούτοις γὰρ
μόνοις ὁ λόγος τῆς σιγῆς κρείττων, ἐν δὲ τοῖς ἄλλοις
ἄμεινον σιγᾷν, ἢ λέγειν. Χαῖρε μὲν ἐπὶ τοῖς συμ-
βαίνουσι τῶν ἀγαθῶν, καὶ λυποῦ μετρίως ἐπὶ τοῖς γι-
γνομένοις τῶν κακῶν· γίνου δὲ τοῖς ἄλλοις ἐν μηδε-
τέροις ὢν καταφανής. ἄτοπον γὰρ τὴν μὲν οὐσίαν ἐν
ταῖς οἰκίαις ἀποκρύπτειν, τὴν δὲ διάνοιαν φανερὰν ἔ-
χοντα περιπατεῖν. Μᾶλλον εὐλαβοῦ ψόγον, ἢ κίνδυ-
νον· δεῖ γὰρ εἶναι φοβερὰν τοῖς μὲν φαύλοις τὴν τοῦ βίου
τελευτὴν, τοῖς δὲ σπουδαίοις τὴν ἐν τῷ ζῆν ἀδοξίαν. Μά-
λιστα μὲν πειρῶ ζῆν κατὰ ἀσφάλειαν, ἐὰν δὲ ποτέ σοι
συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν
μετὰ καλῆς δόξης, ἀλλὰ μὴ μετ' αἰσχρᾶς φήμης· τὸ
μὲν γὰρ τελευτῆσαι, πάντων ἡ πεπρωμένη κατέκρινε,
τὸ δὲ καλῶς ἀποθανεῖν, ἴδιον τοῖς σπουδαίοις ἡ φύσις
ἀπένειμε. Καὶ μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν εἰρημένων
οὐ πρέπει σοι πρὸς τὴν νῦν παροῦσαν ἡλικίαν· οὐδὲ γὰρ
ἐμὲ τοῦτο διέλαθεν, ἀλλὰ προειλόμην διὰ τῆς αὐτῆς
πραγματείας ἅμα τοῦ τε παρόντος βίου συμβουλίαν ἐξ-
ενεγκεῖν, καὶ τοῦ μέλλοντος χρόνου παράγγελμα κα-
ταλιπεῖν· τὴν μὲν γὰρ τούτων χρείαν ῥᾳδίως εἰδήσεις,
τὸν δὲ συμβουλεύοντα μετ' εὐνοίας χαλεπῶς εὑρήσεις.
ὅπως οὖν τὰ λοιπὰ μὴ παρ' ἑτέρου ζητῇς, ἀλλ' ἐντεῦθεν
ὥσπερ ἐκ ταμιείου προφέρῃς, ᾠήθην δεῖν μηδὲν παρα-
λιπεῖν, ὧν ἔχω σοι συμβουλεύειν. Πολλὴν δ' ἂν
τοῖς θεοῖς χάριν σχοίην, εἰ μὴ διαμάρτοιμι τῆς δόξης,

ὧν ἔχω περὶ σὲ τυγχάνω· τῶν γὰρ ἄλλων τοὺς πλείστους εὑρήσομεν, ὥσπερ τῶν σιτίων τοῖς ἡδίστοις μᾶλλον, ἢ τοῖς ὑγιεινοτάτοις χαίροντας, οὕτω καὶ τῶν φίλων τοῖς συνεξαμαρτάνουσι πλησιάζοντας, ἀλλ' οὐ τοῖς νουθετοῦσι· σὲ δὲ νομίζω τοὐναντίον τούτων ἐγνωκέναι, τεκμηρίῳ χρώμενος τῇ περὶ τὴν ἄλλην σε παιδείαν φιλοπονίᾳ· τὸν γὰρ αὑτῷ τὰ βέλτιστα πράττειν ἐπιτάττοντα, τοῦτον εἰκὸς καὶ τῶν ἄλλων τοὺς ἐπὶ ἀρετὴν παρακαλοῦντας ἀποδέχεσθαι· μάλιστα δ' ἂν παροξυνθείης ὀρεχθῆναι τῶν καλῶν ἔργων, εἰ καταμάθοις, ὅτι καὶ τὰς ἡδονὰς ἐκ τούτων μάλιστα γνησίως ἔχομεν· ἐν μὲν γὰρ τῷ ῥᾳθυμεῖν καὶ τὰς πλησμονὰς ἀγαπᾶν, εὐθὺς αἱ λῦπαι ταῖς ἡδοναῖς παραπεπήγασι· τὸ δὲ περὶ τὴν ἀρετὴν φιλοπονεῖν, καὶ σωφρόνως τὸν ἑαυτοῦ βίον οἰκονομεῖν, ἀεὶ τὰς τέρψεις εἰλικρινεῖς, καὶ βεβαιοτέρας ἀποδίδωσι· κἀκεῖ μὲν πρῶτον ἡσθέντες, ὕστερον ἐλυπήθημεν, ἐνταῦθα δὲ μετὰ τὰς λύπας τὰς ἡδονὰς ἔχομεν· ἐν ἅπασι δὲ τοῖς ἔργοις, οὐχ οὕτω τῆς ἀρχῆς μνημονεύομεν, ὡς τῆς τελευτῆς αἴσθησιν λαμβάνομεν· τὰ γὰρ πλεῖστα τῶν περὶ τὸν βίον, οὐ δι' αὐτὰ τὰ πράγματα ποιοῦμεν, ἀλλὰ τῶν ἐπιβαινόντων ἕνεκα διαπονοῦμεν· ἐνθυμοῦ δὲ διότι τοῖς μὲν φαύλοις ἐνδέχεται τὰ τυχόντα πράττειν· εὐθὺς γὰρ τοῦ βίου τοιαύτην πεποίηνται τὴν ὑπόθεσιν, τοῖς δὲ σπουδαίοις οὐχ οἷόν τε τῆς ἀρετῆς ἀμελεῖν, ἢ πολλοὺς ἔχειν τοὺς ἐπιπλήττοντας· πάντες γὰρ μισοῦσιν οὐχ οὕτω τοὺς ἐξαμαρτάνοντας, ὡς τοὺς ἐπιεικεῖς μὲν φάσκοντας εἶναι, μηδὲν δὲ τῶν τυχόντων διαφέροντας, εἰκότως· ὅπου γὰρ τοὺς τῷ λόγῳ μόνον ψευδομένους ἀποδοκιμάζομεν, ἦπου τοὺς τῷ βίῳ παντὶ ἐλαττουμένους οὐ φαύλους εἶναι φήσομεν; δικαίως δ' ἂν τοὺς τοιούτους ὑπολάβοιμεν, μὴ μόνον εἰς ἑαυτοὺς ἁμαρτάνειν, ἀλλὰ καὶ τῆς τύχης εἶναι προδότας· ἡ μὲν γὰρ αὐτοῖς χρήματα, καὶ δόξαν, καὶ φίλους ἐνεχείρισεν, οἱ δὲ σφᾶς αὐτοὺς ἀναξίους τῆς ὑπαρχούσης εὐδαιμονίας κατέστησαν. Εἰ δὲ δεῖ θνητὸν ὄντα τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις μάλιστα δηλῶσαι, πῶς ἔχουσι πρὸς τοὺς φαύλους καὶ τοὺς σπουδαίους τῶν ἀνθρώπων· Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι, καὶ πάντες πιστεύουσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον ἐποίησε, τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν· οἷς χρὴ

παρα-

παραδείγμασι χρωμένους ὀρέγεσθαι τῆς καλοκαγαθίας, καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις ἐμμένειν, ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα μανθάνειν, καὶ τῶν ἄλλων σοφιστῶν, ἔτι χρήσιμον εἰρήκασιν, ἀναγιγνώσκειν· ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ χρησιμώτατα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παιδείας ὀρεγομένους, μηδενὸς μὲν ἀπείρως ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν· μόλις γὰρ ἄν τις ἐκ ταύτης τῆς ἐπιμελείας τὰς τῆς φύσεως ἁμαρτίας ἐπικρατήσειεν.

# ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

ΟΙ μὲν εἰωθότες, ὦ Νικόκλεις, ὑμῖν τοῖς βασιλεῦσιν ἐσθῆτας ἄγειν, ἢ χαλκὸν, ἢ χρυσὸν εἰργασμένον, ἢ ἄλλο τι τῶν τοιούτων χρημάτων, ὧν αὐτοὶ μὲν ἐνδεεῖς εἰσι, ὑμεῖς δὲ πλουτεῖτε, λίαν ἔδοξαν εἶναί μοι καταφανεῖς, οὐ δόσιν, ἀλλ' ἐμπορίαν ποιούμενοι, καὶ πολὺ τεχνικώτερον αὐτὰ πωλοῦντες, τῶν ὁμολογούντων καπηλεύειν· ἐγὼ δ' ἡγησάμην ἂν ταύτην καλλίστην γενέσθαι δωρεὰν, καὶ χρησιμωτάτην, καὶ μάλιστα πρέπουσαν ἐμοί τε δοῦναι, καὶ σοὶ λαβεῖν, εἰ δυνηθείην ὁρίσαι ποίων ἐπιτηδευμάτων ὀρεγόμενος, καὶ τίνων ἔργων ἀπεχόμενος, ἄριστ' ἂν καὶ τὴν πόλιν καὶ τὴν βασιλείαν διοικοίης· τοὺς μὲν γὰρ ἰδιώτας ἐστὶ πολλὰ τὰ παιδεύοντα, καὶ μάλιστα μὲν τὸ μὴ τρυφᾶν, ἀλλ' ἀναγκάζεσθαι περὶ τοῦ βίου καθ' ἑκάστην ἀγωνίζεσθαι τὴν ἡμέραν· ἔπειθ' οἱ νόμοι καθ' οὓς ἕκαστοι πολιτευόμενοι τυγχάνουσιν, ἔτι δ' ἡ παρρησία, καὶ τὸ φανερῶς ἐξεῖναι τοῖς τε φίλοις ἐπιπλῆξαι, καὶ τοῖς ἐχθροῖς ἐπιθέσθαι ταῖς ἀλλήλων ἁμαρτίαις· πρὸς δὲ τούτοις, τινὲς καὶ τῶν ποιητῶν τῶν προγεγενημένων ὑποθήκας ὡς χρὴ ζῆν καταλελοίπασιν· ὥστ' ἐξ ἁπάντων τούτων εἰκὸς αὐτοὺς βελτίους γίνεσθαι· τοῖς δὲ τυράννοις οὐδὲν ὑπάρχει τοιοῦτον, ἀλλ' οὓς μᾶλλον ἔδει τῶν ἄλλων παιδεύεσθαι, ἐπειδὰν εἰς τὴν ἀρχὴν καταστῶσιν, ἀνουθέτητοι διατελοῦσιν· οἱ μὲν γὰρ πλεῖστοι τῶν ἀνθρώπων αὐτοῖς οὐ πλησιάζουσιν· οἱ δὲ συνόντες, πρὸς χάριν ὁμιλοῦσι. τοιγάρτοι κύριοι γινόμενοι καὶ χρημάτων πλείστων καὶ πραγμάτων μεγίστων, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταύταις ταῖς ἀφορμαῖς, πεποιήκασιν, ὥστε πολλοὺς ἀμφισβητεῖν, πότερόν ἐστιν ἄξιον ἑλέσθαι τὸν βίον τὸν τῶν ἰδιωτευόντων μὲν, ἐπιεικῶς δὲ πραττόντων, ἢ τὸν τῶν τυραννευόντων· ὅταν μὲν γὰρ ἀποβλέψωσιν εἰς τὰς τιμὰς, καὶ τοὺς πλούτους, καὶ τὰς δυναστείας, ἰσοθέους ἅπαντες νομίζουσι τοὺς ἐν ταῖς μοναρχίαις ὄντας· ἐπειδὰν δὲ ἐνθυμηθῶσι τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ διεξιόντες ὁρῶσι τοὺς μὲν ὑφ' ὧν ἥκιστα ἐχρῆν διεφθαρμένους, τοὺς δὲ εἰς τοὺς οἰκειοτάτους ἐξαμαρτεῖν ἠναγκασμένους, τοῖς δὲ ἀμφότερα ταῦτα συμβεβηκότα, πάλιν ὁπωσοῦν ζῆν ἡγοῦνται λυσιτελεῖν μᾶλλον, ἢ μετὰ

τοιούτων συμφορῶν ἁπάσης τῆς Ἀσίας βασιλεύειν. ταύτης δὲ τῆς ἀνωμαλίας, καὶ τῆς ταραχῆς αἴτιόν ἐστιν, ὅτι τὴν βασιλείαν ὥσπερ ἱερωσύνην παντὸς ἀνδρὸς εἶναι νομίζουσιν, ὃ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι, καὶ πλείστης προνοίας δεόμενον· καθ' ἑκάστην μὲν οὖν πρᾶξιν, ἐξ ὧν ἄν τις μάλιστα δύναιτο κατὰ τρόπον διοικεῖν, καὶ τὰ μὲν ἀγαθὰ διαφυλάττειν, τὰς δὲ συμφορὰς διαφεύγειν, τῶν ἀεὶ παρόντων ἔργον ἐστὶ συμβουλεύειν· καθόλου δὲ τῶν ἐπιτηδευμάτων ὧν χρὴ στοχάζεσθαι, καὶ περὶ ἃ δεῖ διατρίβειν, ἐγὼ πειράσομαι διελθεῖν. εἰ μὲν οὖν ἔσται τὸ δῶρον ἐξεργασθὲν ἄξιον τῆς ὑποθέσεως, χαλεπὸν ἀπὸ τῆς ἀρχῆς συνιδεῖν· πολλὰ γὰρ καὶ τῶν ἐμμέτρων ποιημάτων, καὶ τῶν καταλογάδην συγγραμμάτων ἔτι μὲν ἐν ταῖς διανοίαις ὄντα τῶν συντιθέντων, μεγάλας τὰς προσδοκίας παρέσχεν· ἐπιτελεσθέντα δὲ, καὶ τοῖς ἄλλοις ὑποδειχθέντα, πολὺ καταδεεστέραν τὴν δόξαν τῆς ἐλπίδος ἔλαβεν. Οὐ μὴν ἀλλὰ καὶ τό γε ἐγχείρημα καλῶς ἔχει, τὸ ζητεῖν τὰ παραλελειμμένα, καὶ νομοθετεῖν ταῖς μοναρχίαις· οἱ μὲν γὰρ τοὺς ἰδιώτας παιδεύοντες, ἐκείνους μόνους ὠφελοῦσιν· εἰ δέ τις τοὺς κρατοῦντας τοῦ πλήθους ἐπ' ἀρετὴν προτρέψειεν, ἀμφοτέρους ἂν ὠφελήσειε, καὶ τοὺς τὰς δυναστείας ἔχοντας, καὶ τοὺς ὑπ' αὐτοῖς ὄντας· τοῖς μὲν γὰρ ἂν τὰς ἀρχὰς ἀσφαλεστέρας, τοῖς δὲ τὰς πολιτείας πρᾳοτέρας ποιήσειεν. Πρῶτον μὲν οὖν σκεπτέον, τί τῶν βασιλευόντων ἔργον ἐστίν· ἐὰν γὰρ τὸ κεφάλαιον, καὶ τὴν δύναμιν ὅλου τοῦ πράγματος καλῶς περιλάβωμεν, ἐνταῦθα ἀποβλέποντες, ἄμεινον καὶ περὶ τῶν ἄλλων μερῶν ἐροῦμεν· οἶμαι δὴ πάντας ἂν ὁμολογῆσαι προσήκειν αὐτοῖς, πόλιν τε δυστυχοῦσαν παῦσαι, καὶ καλῶς πράττουσαν διαφυλάξαι, καὶ μεγάλην ἐκ μικρᾶς ποιῆσαι· τὰ γὰρ ἄλλα τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα, τούτων ἕνεκα πρακτέα ἐστί· καὶ μὴν ἐκεῖνό γε φανερὸν, ὅτι δεῖ τοὺς ταῦτα δυνησομένους, καὶ περὶ τούτων βουλευσομένους μὴ ῥᾳθυμεῖν, ἀλλὰ σκοπεῖν, ὅπως φρονιμώτερον διακείσονται τῶν ἄλλων. δέδεικται γὰρ ὅτι τοιαύτας ἕξουσι τὰς βασιλείας, οἵας περ ἂν τὰς αὑτῶν γνώμας παρασκευάσωσιν· ὥστ' οὐδενὶ τῶν ἀθλητῶν οὕτω προσήκει τὸ σῶμα γυμνάζειν, ὡς τοῖς βασιλεῦσι τὴν ψυχὴν τὴν ἑαυτῶν: ἅπασαι γὰρ αἱ πανηγύρεις οὐδὲν μέρος τιθέασι τούτων τῶν ἄθλων, ὑπὲρ ὧν ὑμεῖς καθ' ἑκάστην ἀγωνίζεσθε τὴν ἡμέραν·

ὧν

ὧν ἐνθυμούμενον χρὴ προσέχειν τὸν νοῦν, ὅπως ὅσονπερ ταῖς τιμαῖς τῶν ἄλλων προέχεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς αὐτῶν διοίσεις. Καὶ μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς, καὶ φρονιμωτέρους γίγνεσθαι, μηδεμίαν ἔχειν δύναμιν· μηδὲ καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ μὲν τὰ θηρία τέχνας εὑρήκαμεν, αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν, καὶ πλείονος ἀξίας ποιοῦμεν, ἡμᾶς δ᾽ αὐτοὺς οὐδὲν πρὸς ἀρετὴν ὠφελήσαιμεν· ἀλλ᾽ ὡς καὶ τῆς παιδεύσεως, καὶ τῆς ἐπιμελείας δυναμένης τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην· καὶ τῶν τε παρόντων τοῖς φρονιμωτάτοις πλησίαζε, καὶ τῶν ἄλλων, οὓς ἂν δύνῃ, μεταπέμπου, καὶ μήτε τῶν ποιητῶν τῶν εὐδοκιμούντων, μήτε τῶν σοφιστῶν μηδενὸς οἴου δεῖν ἀπείρως ἔχειν· ἀλλὰ τῶν μὲν ἀκροατὴς γίγνου, τῶν δὲ μαθητής· καὶ παρασκεύαζε σαυτὸν, τῶν μὲν ἐλαττόνων κριτὴν, τῶν δὲ μειζόνων ἀνταγωνιστήν· διὰ γὰρ τοιούτων τῶν γυμνασιῶν τάχιστ᾽ ἂν γένοιο τοιοῦτος, οἷον ὑπεθέμεθα δεῖν εἶναι τὸν ὀρθῶς βασιλεύοντα, καὶ τὴν πόλιν, ὡς χρὴ, διοικήσοντα. Μάλιστα δ᾽ ἂν αὐτὸς ὑπὸ σαυτοῦ παρακληθείης, εἰ δεινὸν ἡγήσαιο τοὺς χείρους τῶν βελτιόνων ἄρχειν, καὶ τοὺς ἀνοητοτέρους τοῖς φρονιμωτέροις προστάττειν· ὅσῳ γὰρ ἂν ἐρρωμενεστέρως τὴν τῶν ἄλλων ἄνοιαν ἀτιμάσῃς, τοσούτῳ μᾶλλον τὴν σεαυτοῦ διάνοιαν ἀσκήσεις. Ἄρχεσθαι μὲν οὖν ἐντεῦθεν χρὴ τοὺς μέλλοντάς τι ποιήσειν τῶν δεόντων· πρὸς δὲ τούτοις φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν· οὔτε γὰρ ἵππων, οὔτε κυνῶν, οὔτε ἀνδρῶν, οὔτε ἄλλου πράγματος οὐδενὸς, οἷόν τε καλῶς ἄρχειν, ἢν μή τις χαίρῃ τούτοις, ὧν αὐτὸν δεῖ ποιεῖσθαι τὴν ἐπιμέλειαν· μελέτω σοι τοῦ πλήθους· καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν, γιγνώσκων, ὅτι καὶ τῶν ὀλιγαρχιῶν καὶ τῶν ἄλλων πολιτειῶν αὗται πλεῖστον χρόνον διαμένουσιν, αἵτινες ἂν ἄριστα τὸ πλῆθος θεραπεύσωσι· καλῶς δὲ δημαγωγήσεις, ἐὰν μήτε τὸν ὄχλον ὑβρίζειν ἐᾷς, μήτε ὑβριζόμενον περιορᾷς, ἀλλὰ σκοπῇς, ὅπως οἱ βέλτιστοι μὲν τὰς τιμὰς ἕξουσιν, οἱ δ᾽ ἄλλοι μηδὲν ἀδικηθήσονται· ταῦτα γὰρ στοιχεῖα πρῶτα καὶ μέγιστα χρηστῆς πολιτείας ἐστί. Τῶν προσταγμάτων, καὶ τῶν ἐπιτηδευμάτων κίνει καὶ μετατίθει

τὰ

τὰ μὴ καλῶς καθεστῶτα, καὶ μάλιστα μὲν εὑρετὴς γίγνου τῶν βελτίστων· εἰ δὲ μή, μιμοῦ τὰ παρὰ τοῖς ἄλλοις καλῶς ἔχοντα· ζήτει νόμους τὸ μὲν σύμπαν δικαίους καὶ συμφέροντας, καὶ σφίσιν αὐτοῖς ὁμολογουμένους· πρὸς δὲ τούτοις, οἵτινες τὰς μὲν ἀμφισβητήσεις ὡς ἐλαχίστας, τὰς δὲ διαλύσεις, ὡς οἷόν τε ταχίστας τοῖς πολίταις ποιήσουσι· ταῦτα γὰρ ἅπαντα προσεῖναι δεῖ τοῖς καλῶς κειμένοις νόμοις· Τὰς μὲν ἐργασίας αὐτοῖς καθίστη κερδαλέας· τὰς δὲ πραγματείας ἐπιζημίους· ἵνα τὰς μὲν φεύγωσι, πρὸς δὲ τὰς προθύμως ἔχωσι· τὰς κρίσεις ποιοῦ περὶ ὧν ἂν πρὸς ἀλλήλους ἀμφισβητῶσι, μὴ πρὸς χάριν, μηδὲ ἐναντίας ἀλλήλαις· ἀλλ' ἀεὶ ταὐτὰ καὶ περὶ τῶν αὐτῶν γίγνωσκε· καὶ γὰρ πρέπει, καὶ συμφέρει τὴν τῶν βασιλέων γνώμην ἀμετακινήτως ἔχειν περὶ τῶν δικαίων, ὥσπερ τοὺς νόμους τοὺς καλῶς κειμένους. Διοίκει τὴν πόλιν ὁμοίως, ὥσπερ τὸν πατρῷον οἶκον, ταῖς μὲν κατασκευαῖς λαμπρῶς καὶ βασιλικῶς, ταῖς δὲ πράξεσιν ἀκριβῶς, ἵν' εὐδοκιμῇς ἅμα, καὶ διαρκῇς· τὴν μεγαλοπρέπειαν ἐνδείκνυσο ἐν μηδεμιᾷ τῶν πολυτελειῶν, τῶν εὐθὺς ἀφανιζομένων, ἀλλ' ἔν τε τοῖς προειρημένοις, καὶ τῷ κάλλει τῶν κτημάτων, καὶ ταῖς τῶν φίλων εὐεργεσίαις· τὰ γὰρ τοιαῦτα τῶν ἀναλωμάτων αὐτῷ τέ σοι παραμενεῖ, καὶ τοῖς ἐπιγιγνομένοις πλείονος ἄξια τῶν δεδαπανημένων καταλείψεις. Τὰ περὶ τοὺς θεοὺς ποίει μὲν ὡς οἱ πρόγονοι κατέδειξαν· ἡγοῦ δὲ τοῦτο εἶναι θῦμα κάλλιστον, καὶ θεραπείαν μεγίστην, ἐὰν ὡς βέλτιστον καὶ δικαιότατον σεαυτὸν παρέχῃς· μᾶλλον γὰρ ἐλπὶς τοὺς τοιούτους, ἢ τοὺς ἱερεῖα πολλὰ καταβάλλοντας πράξειν τι παρὰ τῶν θεῶν ἀγαθόν. Τίμα ταῖς μὲν ἀρχαῖς τῶν τιμῶν τοὺς οἰκειοτάτους, ταῖς δὲ ἀληθεστάταις τοὺς εὐνουστάτους· φυλακὴν ἀσφαλεστάτην ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετήν, καὶ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σαυτοῦ φρόνησιν· διὰ γὰρ τούτων καὶ κτᾶσθαι, καὶ διασώζειν τὰς τυραννίδας μάλιστ' ἄν τις δύναιτο. Κήδου τῶν οἴκων τῶν ἰδιωτῶν, καὶ νόμιζε τοὺς δαπανωμένους ἀπὸ τῶν σῶν ἀναλίσκειν· καὶ τοὺς ἐργαζομένους τὰ σὰ πλείω ποιεῖν· ἅπαντα γὰρ τὰ τῶν οἰκούντων τὴν πόλιν, οἰκεῖα τῶν καλῶς βασιλευόντων ἐστί. Διὰ παντὸς τοῦ χρόνου τὴν ἀλήθειαν οὕτω φαίνου προτιμῶν, ὥστε πιστοτέρους εἶναι τοὺς σοὺς λόγους, ἢ τοὺς

τῶν

τῶν ἄλλων ὅρκους. Ἅπασι μὲν τοῖς ξένοις ἀσφαλῆ τὴν πόλιν παρέχε, καὶ πρὸς τὰ συμβόλαια νόμιμον· περὶ πλείστου δὲ ποιοῦ τῶν ἀφικνουμένων, μὴ τοὺς σοὶ δωρεὰς εἰσάγοντας, ἀλλὰ τοὺς παρὰ σοῦ λαμβάνειν ἀξιοῦντας· τιμῶν γὰρ τοὺς τοιούτους μᾶλλον παρὰ τοῖς ἄλλοις εὐδοκιμήσεις. Τοὺς φόβους ἐξαίρει τῶν πολιτῶν· καὶ μὴ βούλου περιδεεῖς εἶναι τοῖς μηδὲν ἀδικοῦσιν· ὅπως γὰρ ἂν τοὺς ἄλλους πρὸς σεαυτὸν διαθῇς, οὕτω καὶ σὺ πρὸς ἐκείνους ἕξεις. Ποίει μὲν μηδὲν μετ' ὀργῆς· δόκει δὲ τοῖς ἄλλοις ὅταν σοι καιρὸς ᾖ· δεινὸς μὲν φαίνου τῷ μηδέν σε λανθάνειν τῶν γιγνομένων, πρᾶος δὲ τῷ τὰς τιμωρίας ἐλάττους ποιεῖσθαι τῶν ἁμαρτανομένων. Ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι, μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας, καὶ νομίζειν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ἄμεινόν σε βουλεύεσθαι. Πολεμικὸς γίνου ταῖς ἐπιστήμαις καὶ ταῖς παρασκευαῖς, εἰρηνικὸς δὲ τῷ μηδὲν παρὰ τὸ δίκαιον πλεονεκτεῖν· οὕτως ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους, ὥσπερ ἂν τὰς κρείττους πρὸς σεαυτὸν ἀξιώσειας· φιλονείκει μὴ περὶ ἁπάντων, ἀλλὰ περὶ ὧν ἂν κρατήσαντί σοι μέλλει συνοίσειν. Φαύλους ἡγοῦ μὴ τοὺς συμφερόντως ἡττωμένους, ἀλλὰ τοὺς μετὰ βλάβης περιγιγνομένους. Μεγαλόφρονας εἶναι νόμιζε μὴ τοὺς μείζω περιβαλλομένους, ὧν οἷοί τέ εἰσι κατασχεῖν, ἀλλὰ τοὺς μετρίων μὲν ἐφιεμένους, ἐξεργάζεσθαι δὲ δυναμένους, οἷς ἂν ἐπιχειρῶσι. Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους· καὶ νόμιζε τελέως εὐδαιμονήσειν, οὐκ ἐὰν ἁπάντων ἀνθρώπων μετὰ φόβων καὶ κινδύνων ἄρχῃς, ἀλλ' ἐὰν τοιοῦτος ὢν, οἷον χρὴ, καὶ πράττων, ὥσπερ ἐν τῷ παρόντι, μετρίων ἐπιθυμῇς, καὶ μηδενὸς τούτων ἀπορῇς· φίλους κτῶ μὴ πάντας τοὺς βουλομένους, ἀλλὰ τοὺς τῆς σῆς φύσεως ἀξίους ὄντας· μηδὲ μεθ' ὧν ἥδιστα συνδιατρίψεις, ἀλλὰ μεθ' ὧν ἄριστα τὴν πόλιν διοικήσεις. Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων, εἰδὼς, ὅτι πάντες οἱ μὴ σοὶ πλησιάζοντες ὁμοιόν σε τοῖς χρωμένοις νομιοῦσι. Τοιούτους ἐφίστη τοῖς πράγμασι τοῖς μὴ διὰ σοῦ γιγνομένοις, ὡς αὐτὸς τὰς αἰτίας ἕξων, ὧν ἂν ἐκεῖνοι πράξωσι· πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν ὅ τι ἂν ποιῇς, ἢ λέγῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. Δίδου παρρησίαν τοῖς εὖ φρονοῦσιν, ἵνα περὶ ὧν ἂν

ἀμφιγνοῇς, ἔχε τοὺς συνδοκιμάσοντας· Διόρα δὲ τοὺς τέχνῃ κολακεύοντας, καὶ τοὺς μετ' εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλέον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν. Ἄκουε τοὺς λόγους τοὺς περὶ ἀλλήλων, καὶ πειρῶ γινώσκειν ἅμα τοὺς λέγοντας, ὁποῖοι καὶ τίνες εἰσὶ καὶ περὶ ὧν ἂν λέγωσι· Ταῖς αὐταῖς κόλαζε ζημίαις τοὺς ψευδῶς διαβάλλοντας, ὥσπερ τοὺς ἐξαμαρτάνοντας· Ἄρχε σεαυτοῦ μηδὲν ἧττον ἢ καὶ τῶν ἄλλων· καὶ τοῦτο ἡγοῦ βασιλικώτατον, ἐὰν μηδεμιᾷ δουλεύῃς τῶν ἡδονῶν, ἀλλὰ κρατῇς τῶν ἐπιθυμιῶν μᾶλλον, ἢ τῶν πολιτῶν· Μηδεμίαν συνουσίαν εἰκῇ προσδέχου, μηδ' ἀλογίστως, ἀλλ' ἐκείναις ταῖς διατριβαῖς ἔθιζε σεαυτὸν χαίρειν, ἐξ ὧν αὐτός τε ἐπιδώσεις, καὶ τοῖς ἄλλοις βελτίων εἶναι δόξεις. Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις, ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστι. Νόμιζε τὴν τιμὴν ἀληθεστάτην εἶναι, μὴ τὰς ἐν τῷ φανερῷ μετὰ δέους γινομένας, ἀλλ' ὅταν αὐτοὶ παρ' αὐτοῖς ὄντες, μᾶλλόν σου τὴν γνώμην, ἢ τὴν τύχην θαυμάζωσι. Λάνθανε μὲν ἐὰν ἐπί τῳ σοι συμβῇ τῶν φαύλων χαίρειν, ἐνδείκνυσο δὲ περὶ τὰ μέγιστα σπουδάζων. Μὴ τοὺς μὲν ἄλλους ἀξίου κοσμίως ζῆν, τοὺς δὲ βασιλέας ἀτάκτως, ἀλλὰ τὴν σεαυτοῦ σωφροσύνην παράδειγμα τοῖς ἄλλοις καθίστη, γιγνώσκων, ὅτι τὸ τῆς πόλεως ὅλης ἦθος ὁμοιοῦται τοῖς ἄρχουσι· σημεῖον ἔστω σοι τοῦ καλῶς βασιλεύειν, ἐὰν τοὺς ἀρχομένους ὁρᾷς εὐπορωτέρους, καὶ σωφρονεστέρους γιγνομένους διὰ τὴν σὴν ἐπιμέλειαν. περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητός, ἡ δὲ ἀθάνατος· καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή· καὶ τὰ μὲν καὶ τοῖς φαύλοις παραγίγνεται, τὴν δὲ οὐχ οἷόν τε, ἀλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι. Τρύφα μὲν ταῖς ἐσθῆσι, καὶ τοῖς περὶ τὸ σῶμα κόσμοις, καρτέρει δέ, ὡς χρὴ τοὺς βασιλέας, ἐν τοῖς ἄλλοις ἐπιτηδεύμασι· ἵνα οἱ μὲν ὁρῶντες διὰ τὴν ὄψιν ἄξιόν σε τῆς ἀρχῆς εἶναι νομίζωσιν, οἱ δὲ συνόντες διὰ τὴν τῆς ψυχῆς ῥώμην τὴν αὐτὴν ἐκείνοις γνώμην ἔχωσιν. Ἐπισκόπει τοὺς λόγους ἀεὶ τοὺς σαυτοῦ, καὶ τὰς πράξεις, ἵν' ὡς ἐλαχίστοις τοῖς ἁμαρτήμασι περιπίπτῃς. Κράτιστον μὲν τῆς ἀκμῆς τῶν καιρῶν τυγχάνειν· ἐπειδὴ δὲ δυσκαταμαθήτως ἔχουσιν, ἐλλείπειν αἱροῦ, καὶ μὴ πλεο-

νάζειν·

νίζειν· αἱ γὰρ μετριότητες μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ ταῖς ὑπερβολαῖς ἰσχύουσιν· ἀστεῖος εἶναι πειρῶ, καὶ σεμνός· τὸ μὲν γὰρ τυραννίδι πρέπει, τὸ δὲ πρὸς τὰς συνουσίας ἁρμόττει· χαλεπώτατον δὲ τοῦτο πάντων ἐστὶ πραγμάτων· εὑρήσεις γὰρ ὡς ἐπὶ πολὺ τοὺς μὲν σεμνυνομένους ψυχροὺς ὄντας, τοὺς δὲ βουλομένους ἀστείους εἶναι ταπεινοὺς φαινομένους· δεῖ δὲ χρῆσθαι μὲν ἀμφοτέραις ταῖς ἰδέαις ταύταις, τὴν δὲ συμφορὰν τὴν ἑκατέραις προσοῦσαν διαφεύγειν. Ὅτι περ ἂν ἀκριβῶς εἰδέναι βούλοιο, ὧν ἐπίστασθαι προσήκει τοὺς βασιλέας, ἐμπειρίᾳ μέτιθι καὶ φιλοσοφίᾳ· τὸ μὲν γὰρ φιλοσοφεῖν τὰς ὁδούς σοι δείξει, τὸ δὲ ἐπ' αὐτῶν τῶν ἔργων γυμνάζεσθαι, δύνασθαί σε χρῆσθαι τοῖς πράγμασι ποιήσει. Θεώρει τὰ γιγνόμενα καὶ τὰ συμπίπτοντα καὶ τοῖς ἰδιώταις, καὶ τοῖς τυράννοις· ἐὰν γὰρ τὰ παρεληλυθότα μνημονεύῃς, ἄμεινον καὶ περὶ τῶν μελλόντων βουλεύσῃ. Δεινὸν ἡγοῦ τῶν μὲν ἰδιωτῶν ἐθέλειν τινὰς ἀποθνήσκειν, ἵνα τελευτήσαντες ἐπαινεθῶσι, τοὺς δὲ βασιλέας μὴ τολμᾶν χρῆσθαι τοῖς ἐπιτηδεύμασι τούτοις, ἐξ ὧν ζῶντες εὐδοκιμήσουσι· Βούλου τὰς εἰκόνας τῆς ἀρετῆς ὑπόμνημα μᾶλλον, ἢ τοῦ σώματος καταλιπεῖν. Μάλιστα μὲν πειρῶ τὴν ἀσφάλειαν σεαυτῷ καὶ τῇ πόλει διαφυλάττειν· ἢν δὲ ἀναγκασθῇς κινδυνεύειν, αἱροῦ καλῶς τεθνάναι μᾶλλον, ἢ ζῆν αἰσχρῶς. Ἐν ἅπασι τοῖς ἔργοις μέμνησο τῆς βασιλείας· καὶ φρόντιζε, ὅπως μηδὲν ἀνάξιον τῆς τιμῆς ταύτης ποιήσῃς. Μὴ περιίδῃς τὴν σαυτοῦ φύσιν ἅμα πᾶσαν διαλυθεῖσαν, ἀλλ' ἐπειδὴ θνητοῦ σώματος ἔτυχες, ἀθανάτου δὲ ψυχῆς, πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν. Μελέτα περὶ καλῶν ἐπιτηδευμάτων λέγειν, ἵνα συνεθισθῇς ὅμοια τοῖς εἰρημένοις φρονεῖν. Ἃ δ' ἄν σοι λογιζομένῳ φαίνηται βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει. Ὧν τὰς δόξας ζηλοῖς, μιμοῦ τὰς πράξεις. Ἃ τοῖς παισὶ τοῖς σεαυτοῦ ἂν συμβουλεύσειας, τούτοις αὐτὸς ἐμμένειν ἀξίου. Χρῶ τοῖς εἰρημένοις, ἢ ζήτει βελτίω τούτων. Σοφοὺς νόμιζε, μὴ τοὺς ἀκριβῶς περὶ μικρῶν ἐρίζοντας, ἀλλὰ τοὺς εὖ περὶ τῶν μεγίστων λέγοντας· μηδὲ τοὺς τοῖς μὲν ἄλλοις εὐδαιμονίαν ὑπισχνουμένους, αὐτοὺς δὲ ἐν πολλαῖς ἀπορίαις ὄντας, ἀλλὰ τοὺς μέτρια μὲν περὶ αὐτῶν λέγοντας, ὁμιλεῖν δὲ καὶ τοῖς πράγμασι καὶ τοῖς ἀνθρώποις δυναμένους, καὶ μὴ διαταραττομένους ἐν ταῖς τοῦ βίου μεταβολαῖς· ἀλλὰ καλῶς καὶ μετρίως καὶ τὰς

συμ-

συμφορὰς, καὶ τὰς ἀτυχίας φέρειν ἐπισταμένους· καὶ μὴ θαύμαζε, εἰ πολλὰ τῶν εἰρημένων ἐστὶν, ἃ καὶ σὺ γιγνώσκεις· οὐδὲ γὰρ ἐμὲ τοῦτο διέλαθεν, ἀλλ' ἠπιστάμην, ὅτι τοσούτων ὄντων τὸ πλῆθος, καὶ τῶν ἰδιωτῶν, καὶ τῶν ἀρχόντων οἱ μέν τι τούτων εἰρήκασιν, οἱ δὲ ἀκηκόασιν, οἱ δὲ ἑτέρους ποιοῦντας ἑωράκασιν, ἔνιοι δὲ αὐτοὶ τυγχάνουσιν ἐπιτηδεύοντες· ἀλλὰ γὰρ οὐκ ἐν τοῖς λόγοις χρὴ τοῖς περὶ τῶν ἐπιτηδευμάτων ζητεῖν τὰς καινότητας, ἐν οἷς οὔτε παράδοξον, οὔτε ἄπιστον, οὔτ' ἔξω τῶν νομιζομένων οὐδέν ἐστιν εὑρεῖν· ἀλλ' ἡγεῖσθαι τοῦτον εἶναι χαριέστατον, ὃς ἂν τῶν διεσπαρμένων ἐν ταῖς τῶν ἄλλων διανοίαις ἀθροῖσαι τὰ πλεῖστα δυνηθῇ, καὶ φράσαι κάλλιστα περὶ αὐτῶν· ἐπεὶ κἀκεῖνό μοι πρόδηλον ἦν, ὅτι τὰ συμβουλεύοντα καὶ τῶν ποιημάτων, καὶ τῶν συγγραμμάτων, χρησιμώτατα μὲν ἅπαντες νομίζουσιν· οὐ μὴν ἥδιστά γε αὐτῶν ἀκούουσιν· ἀλλὰ ταὐτὸ πεπόνθασιν, ὅπερ πρὸς τοὺς νουθετοῦντας· καὶ γὰρ ἐκείνους ἐπαινοῦσι μὲν ἅπαντες, πλησιάζειν δὲ οὐ βούλονται, ἀλλὰ μᾶλλον αἱροῦνται συνεῖναι τοῖς ἐξαμαρτάνουσιν, ἀλλ' οὐ τοῖς ἀποτρέπουσι. Σημεῖον δ' ἄν τις ποιήσαιτο τὴν Ἡσιόδου, καὶ Θεόγνιδος, καὶ Φωκυλίδου ποίησιν· καὶ γὰρ τούτους φασὶ μὲν ἀρίστους συμβούλους γεγενῆσθαι τῷ βίῳ τῷ τῶν ἀνθρώπων· ταῦτα δὲ λέγοντες αἱροῦνται συνδιατρίβειν ταῖς ἀλλήλων ἀνοίαις μᾶλλον, ἢ ταῖς ἐκείνων ὑποθήκαις· ἔτι δ' εἴ τις ἐκλέξειε τῶν προεχόντων ποιητῶν τὰς καλουμένας γνώμας, ἐφ' αἷς ἐκεῖνοι μάλιστα ἐσπούδασαν, ὁμοίως ἂν καὶ πρὸς ταύτας διατεθεῖεν· ἥδιον γὰρ ἂν κωμῳδίας τῆς φαυλοτάτης, ἢ τῶν οὕτω τεχνικῶς πεποιημένων ἀκούσαιεν· καὶ τί δεῖ καθ' ἓν ἕκαστον λέγοντα διατρίβειν; ὅλως γὰρ εἰ ἐθέλοιμεν σκοπεῖν τὰς φύσεις τῶν ἀνθρώπων, εὑρήσομεν τοὺς πολλοὺς αὐτῶν οὔτε τῶν σιτίων χαίροντας τοῖς ὑγιεινοτάτοις, οὔτε τῶν ἐπιτηδευμάτων τοῖς καλλίστοις, οὔτε τῶν πραγμάτων τοῖς βελτίστοις, οὔτε τῶν μαθημάτων τοῖς ὠφελιμωτάτοις· ἀλλὰ παντάπασιν ἐναντίας τῷ συμφέροντι τὰς ἡδονὰς ἔχοντας, καὶ δοκοῦντας καρτερικοὺς εἶναι, καὶ φιλοπόνους τοὺς τῶν δεόντων τι μὴ ποιοῦντας. ὥστε πῶς ἄν τις τοιούτοις, ἢ παραινῶν, ἢ διδάσκων, ἢ χρήσιμόν τι λέγων ἀρέσειεν; οἳ πρὸς τοῖς εἰρημένοις φθονοῦσι μὲν τοῖς εὖ φρονοῦσιν, ἁπλοῦς δὲ ἡγοῦνται τοὺς νοῦν οὐκ ἔχοντας, οὕτω δὲ τὰς ἀληθείας τῶν πραγμάτων φεύγουσιν, ὥστε οὐδὲ τὰ σφέτερ' αὐτῶν ἴσασιν· ἀλλὰ λυποῦνται

μὲν

μὲν περὶ τῶν ἰδίων λογιζόμενοι, χαίρουσι δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενοι· βούλοιντο δ' ἂν τῷ σώματι κακοπαθῆσαι μᾶλλον, ἢ τῇ ψυχῇ πονῆσαι, καὶ σκέψασθαι περί τινος τῶν ἀναγκαίων· εὕροι δ' ἄν τις αὐτοὺς ἐν μὲν ταῖς πρὸς ἀλλήλους συνουσίαις λοιδοροῦντας, ἢ λοιδορουμένους· ἐν δὲ ταῖς ἐρημίαις οὐ βουλευομένους, ἀλλ' εὐχομένους. λέγω δὲ ταῦτα οὐ κατὰ πάντων, ἀλλὰ κατὰ τῶν ἐνόχων τοῖς εἰρημένοις ὄντων· ἐκεῖνο δ' οὖν φανερὸν, ὅτι δεῖ τοὺς βουλομένους ἢ ποιεῖν, ἢ γράφειν τι κεχαρισμένον τοῖς πολλοῖς, μὴ τοὺς ὠφελιμωτάτους τῶν λόγων ζητεῖν, ἀλλὰ τοὺς μυθωδεστάτους· ἀκούοντες μὲν γὰρ τῶν τοιούτων, χαίρουσι, θεωροῦντες δὲ τοὺς ἀγῶνας καὶ τὰς ἁμίλλας, ἄχθονται. διὸ καὶ τὴν Ὁμήρου ποίησιν, καὶ τοὺς πρώτους εὑρόντας τραγῳδίαν ἄξιον θαυμάζειν, ὅτι κατιδόντες τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἀμφοτέραις ταῖς ἰδέαις ταύταις κατεχρήσαντο πρὸς τὴν ποίησιν. ὁ μὲν γὰρ τοὺς ἀγῶνας καὶ τοὺς πολέμους τῶν ἡμιθέων ἐμυθολόγησεν, οἱ δὲ τοὺς μύθους εἰς ἀγῶνας καὶ πράξεις κατέστησαν· ὥστε μὴ μόνον ἀκουστοὺς ἡμῖν, ἀλλὰ καὶ θεατοὺς γενέσθαι. Τοιούτων οὖν παραδειγμάτων ὑπαρχόντων, δέδεικται τοῖς ἐπιθυμοῦσι τοὺς ἀκροωμένους ψυχαγωγεῖν, ὅτι τοῦ μὲν νουθετεῖν καὶ συμβουλεύειν ἀφεκτέον, ἐκεῖνα δὲ γραπτέον καὶ λεκτέον, οἷς ὁρῶσι τοὺς ὄχλους χαίροντας. Ταῦτα δὲ διῆλθον, ἡγούμενός σε δεῖν οὐκ ἕνα τῶν πολλῶν. ἀλλὰ πολλῶν ὄντα τύραννον, μὴ τὴν αὐτὴν γνώμην ἔχειν τοῖς ἄλλοις, μηδὲ τὰ σπουδαῖα τῶν πραγμάτων, μηδὲ τοὺς εὖ φρονοῦντας τῶν ἀνθρώπων ταῖς ἡδοναῖς κρίνειν, ἀλλ' ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν. ἄλλως τε ἐπειδὴ περὶ τῶν γυμνασίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν διατρίβοντες· καί φασιν, οἱ μὲν διὰ τῶν ἐριστικῶν λόγων, οἱ δὲ διὰ τῶν πολιτικῶν, οἱ δὲ δι' ἄλλων τινῶν φρονιμωτέρους ἔσεσθαι τοὺς αὐτοῖς πλησιάζοντας. ἐκεῖνο δὲ πάντες ὁμολογοῦσιν, ὅτι δεῖ τὸν καλῶς πεπαιδευμένον, ἐξ ἑκάστου τούτων φαίνεσθαι συμβουλεύεσθαι δυνάμενον. χρὴ τοίνυν ἀφέμενον τῶν ἀμφισβητουμένων ἐπὶ τὸ ὁμολογούμενον ἐλθόντα λαμβάνειν αὐτῶν τὸν ἔλεγχον, καὶ μάλιστα μὲν ἐπὶ τῶν καιρῶν θεωρεῖν τοὺς συμβουλεύοντας. εἰ δὲ μὴ, τοὺς καθόλου περὶ τῶν πραγμάτων λέγοντας, καὶ τοὺς μηδὲν γιγνώσκοντας τῶν δεόντων ἀποδοκιμάζειν· δῆλον γὰρ ὡς ὁ μηδὲν ὢν αὐτῷ χρήσιμος, οὐδ' ἂν ἄλλον

φρο-

φρόνιμον ποιήσειν. Τοὺς δὲ νοῦν ἔχοντας καὶ δυναμένους ὁρᾶν πλέον τι τῶν ἄλλων, περὶ πολλοῦ ποίει, καὶ θεράπευε, γινώσκων, ὅτι σύμβουλος ἀγαθὸς χρησιμώτατον καὶ τυραννικώτατον ἁπάντων κτημάτων ἐστίν. Ἡγοῦ δὲ τούτους σοι μεγίστην ποιήσειν τὴν βασιλείαν, οἵτινες ἂν τὴν διάνοιαν τὴν σὴν πλεῖστα ὠφελῆσαι δυνηθῶσιν. Ἐγὼ μὲν οὖν ἅ γινώσκω παρῄνεσα, καὶ τιμῶ σε τούτοις, οἷς τυγχάνω δυνάμενος· βούλου δὲ καὶ τοὺς ἄλλους, ὅπερ εἶπον ἀρχόμενος, μὴ τὰς εἰθισμένας ἄγειν σοι δωρεάς, ἃς ὑμεῖς πολὺ πλείονος ἀγοράζετε παρὰ τῶν διδόντων, ἢ τῶν πωλούντων, ἀλλὰ τοιαύτας, αἷς ἐὰν σφόδρα χρήσῃ, καὶ μηδεμίαν ἡμέραν διαλείπῃς, οὐ κατατρίψεις, ἀλλὰ μείζους καὶ πλείονος ἀξίας ταύτας ποιήσεις.

# ΝΙΚΟΚΛΗΣ Η ΣΥΜΜΑΧΙΚΟΣ.

Εἰσί τινες, οἳ δυσκόλως ἔχουσι πρὸς τοὺς λόγους, καὶ διαμέμφονται τοὺς φιλοσοφοῦντας, καί φασιν αὐτοὺς, οὐκ ἀρετῆς, ἀλλὰ πλεονεξίας ἕνεκα ποιεῖσθαι τὰς τοιαύτας διατριβάς· ἡδέως ἂν οὖν πυθοίμην, τῶν οὕτω διακειμένων, διὰ τί τοὺς μὲν εὖ λέγειν ἐπιθυμοῦντας ψέγουσι, τοὺς δ' ὀρθῶς πράττειν βουλομένους ἐπαινοῦσιν. εἰ γὰρ αἱ πλεονεξίαι λυποῦσιν αὐτοὺς, πλείους καὶ μείζους ἐκ τῶν ἔργων, ἢ τῶν λόγων εὑρήσομεν γιγνομένας· ἔπειτα κἀκεῖνο ἄτοπον, εἰ λέληθεν αὐτοὺς, ὅτι τὰ περὶ τοὺς θεοὺς εὐσεβοῦμεν, καὶ τὴν δικαιοσύνην ἀσκοῦμεν, καὶ τὰς ἄλλας ἀρετὰς ἐπιτηδεύομεν, οὐχ ἵνα τῶν ἄλλων ἔλαττον ἔχωμεν, ἀλλ' ὅπως ἂν ὡς μετὰ πλείστων ἀγαθῶν τὸν βίον διάγωμεν· ὥστε οὐ κατηγορητέον τούτων τῶν πραγμάτων ἐστὶ, δι' ὧν ἄν τις μετ' ἀρετῆς πλεονεκτήσειεν, ἀλλὰ τῶν ἀνθρώπων, τῶν περὶ τὰς πράξεις ἐξαμαρτανόντων, ἢ τοῖς λόγοις ἐξαπατώντων, καὶ μὴ δικαίως χρωμένων αὐτοῖς· θαυμάζω δὲ τῶν ταύτην τὴν γνώμην ἐχόντων, ὅπως οὐ καὶ τὸν πλοῦτον, καὶ τὴν ῥώμην, καὶ τὴν ἀνδρείαν κακῶς λέγουσιν· εἴπερ γὰρ διὰ τοὺς ἐξαπατῶντας καὶ τοὺς ψευδομένους πρὸς τοὺς λόγους χαλεπῶς ἔχουσι, προσήκει καὶ τοῖς ἄλλοις ἀγαθοῖς αὐτοὺς ἐπιτιμᾶν· φανήσονται γάρ τινες καὶ τῶν ταῦτα κεκτημένων ἐξαμαρτάνοντες, καὶ πολλοὺς διὰ τούτων κακῶς ποιοῦντες· ἀλλὰ γὰρ οὐ δίκαιον, οὐδ' εἴ τινες τοὺς ἀπαντῶντας τύπτουσιν, τῆς ῥώμης κατηγορεῖν· οὔτε διὰ τοὺς ἀποκτιννύντας τὴν ἀνδρείαν λοιδορεῖν, οὐδ' ὅλως τὴν τῶν ἀνθρώπων πονηρίαν ἐπὶ τὰ πράγματα μεταφέρειν, ἀλλ' αὐτοὺς ἐκείνους ψέγειν, ὅσοι τοῖς ἀγαθοῖς κακῶς χρῶνται, καὶ τοῖς ὠφελεῖν δυναμένοις, τούτοις βλάπτειν τοὺς συμπολιτευομένους ἐπιχειροῦσι· νῦν δ' ἀμελήσαντες τοῦτον τὸν τρόπον περὶ ἑκάστου διορίζεσθαι, πρὸς ἅπαντας τοὺς λόγους δυσκόλως διάκεινται· καὶ τοσοῦτον διημαρτήκασιν· ὥστε οὐκ αἰσθάνονται τοιούτῳ πράγματι δυσμενῶς ἔχοντες, ὃ πάντων τῶν ὄντων ἐν τῇ τῶν ἀνθρώπων φύσει πλείστων ἀγαθῶν αἴτιόν ἐστι· τοῖς μὲν γὰρ ἄλλοις, οἷς ἔχομεν, οὐδὲν τῶν ἄλλων ζώων διαφέρομεν, ἀλλὰ πολλῶν καὶ τῷ τάχει, καὶ τῇ ῥώμῃ, καὶ ταῖς ἄλλαις εὐπορίαις καταδεέστεροι τυγχάνομεν ὄντες. ἐγγενομένου δ' ἡ-

δ' ἡμῖν τοῦ πείθειν ἀλλήλους, καὶ δηλοῦν πρὸς ἡμᾶς αὐτοὺς περὶ ὧν ἂν βουληθῶμεν, οὐ μόνον τοῦ θηριωδῶς ζῆν ἀπηλλάγημεν, ἀλλὰ καὶ συνελθόντες πόλεις ᾠκίσαμεν, καὶ νόμους ἐθέμεθα, καὶ τέχνας εὕρομεν. καὶ σχεδὸν ἅπαντα τὰ δι' ἡμῶν μεμηχανημένα, λόγος ἡμῖν ἐστὶν ὁ συγκατασκευάσας· οὗτος γὰρ καὶ περὶ τῶν δικαίων, καὶ περὶ τῶν ἀδίκων, καὶ τῶν αἰσχρῶν καὶ τῶν καλῶν ἐνομοθέτησεν· ὧν μὴ διαταχθέντων, οὐκ ἂν οἷοί τε ἦμεν οἰκεῖν μετ' ἀλλήλων· τούτῳ καὶ τοὺς κακοὺς ἐξελέγχομεν, καὶ τοὺς ἀγαθοὺς ἐγκωμιάζομεν· διὰ τούτου τούς τε ἀνοήτους παιδεύομεν, καὶ τοὺς φρονίμους δοκιμάζομεν· τὸ γὰρ λέγειν ὡς δεῖ, τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα· καὶ λόγος ἀληθὴς, καὶ νόμιμος, καὶ δίκαιος, ψυχῆς ἀγαθῆς, καὶ πιστῆς εἴδωλόν ἐστι. μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζόμεθα, καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα. ταῖς γὰρ πίστεσιν, αἷς τοὺς ἄλλους λέγοντες πείθομεν, ταῖς αὐταῖς ταύταις καὶ περὶ τῶν ἰδίων βουλευόμενοι χρώμεθα· καὶ ῥητορικοὺς μὲν καλοῦμεν, τοὺς ἐν τῷ πλήθει λέγειν δυναμένους, εὐβούλους δὲ νομίζομεν, οἵτινες ἂν αὐτοὶ πρὸς αὑτοὺς ἄριστα περὶ τῶν πραγμάτων διαλεχθῶσιν. Εἰ δὲ δεῖ συλλήβδην περὶ τῆς δυνάμεως ταύτης εἰπεῖν, οὐδὲν τῶν φρονίμως πραττομένων εὑρήσομεν ἀλόγως γιγνόμενον, ἀλλὰ καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων ἁπάντων ἡγεμόνα τὸν λόγον ὄντα, καὶ μάλιστα χρωμένους αὐτῷ τοὺς πλεῖστον νοῦν ἔχοντας· ὥστε τοὺς τολμῶντας βλασφημεῖν περὶ τῶν παιδευόντων καὶ φιλοσοφούντων, ὁμοίως ἄξιον μισεῖν, ὥσπερ τοὺς εἰς τὰ τῶν θεῶν ἤδη ἐξαμαρτάνοντας. ἐγὼ δ' ἀποδέχομαι μὲν πάντας τοὺς λόγους, τοὺς καὶ μικρὸν ἡμᾶς ὠφελεῖν δυναμένους, οὐ μὴν ἀλλὰ καλλίστους ἡγοῦμαι καὶ βασιλικωτάτους, καὶ μάλιστα πρέποντας ἐμοὶ τοὺς περὶ τῶν ἐπιτηδευμάτων καὶ τῶν πολιτειῶν παραινοῦντας. καὶ τούτων αὐτῶν, ὅσοι διδάσκουσι τούς τε δυναστεύοντας, ὡς δεῖ τῷ πλήθει χρῆσθαι, καὶ τοὺς ἰδιώτας ὡς χρὴ πρὸς ἄρχοντας διακεῖσθαι, καὶ γὰρ διὰ τούτων ὁρῶ τὰς πόλεις εὐδαιμονεστάτας καὶ μεγίστας γιγνομένας. τὸν μὲν οὖν ἕτερον λόγον ὡς χρὴ τυραννεῖν, Ἰσοκράτους ἠκούσατε· τὸν δ' ἐχόμενον, ἃ δεῖ ποιεῖν τοὺς ἀρχομένους, ἐγὼ πειράσομαι διελθεῖν· οὐχ ὡς ἐκεῖνον ὑπερβαλούμενος, ἀλλ' ὡς προσῆκόν μοι περὶ τούτων μάλιστα διαλεχθῆναι πρὸς ὑμᾶς. εἰ μὲν γὰρ, ἐμοῦ μὴ δηλώσαντος,

ἃ βου-

ἃ βούλομαι ποιεῖν ὑμᾶς, διαμαρτάνοιτε τῆς ἐμῆς γνώμης, οὐκ ἂν εἰκότως ὑμῖν ὀργιζοίμην· εἰ δὲ προειπόντος ἐμοῦ, μηδὲν γίγνοιτο τοιοῦτον, δικαίως ἂν ἤδη τοῖς μὴ πειθομένοις μεμφοίμην. Ἡγοῦμαι δ' οὕτως ἂν μάλιστα παρακαλέσαι καὶ προτρέψαι πρὸς τὸ μνημονεύειν ὑμᾶς τὰ ῥηθέντα, καὶ πειθαρχεῖν αὐτοῖς, οὐκ εἰ περὶ τὸ συμβουλεύειν μόνον γενοίμην, καὶ ταῦτ' ἀπαριθμήσας ἀπαλλαγείην, ἀλλ' εἰ προσεπιδείξαιμι, πρῶτον μὲν τὴν πολιτείαν τὴν παροῦσαν, ὡς ἄξιόν ἐστιν ἀγαπᾶν, οὐ μόνον διὰ τὴν ἀνάγκην, οὐδ' ὅτι πάντα τὸν χρόνον μετὰ ταύτης οἰκοῦμεν, ἀλλ' ὅτι καὶ βελτίστη τῶν ἄλλων πολιτειῶν ἐστιν· ἔπειθ' ὡς ἐγὼ ταύτην ἔχω τὴν ἀρχὴν οὐ παρανόμως, οὐδ' ἀλλοτρίαν, ἀλλ' ὁσίως καὶ δικαίως, καὶ διὰ τοὺς ἐξ ἀρχῆς προγόνους, καὶ διὰ τὸν πατέρα, καὶ δι' ἐμαυτόν. τούτων γὰρ προαποδειχθέντων, οὐκ ἔστιν ὅστις οὐκ αὐτὸς αὑτοῦ καταγνώσεται τὴν μεγίστην ζημίαν, ἐὰν μὴ πειθαρχῇ τοῖς ὑπ' ἐμοῦ συμβουλευθεῖσι καὶ προσταχθεῖσι.

Περὶ μὲν οὖν τῶν πολιτειῶν, (ἐντεῦθεν γὰρ ὑποθέμενος ἠρξάμην) οἶμαι πᾶσι δοκεῖν δεινότατον μὲν εἶναι, τὸ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς χρηστοὺς καὶ τοὺς πονηρούς· δικαιότατον δὲ, τὸ διορίσασθαι περὶ τούτων, καὶ μὴ τοὺς ἀνομοίους τῶν ὁμοίων τυγχάνειν. ἀλλὰ καὶ πράττειν, καὶ τιμᾶσθαι κατὰ τὴν ἀξίαν ἑκάστους. αἱ μὲν τοίνυν ὀλιγαρχίαι καὶ δημοκρατίαι τὰς ἰσότητας τοῖς μετέχουσι τῶν πολιτειῶν ζητοῦσι· καὶ τοῦτο εὐδοκιμεῖ παρ' αὐταῖς, ἐὰν μηδέτερος ἑτέρου δύνηται πλέον ἔχειν. ὃ τοῖς πονηροῖς συμφέρον ἐστίν. αἱ δὲ μοναρχίαι, πλεῖστον μὲν νέμουσι τῷ βελτίστῳ, δεύτερον δὲ τῷ μετ' ἐκεῖνον, τρίτον δὲ καὶ τέταρτον τοῖς ἄλλοις κατὰ τὸν αὐτὸν λόγον· καὶ ταῦτα, εἰ μὴ πανταχοῦ καθέστηκεν, ἀλλὰ τό γε βούλημα τῆς πολιτείας τοιοῦτόν ἐστι, καὶ μὴν εἰ δεῖ διορᾶν καὶ τὰς φύσεις τῶν ἀνθρώπων, καὶ τὰς πράξεις, ἅπαντες ἂν τὰς τυραννίδας μᾶλλον ὁμολογήσαιεν.

Καί τοι τίς οὐκ ἂν δέξαιτο τῶν εὖ φρονούντων, τοιαύτης πολιτείας μετέχειν, ἐν ᾗ μὴ διαλήσει χρηστὸς ὢν μᾶλλον, ἢ φέρεσθαι μετὰ τοῦ πλήθους, μὴ γιγνωσκόμενος ὁποῖός τις ἐστιν. ἀλλὰ μὴν καὶ πρᾳοτέραν τοσούτῳ, καὶ δικαιοτέραν δικαίως ἂν αὐτὴν κρίνοιμεν, ὅσῳ περ ῥᾷόν ἐστιν ἑνὸς ἀνδρὸς γνώμῃ προσέχειν τὸν νοῦν μᾶλλον, ἢ πολλαῖς διανοίαις καὶ παντοδαπαῖς ζητεῖν ἀρέ-

σκαν· ὅτι μὲν οὖν ἡδίων ἐστὶ καὶ πρᾳοτέρα καὶ δικαιοτέρα, διὰ πλειόνων μὲν ἄν τις ἀποδείξειεν, οὐ μὴν ἀλλὰ καὶ διὰ τούτων συνιδεῖν ῥᾴδιόν ἐστι. περὶ δὲ τῶν λοιπῶν, ὅσον αἱ μοναρχίαι καὶ πρὸς τὸ βουλεύσασθαι, καὶ πρὸς τὸ πρᾶξαί τι τῶν δεόντων διαφέρουσιν, οὕτως ἂν κάλλιστα θεωρήσαιμεν, εἰ τὰς μεγίστας τῶν πράξεων παρ' ἀλλήλας τιθέντες, ἐξετάζειν ἐπιχειρήσαιμεν αὐτάς. Οἱ μὲν τοίνυν κατ' ἐνιαυτὸν εἰς τὰς ἀρχὰς εἰσιόντες, πρότερον ἰδιῶται γίγνονται, πρὶν αἰσθέσθαι τι τῶν τῆς πόλεως, καὶ λαβεῖν ἐμπειρίαν αὐτῶν· οἱ δ' ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλ' ἐν ταῖς γε ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν· ἔπειτα οἱ μὲν πολλῶν καταμελοῦσιν, εἰς ἀλλήλους ἀποβλέποντες, οἱ δ' οὐδενὸς ὀλιγωροῦσιν, εἰδότες, ὅτι δεῖ πάντα δι' αὐτῶν γίγνεσθαι· πρὸς δὲ τούτοις, οἱ μὲν ἐν ταῖς ὀλιγαρχίαις, καὶ ταῖς δημοκρατίαις, διὰ τὰς πρὸς σφᾶς αὐτοὺς φιλοτιμίας, λυμαίνονται τοῖς κοινοῖς· οἱ δ' ἐν ταῖς μοναρχίαις ὄντες, οὐκ ἔχοντες ὅτῳ φθονήσουσι, περὶ πάντων, ὡς οἷόν τ' ἐστὶ, τὰ βέλτιστα πράττουσιν. ἔπειτα οἱ μὲν ὑστεροῦσι τῶν πραγμάτων, τὸν μὲν γὰρ πλεῖστον χρόνον ἐπὶ τοῖς ἰδίοις διατρίβουσιν· ἐπειδὰν δὲ εἰς τὰ συνέδρια συνέλθωσιν, πλεονάκις ἄν τις αὐτοὺς εὕροι διαφερομένους, ἢ κοινῇ βουλευομένους· οἱ δ' οὔτε συνεδρίων, οὔτε χρόνων αὐτοῖς ἀποδεδειγμένων, ἀλλὰ καὶ τὰς ἡμέρας καὶ τὰς νύκτας ἐπὶ ταῖς πράξεσιν ὄντες, οὐκ ἀπολείπονται τῶν καιρῶν, ἀλλ' ἕκαστον ἐν τῷ δέοντι πράττουσιν· ἔτι δ' οἱ μὲν πρὸς ἀλλήλους δυσμενῶς ἔχουσι, καὶ βούλοιντ' ἂν καὶ τοὺς πρὸ αὐτῶν ἄρχοντας, καὶ τοὺς ἐφ' ἑαυτῶν, ὡς κάκιστα διοικῆσαι τὴν πόλιν, ἵν' ὡς μεγίστην δόξαν αὐτοὶ λαμβάνωσιν· οἱ δὲ, διὰ παντὸς τοῦ βίου κύριοι τῶν πραγμάτων ὄντες, εἰς πάντα τὸν χρόνον καὶ τὰς εὐνοίας ὁμοίως ἔχουσι, τὸ δὲ μέγιστον πάντων, τοῖς γὰρ κοινοῖς οἱ μὲν ὡς ἰδίοις, οἱ δὲ ὡς ἀλλοτρίοις προσέχουσι τὸν νοῦν, καὶ συμβούλοις χρῶνται περὶ αὐτῶν, οἱ μὲν τῶν ἀστῶν τοῖς τολμηροτάτοις, οἱ δ' ἐξ ἁπάντων ἐκλεξάμενοι τοὺς φρονιμωτάτους· καὶ τιμῶσιν οἱ μὲν τοὺς ἐν τοῖς ὄχλοις εἰπεῖν δυναμένους, οἱ δὲ τοὺς χρῆσθαι τοῖς πράγμασιν ἐπισταμένους· οὐ μόνον δ' ἐν τοῖς ἐγκυκλίοις καὶ τοῖς καθ' ἡμέραν γιγνομένοις αἱ μοναρχίαι διαφέρουσιν, ἀλλὰ καὶ τὰς ἐν τῷ πολέμῳ πλεονεξίας ἁπάσας περιειλήφασι· καὶ γὰρ παρασκευάσασθαι δυνάμεις, καὶ χρῆσθαι ταύταις, ὥστε καὶ λα-

λαθεῖν καὶ ὀφθῆναι, καὶ τοὺς μὲν πεῖσαι, τοὺς δὲ βιάσασθαι, τοὺς δὲ τῷ ἐκπρίασθαι, τοὺς δὲ ταῖς ἄλλαις θεραπείαις προσάγεσθαι, μᾶλλον αἱ τυραννίδες τῶν ἄλλων πολιτειῶν οἷαί τ' εἰσί· καὶ ταῦτα ἐκ τῶν ἔργων ἄν τις ἐχ ἧττον, ἢ τῶν λόγων πιστεύσειεν· Τοῦτο μὲν γὰρ τὴν Περσῶν δύναμιν ἅπαντες ἴσμεν τηλικαύτην τὸ μέγεθος γεγενημένην, οὐ διὰ τὴν τῶν ἀνδρῶν φρόνησιν, ἀλλ' ὅτι μᾶλλον τῶν ἄλλων τὴν βασιλείαν τιμῶσι. τοῦτο δὲ Διονύσιον τὸν τύραννον, ὃς παραλαβὼν τὴν μὲν ἄλλην Σικελίαν ἀνάστατον γεγενημένην, τὴν δ' αὑτοῦ πατρίδα πολιορκουμένην, οὐ μόνον αὐτὴν τῶν παρόντων κινδύνων ἀπήλλαξεν, ἀλλὰ καὶ μεγίστην τῶν Ἑλληνίδων πόλεων ἐποίησεν· ἔτι δὲ Καρχηδονίους, καὶ Λακεδαιμονίους, τοὺς ἄριστα τῶν Ἑλλήνων πολιτευομένους, οἴκοι μὲν ὀλιγαρχουμένους, παρὰ δὲ τὸν πόλεμον βασιλευομένους· ἔχοι δ' ἄν τις ἐπιδεῖξαι καὶ τὴν πόλιν τῶν Ἀθηναίων τὴν μάλιστα τὰς τυραννίδας μισοῦσαν, ὅταν μὲν πολλοὺς ἐκπέμψῃ στρατηγοὺς ἀτυχοῦσαν, ὅταν δὲ δι' ἑνὸς ποιῆται τοὺς κινδύνους κατορθοῦσαν· Καί τοι πῶς ἄν τις σαφέστερον ἐπιδείξειεν, ἢ διὰ τούτων τῶν παραδειγμάτων πλείστου τὰς μοναρχίας ἀξίας οὔσας; φαίνονται γὰρ οἵ τε διὰ τέλους τυραννούμενοι, μεγίστας δυνάμεις ἔχοντες, οἵ τε καλῶς ὀλιγαρχούμενοι, περὶ ἃ μάλιστα σπουδάζουσιν· οἱ μὲν ἕνα μόνον στρατηγόν, οἱ δὲ βασιλέα τῶν στρατοπέδων κύριον καθιστάντες· οἵ τε μισοῦντες τὰς τυραννίδας, ὁπόταν πολλοὺς ἄρχοντας ἐκπέμψωσιν, οὐδὲν τῶν δεόντων πράττοντες· εἰ δὲ δεῖ τι καὶ τῶν ἀρχαίων εἰπεῖν, λέγεται καὶ τοὺς θεοὺς ὑπὸ τοῦ Διὸς βασιλεύεσθαι· περὶ ὧν εἰ μὲν ὁ λόγος ἀληθής ἐστι, δῆλον, ὅτι κἀκεῖνοι ταύτην τὴν κατάστασιν προκρίνουσιν· εἰ δὲ τὸ μὲν σαφὲς μηδεὶς οἶδεν, αὐτοὶ δ' εἰκάζοντες οὕτω περὶ αὐτῶν ὑπειλήφαμεν, σημεῖον, ὅτι πάντες τὴν μοναρχίαν προτιμῶμεν· οὐ γὰρ ἄν ποτε αὐτῇ χρῆσθαι τοὺς θεοὺς ἔφαμεν, εἰ μὴ πολὺ τῶν ἄλλων προέχειν αὐτὴν ἐνομίζομεν.

Περὶ μὲν οὖν τῶν πολιτειῶν, ὅσον ἀλλήλων διαφέρουσιν, ἅπαντα μὲν οὔθ' εὑρεῖν, οὔτ' εἰπεῖν δυνατόν ἐστιν· οὐ μὲν ἀλλὰ πρός γε τὸ παρὸν ἐξαρκούντως, καὶ νῦν εἴρηται περὶ αὐτῶν· ὡς δὲ προσηκόντως ἡμᾶς τὴν ἀρχὴν ἔχομεν, πολὺ τούτου συντομώτερος, καὶ μᾶλλον ὁμολογούμενος ὁ λόγος ἐστίν. τίς γὰρ οὐκ οἶδεν, ὅτι

Τεῦκρος μὲν ὁ τοῦ γένους ἡμῶν ἀρχηγὸς, παραλαβὼν τοὺς τῶν ἄλλων πολιτῶν προγόνους, πλεύσας δεῦρο, καὶ πόλιν αὐτοῖς ἔκτισε, καὶ τὴν χώραν διένειμεν. ὁ δὲ πατὴρ Εὐαγόρας, ἀπολεσάντων ἑτέρων τὴν ἀρχὴν πάλιν ἀνέλαβεν, ὑποστὰς τοὺς μεγίστους κινδύνους, καὶ τοσοῦτον μετέστησεν, ὥστε μηκέτι Φοίνικας Σαλαμινίων τυραννεῖν, ἀλλ' ὧνπερ ἦν τὴν ἀρχὴν, τούτους καὶ νῦν ἔχειν τὴν βασιλείαν.

Λοιπὸν οὖν ἐστιν ὧν προεθέμην, περὶ ἐμαυτοῦ διελθεῖν, ἵν' ἐπίστησθε, ὅτι τοιοῦτός ἐστιν ὑμῶν ὁ βασιλεὺς, ὃς οὐ μόνον διὰ τοὺς προγόνους, ἀλλὰ καὶ δι' ἐμαυτὸν, δικαίως ἂν καὶ μείζονος τιμῆς ἢ τηλικαύτης ἠξιώθην· οἶμαι γὰρ ἔγωγε πάντας ἂν ὁμολογῆσαι, πλείστου τῶν ἀρετῶν ἀξίας εἶναι, τήν τε σωφροσύνην, καὶ τὴν δικαιοσύνην· οὐ γὰρ μόνον ἡμᾶς τὸ καθ' αὑτὰς ὠφελοῦσιν, ἀλλ' εἰ θέλοιμεν σκοπεῖν καὶ φύσεις καὶ τὰς δυνάμεις, καὶ τὰς χρήσεις τῶν πραγμάτων, εὑρήσομεν, τὰς μὲν μετεχούσας μηδαμῶς τούτων τῶν ἰδεῶν, μεγάλων κακῶν αἰτίας οὔσας, τὰς δὲ μετὰ δικαιοσύνης καὶ σωφροσύνης γιγνομένας, πολλὰ τὸν βίον τῶν ἀνθρώπων ὠφελούσας· εἰ δὲ δή τινες τῶν προγεγενημένων ἐπὶ ταύταις ταῖς ἀρεταῖς εὐδοκίμησαν, ἡγοῦμαι κἀμοὶ προσήκειν τῆς αὐτῆς δόξης ἐκείνοις τυγχάνειν· τὴν μὲν οὖν δικαιοσύνην, ἐκεῖθεν ἂν μάλιστα κατίδοιτε· παραλαβὼν γὰρ, ὅτ' εἰς τὴν ἀρχὴν καθιστάμην, τὰ μὲν βασίλεια χρημάτων κενὰ, καὶ πάντα κατηναλωμένα, τὰ πράγματα δὲ ταραχῆς μεστὰ, καὶ πολλῆς ἐπιμελείας δεόμενα, καὶ φυλακῆς, καὶ δαπάνης, εἰδὼς δ' ἑτέρους ἐν τοῖς τοιούτοις καιροῖς ἐκ παντὸς τρόπου τὰ σφέτερ' αὐτῶν διορθουμένους, καὶ πολλὰ παρὰ τὴν φύσιν τὴν αὐτῶν πράττειν ἀναγκαζομένους, ὅμως οὐδ' ὑφ' ἑνὸς τούτων διεφθάρην, ἀλλ' οὕτως ὁσίως καὶ καλῶς ἐπεμελήθην τῶν πραγμάτων, ὥστε μηδὲν ἐλλείπειν, ἐξ ὧν οἷόν τ' ἦν αὐξηθῆναι, καὶ πρὸς εὐδαιμονίαν ἐπιδοῦναι τὴν πόλιν. πρός τε γὰρ τοὺς πολίτας μετὰ τοσαύτης πραότητος προσηνέχθην, ὥστε μήτε θανάτους, μήτε χρημάτων ἀποβολὰς, μήτε ἄλλην μηδεμίαν τοιαύτην συμφορὰν ἐπὶ τῆς ἐμῆς γεγενῆσθαι βασιλείας· Ἀβάτου δ' ἡμῖν τῆς Ἑλλάδος οὔσης διὰ τὸν πόλεμον τὸν γεγενημένον, καὶ πανταχοῦ συλωμένων ἡμῶν, τὰ πλεῖστα τούτων διέλυσα, τοῖς μὲν ἅπαντα ἀποτίνων, τοῖς δὲ μέρη, τῶν δ' ἀνα-

βαλ-

βιάζεσθαι δεόμενος, πρὸς δὲ τοὺς, ὅπως ἠδυνάμην, περὶ τῶν ἐγκλημάτων διαλλαττόμενος. Ἔτι δὲ καὶ τῶν τὴν νῆσον οἰκούντων δυσκόλως πρὸς ἡμᾶς διακειμένων, καὶ βασιλέως τῷ μὲν λόγῳ διηλλαγμένου, τῇ δ' ἀληθείᾳ τραχέως ἔχοντος, ἀμφότερα ταῦτα κατεπράϋνα, τῷ μὲν προθύμως ὑπηρετῶν, πρὸς δὲ τοὺς δίκαιον ἐμαυτὸν παρέχων· τοσούτου γὰρ δέω τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥσθ' ἕτεροι μὲν, ἢν καὶ μικρῷ μείζω τῶν ὁμόρων δύναμιν ἔχωσιν, ἀποτέμνονται τῆς γῆς, καὶ πλεονεκτεῖν ζητοῦσιν· ἐγὼ δ' οὐδὲ τὴν διδομένην καὶ χώραν ἠξίωσα λαβεῖν, ἀλλ' αἱροῦμαι μετὰ δικαιοσύνης τὴν ἐμαυτοῦ μόνην ἔχειν μᾶλλον, ἢ μετὰ κακίας πολλαπλασίαν τῆς ὑπαρχούσης κτήσασθαι· καὶ τί δεῖ καθ' ἕκαστον λέγοντα διατρίβειν, ἄλλως τε καὶ συντόμως ἔχοντα δηλῶσαι περὶ ἐμαυτοῦ, φανήσομαι γὰρ μηδένα μὲν πώποτ' ἀδικήσας. πλείους δὲ καὶ τῶν πολιτῶν καὶ τῶν ἄλλων Ἑλλήνων εὖ πεποιηκὼς, καὶ μείζους δωρεὰς ἑκατέροις δεδωκὼς, ἢ σύμπαντες οἱ πρὸ ἐμοῦ βασιλεύσαντες· καί τοι χρὴ τοὺς μεγαφρονοῦντας ἐπὶ δικαιοσύνῃ, καὶ προσποιουμένους χρημάτων εἶναι κρείττους, τοιαύτας ὑπερβολὰς ἔχειν εἰπεῖν περὶ αὑτῶν· καὶ μὲν δὴ καὶ περὶ σωφροσύνης ἔτι μείζω τούτων ἔχω διελθεῖν· εἰδὼς γὰρ ἅπαντας ἀνθρώπους περὶ πλείστου ποιουμένους τοὺς παῖδας τοὺς ἑαυτῶν καὶ τὰς γυναῖκας, καὶ μάλιστα ὀργιζομένους τοῖς εἰς ταῦτα ἐξαμαρτάνουσι, καὶ τὴν ὕβριν τὴν περὶ ταῦτα μεγίστων κακῶν αἰτίαν γιγνομένην, καὶ πολλοὺς ἤδη τῶν ἰδιωτῶν, καὶ τῶν δυναστευόντων διὰ ταύτην ἀπολλυμένους, οὕτως ἔφυγον τὰς αἰτίας ταύτας, ὥστε ἐξ οὗ τὴν βασιλείαν ἔλαβον, οὐδενὶ φανήσομαι σώματι πεπλησιακὼς, πλὴν τῆς ἐμαυτοῦ γυναικός· οὐκ ἀγνοῶν ὡς κἀκεῖνοι παρὰ τοῖς πολλοῖς εὐδοκιμοῦσιν, ὅσοι περὶ μὲν τὰ τῶν πολιτῶν δίκαιοι τυγχάνουσιν ὄντες, ἄλλοθεν δέ ποθεν ἑαυτοῖς ἐπορίσαντο τὰς ἡδονάς· ἀλλὰ βουλόμενος ἅμα μὲν ἐμαυτὸν ὡς πορρωτάτω ποιῆσαι τῶν τοιούτων ὑποψιῶν, ἅμα δὲ παράδειγμα καταστῆσαι τὸν τρόπον τὸν ἐμαυτοῦ τοῖς ἄλλοις πολίταις, γιγνώσκων, ὅτι φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν, ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς ἑαυτῶν ὁρῶσι διατρίβοντας· ἔπειτα καὶ προσήκειν ἡγησάμην, τοσούτῳ τοὺς βασιλέας βελτίους εἶναι τῶν ἰδιωτῶν, ὅσῳ περ καὶ τὰς τιμὰς μείζους αὐτῶν ἔχουσι, καὶ δεινὰ ποιεῖν, ὅσοι τοὺς μὲν ἄλλους κοσμίως ζῆν ἀναγ-

κολάζουσι, αὐτοὶ δ' αὐτοὺς μὴ σωφρονεστέρους τῶν ἀρχομένων παρέχουσι· πρὸς δὲ τούτοις, τῶν μὲν ἄλλων πράξεων ἑώρων ἐγκρατεῖς καὶ τοὺς πολλοὺς γιγνομένους· τῶν δὲ ἐπιθυμιῶν τῶν περὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας, καὶ τοὺς βελτίστους ἡττωμένους· ἠβουλήθην οὖν ἐν τούτοις ἐμαυτὸν ἐπιδεῖξαι καρτερεῖν δυνάμενον, ἐν οἷς ἔμελλον οὐ μόνον τῶν ἄλλων διοίσειν, ἀλλὰ καὶ τῶν ἐπ' ἀρετῇ μεγαλοφρονούντων· ἔτι δὲ καὶ τῶν τοιούτων πολλὴν κακίαν κατεγίγνωσκον, ὅσοι γυναῖκας λαβόντες, καὶ κοινωνίαν ποιησάμενοι παντὸς τοῦ βίου, μὴ στέργουσιν οἷς ἔπραξαν, ἀλλὰ ταῖς ἑαυτῶν ἡδοναῖς λυποῦσι ταύτας ὑφ' ὧν αὐτοὶ μηδὲν ἀξιοῦσι λυπεῖσθαι· καὶ περὶ μὲν ἄλλας κοινωνίας τινὰς, ἐπιεικεῖς σφᾶς αὐτοὺς παρέχουσιν, ἐν δὲ ταῖς πρὸς τὰς γυναῖκας ἐξαμαρτάνουσιν, ἃς ἔδει τοσούτῳ μᾶλλον διαφυλάττειν, ὅσῳ περ οἰκειότεραι καὶ μείζους οὖσαι τυγχάνουσι τῶν ἄλλων· εἶτα καὶ λανθάνουσιν ἔνδον ἐν αὐτοῖς τοῖς βασιλείοις στάσεις καὶ διαφορὰς ἑαυτοῖς ἐγκαταλείποντες. Καίτοι χρὴ τοὺς ὀρθῶς βασιλεύοντας, μὴ μόνον τὰς πόλεις ἐν ὁμονοίᾳ πειρᾶσθαι διάγειν, ὧν ἂν ἄρχωσιν, ἀλλὰ καὶ τοὺς ἰδίους οἴκους καὶ τοὺς τόπους, ἐν οἷς ἂν κατοικῶσιν· ἅπαντα γὰρ ταῦτα, σωφροσύνης ἔργα καὶ δικαιοσύνης ἐστίν. Οὐ τὴν αὐτὴν δὲ γνώμην ἔσχον οὐδὲ περὶ τῆς παιδοποιίας τοῖς πλείστοις τῶν βασιλέων· οὐδ' ᾠήθην δεῖν τοὺς μὲν ἐκ ταπεινοτέρας ποιήσασθαι τῶν παίδων, τοὺς δ' ἐκ σεμνοτέρας· οὐδὲ τοὺς μὲν νόθους αὐτῶν, τοὺς δὲ γνησίους καταλιπεῖν, ἀλλὰ πάντας ἔχειν τὴν αὐτὴν φύσιν, καὶ πρὸς πατρὸς καὶ πρὸς μητρὸς ἀνενεγκεῖν, τῶν μὲν θνητῶν εἰς Εὐαγόραν τὸν πατέρα τὸν ἐμόν, τῶν δ' ἡμιθέων, εἰς Αἰακίδας, τῶν δὲ θεῶν, εἰς Δία· καὶ μηδένα τῶν ἐξ ἐμοῦ γενομένων ἀποστερηθῆναι ταύτης τῆς εὐγενείας· πολλῶν δέ με προτρεπόντων ἐμμένειν τοῖς ἐπιτηδεύμασι τούτοις, οὐχ ἥκιστά με κἀκεῖνο παρεκάλεσεν, ὅτι τῆς μὲν ἀνδρείας, καὶ τῆς δεινότητος, καὶ τῶν ἄλλων τῶν εὐδοκιμούντων, ἑώρων καὶ τῶν κακῶν ἀνδρῶν πολλοὺς μετέχοντας, τὴν δὲ σωφροσύνην καὶ τὴν δικαιοσύνην, ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ὄντα· Κάλλιστον οὖν ὑπέλαβον, εἴ τις δύναιτο ταύταις ταῖς ἀρεταῖς προσέχειν τὸν νοῦν, τῶν ἄλλων ἀφελόμενος, ὧν μηδὲν μέρος τοῖς πονηροῖς μέτεστιν, ἀλλὰ καὶ γνησιώταται καὶ βεβαιόταται, καὶ μέγισται, καὶ μεγίστων ἐπαίνων ἄξιαι τυγ-

τυγχάνουσιν ὄντα· τούτων ἕνεκα ταύτῃ διανοηθεὶς [illegible] τῶν ἄλλων ἤσκησα τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην, καὶ ταύτας προῃρούμην τῶν ἡδονῶν, οὐ τὰς ἐπὶ τοῖς ἔργοις μηδεμίαν τιμὴν ἐχούσας, ἀλλὰ τὰς ἐπὶ ταῖς δόξαις ταῖς δι' ἀνδραγαθίαν γενομένας· χρὴ δὲ δοκιμάζειν τὰς ἀρετὰς, οὐκ ἐν ταῖς αὐταῖς ἰδέαις ἁπάσας, ἀλλὰ τὴν μὲν δικαιοσύνην ἐν ταῖς ἀπορίαις, τὴν δὲ σωφροσύνην ἐν ταῖς δυναστείαις, τὴν δὲ καρτερίαν ἐν ταῖς τῶν νεωτέρων ἡλικίαις. Ἐγὼ τοίνυν ἐν ἅπασι τοῖς καιροῖς τούτοις φανήσομαι πεῖραν τῆς ἐμαυτοῦ φύσεως δεδωκώς· ἐνδεὴς μὲν γὰρ χρημάτων καταλειφθεὶς, οὕτω δίκαιον ἐμαυτὸν παρέσχον, ὥστε μηδένα λυπῆσαι τῶν πολιτῶν· λαβὼν δ' ἐξουσίαν ὥστε ποιεῖν, ὅ τι ἂν βούλωμαι, σωφρονέστερος τῶν ἰδιωτῶν ἐγενόμην· τούτων δ' ἀμφοτέρων ἐκράτησα, ταύτην ἔχων τὴν ἡλικίαν, ἐν ᾗ τοὺς πλείστους ἂν εὕροιμεν μάλιστα περὶ τὰς πράξεις ἐξαμαρτάνοντας· καὶ πάντα ταῦτα ἐν ἑτέροις μὲν ἴσως ἂν ὤκνουν εἰπεῖν, οὐχ ὡς οὐ φιλοτιμούμενος ἐπὶ τοῖς πεπραγμένοις, ἀλλ' ὡς οὐκ ἂν πιστευθεὶς ἐκ τῶν λεγομένων· ὑμεῖς δ' αὐτοί μοι μάρτυρές ἐστε πάντων τῶν εἰρημένων· ἄξιον μὲν οὖν καὶ τοὺς φύσει κοσμίους ὄντας ἐπαινεῖν καὶ θαυμάζειν· ἔτι δὲ μᾶλλον τοὺς καὶ μετὰ λογισμοῦ τοιούτους ὄντας. οἱ μὲν γὰρ τύχῃ, καὶ μὴ γνώμῃ σωφρονοῦντες, τυχὸν ἂν καὶ μεταπεισθεῖεν· οἱ δὲ πρὸς τῷ πεφυκέναι, καὶ διεγνωκότες ὅτι μέγιστόν ἐστι τῶν ἀγαθῶν ἀρετὴ, δῆλον, ὅτι πάντα τὸν βίον ἐν ταύτῃ τῇ τάξει διαμενοῦσι. Διὰ τοῦτο δὲ πλείους ἐποιησάμην τοὺς λόγους, καὶ περὶ ἐμαυτοῦ, καὶ περὶ τῶν ἄλλων τῶν προειρημένων, ἵνα μηδεμίαν ὑπολίπω πρόφασιν, ὡς οὐ δεῖ ποιεῖν ὑμᾶς ἑκόντας, καὶ προθύμως, ἅττ' ἂν ἐγὼ προστάξω, καὶ συμβουλεύσω. Φημὶ δὴ πράττειν ἕκαστον ὑμῶν, ἐφ' οἷς ἐφέστηκεν, ἐπιμελῶς καὶ δικαίως· καθ' ὁπότερον γὰρ ἂν ἐλλίπητέ τι τούτων, ἀνάγκη ταύτῃ κακῶς ἔχειν τὰς πράξεις. Μηδενὸς οὖν ὀλιγωρεῖτε, μηδὲ καταφρονεῖτε τῶν προστεταγμένων, ὑπολαμβάνοντες ὡς οὐ παρὰ ταῦτ' ἐστίν· ἀλλ' ὡς παρ' ἕκαστον τῶν μερῶν, ἢ καλῶς ἢ κακῶς ἕξον τὸ σύμπαν, οὕτω σπουδάζετε περὶ αὐτῶν· καὶ κήδεσθε μηδὲν ἧττον τῶν ἐμῶν, ἢ τῶν ὑμετέρων αὐτῶν· καὶ μὴ νομίζετε μικρὸν ἀγαθὸν εἶναι τὰς τιμὰς, ἃς ἔχουσιν οἱ καλῶς τῶν ἡμετέρων ἐπιστατοῦντες. Ἀπέχεσθε

τὴν ἀλλοτρίαν, ἵν' ἀσφαλέστερον τοὺς οἴκους τοὺς ὑμετέρους αὐτῶν κεκτῆσθε. Τοιούτους εἶναι χρὴ περὶ τοὺς ἄλλους ὑμᾶς, οἷόν περ ἐμὲ περὶ ὑμᾶς ἀξιοῦτε γίνεσθαι. Μὴ σπεύδετε πλουτεῖν μᾶλλον, ἢ χρηστοὶ δοκεῖν εἶναι, γιγνώσκοντες, ὅτι καὶ τῶν ἑλλήνων καὶ τῶν βαρβάρων, οἱ μεγίστας ἐπ' ἀρετῇ δόξας ἔχοντες πλείστων ἀγαθῶν δεσπόται καθίστανται. Τοὺς χρηματισμοὺς τοὺς παρὰ τὸ δίκαιον γιγνομένους ἡγεῖσθε μὴ πλοῦτον, ἀλλὰ κίνδυνον ποιήσειν. Μὴ τὸ μὲν λαβεῖν κέρδος εἶναι νομίζετε, τὸ δ' ἀναλῶσαι ζημίαν· οὐδέτερον γὰρ τούτων ἀεὶ τὴν αὐτὴν ἔχει δύναμιν· ἀλλ' ὁπότερον ἂν ἐν καιρῷ καὶ μετ' ἀρετῆς γίγνηται, τοῦτ' ὠφελήσει τοὺς ποιοῦντας. Μηδὲ πρὸς ἓν χαλεπῶς ἔχετε τῶν ὑπ' ἐμοῦ προσταττομένων, ὅσοι γὰρ ἂν ὑμῶν περὶ πλεῖστα τῶν ἐμῶν χρησίμους αὐτοὺς παράσχωσιν, οὗτοι πλεῖστα τοὺς οἴκους τοὺς ἑαυτῶν ὠφελήσουσιν. Ὅ, τι ἂν ὑμῶν ἕκαστος αὐτὸς αὑτῷ τύχῃ συνειδὼς, ἡγείσθω μηδὲ ἐμὲ λήσειν· ἀλλ' ἐὰν καὶ τὸ σῶμα τοὐμὸν μὴ παρῇ, τήν γε διάνοιαν τὴν ἐμὴν οἰέσθω τοῖς γιγνομένοις παρεστάναι· ταύτην γὰρ τὴν γνώμην ἔχοντες, σωφρονέστερον ἂν βουλεύσεσθε περὶ αὐτῶν. Μηδὲν ἀποκρύπτεσθε, μήθ' ὧν κέκτησθε, μήθ' ὧν ποιεῖτε, μήθ' ἂν μέλλετε πράττειν, εἰδότες, ὅτι περὶ τὰ κεκρυμμένα τῶν πραγμάτων, ἀναγκαῖόν ἐστι πολλοὺς φόβους γίνεσθαι. Μὴ τεχνικῶς ζητεῖτε πολιτεύεσθαι, μηδ' ἀφανῶς, ἀλλ' οὕτως ἁπλῶς καὶ φανερῶς, ὥστε μηδ' ἄν τις βούληται, ῥᾴδιον εἶναι ὑμᾶς διαβάλλειν. Δοκιμάζετε τὰς πράξεις, καὶ νομίζετε πονηρὰς μὲν, ἃς ἂν πράττοντες ἐμὲ βούλησθε λανθάνειν, χρηστὰς δὲ, περὶ ὧν ἂν ἐγὼ μέλλω πυθόμενος, βελτίους ὑμᾶς νομιεῖν. Μὴ κατασιωπᾶτε, ἐάν τινας ὁρᾶτε περὶ τὴν ἀρχὴν τὴν ἐμὴν πονηροὺς ὄντας, ἀλλ' ἐξελέγχετε, καὶ νομίζετε τῆς αὐτῆς εἶναι ζημίας ἀξίους τοὺς συγκρύπτοντας τοῖς ἐξαμαρτάνουσι· Εὐτυχεῖς δὲ νομίζετε μὴ τοὺς λανθάνοντας, ἐάν τι κακὸν ποιήσωσιν, ἀλλὰ τοὺς μηδὲν ἐξαμαρτάνοντας· τοὺς μὲν γὰρ εἰκὸς τοιαῦτα παθεῖν οἷάπερ αὐτοὶ ποιοῦσι, τοὺς δὲ χάριν ἀπολαβεῖν, ἧς ἄξιοι τυγχάνουσιν ὄντες. Ἑταιρείας μὴ ποιεῖτε, μήτε συνόδους ἄνευ τῆς ἐμῆς γνώμης· αἱ γὰρ τοιαῦται συστάσεις, ἐν μὲν ταῖς ἄλλαις πολιτείαις πλεονεκτοῦσιν, ἐν δὲ ταῖς μοναρχίαις κινδυνεύουσιν. Μὴ μόνον ἀπέχεσθε τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ τῶν ἐπιτηδευ-

μά-

μάτων τῶν τοιούτων, ἐν οἷς ἀναγκαῖόν ἐστιν ὑποψίαν γίγνεσθαι. Τὴν ἐμὴν φιλίαν ἀσφαλεστάτην καὶ βεβαιοτάτην εἶναι νομίζετε, καὶ διαφυλάττετε τὴν παροῦσαν κατάστασιν, καὶ μηδεμιᾶς ἐπιθυμεῖτε μεταβολῆς, εἰδότες, ὅτι διὰ τὰς τοιαύτας ταραχὰς ἀναγκαῖόν ἐστι καὶ τὰς πόλεις διαφθείρεσθαι, καὶ τοὺς οἴκους τοὺς ἰδίους ἀναστάτους γίγνεσθαι. Μὴ μόνον τὰς φύσεις αἰτίας νομίζετε τοῦ χαλεποὺς, ἢ πράους εἶναι τοὺς τυράννους, ἀλλὰ καὶ τὸν τρόπον τῶν πολιτῶν. πολλοὶ γὰρ ἤδη διὰ τὴν τῶν ἀρχομένων κακίαν, τραχύτερον ἢ κατὰ τὴν αὐτῶν γνώμην ἄρχειν ἠναγκάσθησαν· Θαρρεῖτε μὴ διὰ τὴν ἐμὴν μᾶλλον πρᾳότητα, ἢ διὰ τὴν ὑμετέραν αὐτῶν ἀρετήν. Τὴν ἐμὴν ἀσφάλειαν, ἄδειαν ἑαυτοῖς εἶναι νομίζετε· καλῶς γὰρ τῶν περὶ ἐμὲ καθεστώτων, τὸν αὐτὸν τρόπον καὶ τὰ περὶ ὑμᾶς αὐτοὺς ἕξει· Ταπεινοὺς μὲν εἶναι χρὴ πρὸς τὴν ἀρχὴν τὴν ἐμὴν, ἐμμένοντας τοῖς ἤθεσι, καὶ διαφυλάττοντας τοὺς νόμους τοὺς βασιλικοὺς, λαμπροὺς δ' ἔν τε ταῖς ὑπὲρ τῆς πόλεως λειτουργίαις, καὶ τοῖς ὑπ' ἐμοῦ προσταττομένοις· Προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετὴν μὴ μόνον παραινοῦντες, ἀλλὰ καὶ περὶ τὰς πράξεις ὑποδεικνύντες αὐτοῖς, οἵους εἶναι χρὴ τοὺς ἄνδρας τοὺς ἀγαθούς. Διδάσκετε τοὺς παῖδας τοὺς ὑμετέρους αὐτῶν βασιλεύεσθαι, καὶ περὶ τὴν παίδευσιν τῆς τοιαύτης ἀρετῆς ἐθίζετε αὐτοὺς ὡς μάλιστα διατρίβειν· ἐὰν γὰρ ἄρχεσθαι μάθωσι, πολλῷ μᾶλλον ἄρχειν δυνήσονται· καὶ πιστοὶ μὲν ὄντες καὶ δίκαιοι μεθέξουσι τῶν ἡμετέρων ἀγαθῶν, κακοὶ δὲ γιγνόμενοι κινδυνεύσουσι περὶ τῶν ὑπαρχόντων· Μέγιστον ἡγεῖσθε τοῖς παισὶ, καὶ βεβαιότατον πλοῦτον παραδώσειν, ἐὰν αὐτοῖς δύνησθε τὴν ἡμετέραν εὔνοιαν καταλιπεῖν. Ἀθλιωτάτους ἡγεῖσθε καὶ δυστυχεστάτους, ὅσοι περὶ τοὺς πιστεύσαντας ἄπιστοι γεγόνασιν· ἀνάγκη γὰρ τοὺς τοιούτους ἀθύμως ἔχοντας καὶ φοβουμένους ἅπαντα, καὶ μηδὲν μᾶλλον πιστεύοντας τοῖς φίλοις, ἢ τοῖς ἐχθροῖς τὸν ἐπίλοιπον χρόνον διάγειν. Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας· μετὰ γὰρ τοιαύτης ψυχῆς ἥδιον ἄν τις τὸν βίον δύναιτο διάγειν. Μὴ τὴν κακίαν δύνασθαι μὲν πλέον τῆς ἀρετῆς ὠφελεῖν νομίζετε, τὸ δ' ὄνομα δυσχερέστερον ἔχειν, ἀλλ' οἵωνπερ ὀνομάτων ἕκαστα τῶν πραγμάτων τετύχηκε, τοιαύτας ἡγεῖσθε καὶ τὰς δυνάμεις αὐτῶν

εἶναι. Μὴ φθονεῖτε τοῖς παρ' ἐμοῦ πρωτεύουσιν, ἀλλ' ἁμιλλᾶσθε, καὶ πειρᾶσθε χρηστοὺς ὑμᾶς αὐτοὺς παρέχοντες ἐξισοῦσθαι τοῖς προέχουσι. Φιλεῖν οἴεσθε δεῖν καὶ τιμᾶν, οὕς περ ἂν καὶ βασιλεὺς, ἵνα καὶ παρ' ἐμοῦ τυγχάνητε τῶν αὐτῶν τούτων· οἷά περ παρόντος ἐμοῦ λέγετε, τοιαῦτα καὶ ἀπόντος φρονεῖτε. Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς, ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον, ἢ τοῖς λόγοις· Ἃ πάσχοντες ὑφ' ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε. Περὶ ὧν ἂν ἐν τοῖς λόγοις κατηγορεῖτε, μηδὲν τούτων ἐν τοῖς ἔργοις ἐπιτηδεύετε. Τοιαύτας προσδοκᾶτε πράξειν, οἷα ἂν περὶ ἡμῶν διανοεῖσθε. Μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθοὺς, ἀλλὰ καὶ μιμεῖσθε. Τοὺς λόγους τοὺς ἐμοὺς νόμους εἶναι νομίζετε, καὶ πειρᾶσθε τούτοις ἐμμένειν, εἰδότες, ὅτι τοῖς μάλιστα ποιοῦσιν ὑμῶν ἃ βούλομαι, τούτοις ἐξέσται ζῆν, ὡς αὐτοὶ βούλονται· Κεφάλαιον δὲ τῶν εἰρημένων, οἵους περ ἂν τοὺς ὑφ' ὑμῶν ἀρχομένους οἴεσθε δεῖν περὶ ὑμᾶς εἶναι, τοιούτους χρὴ περὶ τὴν ἀρχὴν τὴν ἐμὴν ὑμᾶς γίνεσθαι· καὶ ταῦτ' ἐὰν ποιῆτε, τί δεῖ περὶ τῶν συμβησομένων μακρολογεῖν; ἢν γὰρ ἐγώ τε παρέχω τοιοῦτον ἐμαυτὸν, οἷόν περ ἐν τῷ παρελθόντι χρόνῳ, καὶ τὰ παρ' ὑμῶν ὁμοίως ὑπηρετῆται, ταχέως ὄψεσθε καὶ τὸν βίον τὸν ὑμέτερον αὐτῶν ἐπιδεδωκότα, καὶ τὴν ἀρχὴν τὴν ἐμὴν ηὐξημένην, καὶ τὴν πόλιν εὐδαίμονα γεγενημένην. Ἄξιον μὲν οὖν τηλικούτων ἀγαθῶν ἕνεκα μηδὲν ἐλλείπειν, ἀλλὰ καὶ πόνους καὶ κινδύνους ἐσινασθεῖν ὑπενεγκεῖν· ὑμῖν δ' ἔξεστι μηδὲν ταλαιπωρηθεῖσιν, ἀλλὰ πιστοῖς μόνον, καὶ δικαίοις οὖσιν, ἅπαντα ταῦτα διαπράξασθαι.

ΔΗΜΟ-

# ΔΗΜΟΣΘΕΝΟΥΣ

## ΟΛΙΝΘΙΑΚΟΣ

## ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Ἀντὶ πολλῶν ἂν, ὦ ἄνδρες ἀθηναῖοι, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει, περὶ ὧν νυνὶ σκοπεῖτε. Ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν. Οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτο ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν, ὥστ' ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι. Ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες ἀθηναῖοι, μονονουχὶ λέγει φωνὴν ἀφιεὶς, ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστὶν, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε· ἡμεῖς δ' οὐκ οἶδ' ὅντινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. Ἔστι δὴ τά γ' ἐμοὶ δοκοῦντα, ψηφίσασθαι μὲν ἤδη τὴν βοήθειαν, καὶ παρασκευάσασθαι τὴν ταχίστην, ὅπως ἐνθένδε βοηθήσητε, καὶ μὴ πάθητε ταὐτὸν, ὅπερ καὶ πρότερον· πρεσβείαν δὲ πέμπειν, ἥτις ταῦτ' ἐρεῖ, καὶ παρέσται τοῖς πράγμασιν. Ὡς ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν, καὶ δεινὸς ἄνθρωπος πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων, ἡνίκ' ἂν τύχῃ, τὰ δ' ἀπειλῶν, (ἀξιόπιστος δ' ἂν εἰκότως φαίνοιτο) τὰ δ' ἡμᾶς διαβάλλων καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν, τρέψηται καὶ παρασπάσηταί τι τῶν ὅλων πραγμάτων. Οὐ μὴν ἀλλ' ἐπιεικῶς, ὦ ἄνδρες ἀθηναῖοι, τοῦθ' ὅπερ δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν. Τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα κύριον, καὶ ῥητῶν, καὶ ἀπορρήτων, καὶ ἅμα στρατηγὸν, καὶ δεσπότην, καὶ ταμίαν, καὶ πανταχοῦ αὐτὸν παρεῖναι τῷ στρατεύματι, πρὸς μὲν τὸ τὰ τοῦ πολέμου ταχὺ καὶ

κατὰ

κατὰ καιρὸν πράττεσθαι, πολλῷ προέχει· πρὸς δὲ τὰς καταλλαγάς, ἃς ἂν ἐκεῖνος ποιήσαιτο ἄσμενος πρὸς Ὀλυνθίους, ἐναντίως ἔχει. Δῆλον γάρ ἐστι τοῖς Ὀλυνθίοις, ὅτι νῦν οὐ περὶ δόξης, οὐδ' ὑπὲρ μέρους χώρας πολεμοῦσιν, ἀλλ' ἀναστάσεως, καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος· καὶ ἴσασιν ἅτ' Ἀμφιπολιτῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν, καὶ Πυδναίων τοὺς ὑποδεξαμένους. Καὶ ὅλως ἄπιστοι, οἶμαι, ταῖς πολιτείαις ἡ τυραννίς, ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσι. Ταῦτ' οὖν ἐγνωκότας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τἆλλ' ἃ προσήκει πάντα ἐνθυμουμένους, φημὶ δεῖν ἐθελῆσαι, καὶ παροξυνθῆναι, καὶ τῷ πολέμῳ προσέχειν, εἴπερ ποτὲ καὶ νῦν, χρήματα εἰσφέροντας προθύμως, καὶ αὐτοὺς ἐξιόντας, καὶ μηδὲν ἐλλείποντας· οὐδὲ γὰρ λόγος, οὐδὲ σκῆψις ἔθ' ὑμῖν, τοῦ μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν, ὑπολείπεται. Νυνὶ γάρ, ὃ πάντες ἐθρυλλεῖτε, ὡς Ὀλυνθίους ἐκπολεμῶσαι δεῖ Φιλίππῳ, γέγονεν αὐτόματον· καὶ ταῦτα ὡς ἂν ὑμῖν μάλιστα συμφέροι. Εἰ μὲν γὰρ ὑφ' ὑμῶν πεισθέντες ἀνείλοντο τὸν πόλεμον, σφαλεροὶ σύμμαχοι, καὶ μέχρι του ταῦτ' ἂν ἐγνωκότες, ἦσαν ἴσως. Ἐπειδὴ δὲ ἐκ τῶν πρὸς αὐτοὺς ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐτούς, ὑπὲρ ὧν φοβοῦνται, καὶ πεπόνθασιν, ἔχειν. Οὐ δεῖ δὲ τοιοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, παραπεπτωκότα καιρὸν ἀφεῖναι· οὐδὲ παθεῖν ταὐτόν, ὅπερ ἤδη πολλάκις πρότερον πεπόνθατε. Εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες, καὶ παρῆσαν Ἀμφιπολιτῶν Ἱέραξ, καὶ Στρατοκλῆς, ἐπὶ τουτὶ τὸ βῆμα, κελεύοντες ὑμᾶς ἐκπλεῖν, καὶ παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ' ἡμεῖς καὶ ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν, ἥνπερ ὑπὲρ τῆς Εὐβοέων σωτηρίας, εἴχετ' ἂν Ἀμφίπολιν τότε, καὶ πάντων τῶν μετὰ ταῦτα ἂν ἦτε ἀπηλλαγμένοι πραγμάτων. Καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια, Μεθώνη, Παγασαί, τἆλλα, ἵνα μὴ καθ' ἕκαστα λέγων διατρίβω, πολιορκούμενα ἀπηγγέλλετο, εἰ τότε τούτων ἑνὶ τῷ πρώτῳ προθύμως, καὶ ὡς προσῆκεν, ἐβοηθήσαμεν αὐτοί, ῥᾴονι καὶ πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. Νῦν δὲ τὸ μὲν παρὸν ἀεὶ προϊέμενοι, τὰ

δὲ

δὲ μέλλοντα αὐτόματα οἰόμενοι σχήσειν καλῶς, καὶ ηὐξήσαμεν, ὦ ἄνδρες ἀθηναῖοι, φίλιππον ἡμεῖς, καὶ κατεστήσαμεν τηλικοῦτον, ἡλίκος οὐδείς πω βασιλεὺς γέγονε Μακεδονίας. Νυνὶ δὲ καιρὸς ἥκει· τίς; οὗτος ὁ τῶν Ὀλυνθίων αὐτόματος τῇ πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν πρότερον ἐκείνων· καὶ ἔμοιγε δοκεῖ τις ἂν, ὦ ἄνδρες ἀθηναῖοι, δίκαιος λογιστὴς τῶν παρὰ τῶν θεῶν ἡμῖν ὑπηργμένων καταστὰς, καίπερ οὐκ ἐχόντων ὡς δεῖ πολλῶν, ὅμως μεγάλην ἂν ἔχειν αὐτοῖς χάριν εἰκότως· τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ τὸν πόλεμον τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως· τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι, πεφηνέναι τέ τινα ἡμῖν συμμαχίαν τούτων ἀντίῤῥοπον, ἂν βουλώμεθα χρῆσθαι, τῆς παρ' ἐκείνων εὐνοίας εὐεργέτημ' ἂν ἔγωγε θείην. Ἀλλ' οἶμαι παρόμοιόν ἐστιν, ὅπερ καὶ περὶ τῆς τῶν χρημάτων κτήσεως· ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ, καὶ σώσῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν· ἂν δ' ἀναλώσας λάθῃ, συνανήλωσε καὶ τὸ μεμνῆσθαι τῇ τύχῃ τὴν χάριν· Καὶ περὶ τῶν πραγμάτων οὕτως· οἱ μὴ χρησάμενοι τοῖς καιροῖς ὀρθῶς, οὐδ' εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστὸν, μνημονεύουσι· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον τῶν προϋπαρξάντων ὡς τὰ πολλὰ κρίνεται· διὸ καὶ σφόδρα δεῖ τῶν λοιπῶν ὑμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, φροντίσαι, ἵνα ταῦτ' ἐπανορθωσάμενοι, τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα· εἰ δὲ προησόμεθα, ὦ ἄνδρες ἀθηναῖοι, καὶ τούτους τοὺς ἀνθρώπους, εἶτ' Ὄλυνθον ἐκεῖνος καταστρέψεται, φρασάτω τις ἐμοὶ, τί τὸ κωλῦον ἔτ' αὐτὸν ἔσται βαδίζειν ὅποι βούλεται; ἆρά γε λογίζεταί τις ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι, καὶ θεωρεῖ τὸν τρόπον δι' ὃν μέγας γέγονεν, ἀσθενὴς ὢν τὸ κατ' ἀρχὰς φίλιππος; τὸ πρῶτον Ἀμφίπολιν λαβὼν, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν, Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη· μετὰ ταῦτα Φεράς, Παγασὰς, Μαγνησίαν, πάνθ' ὃν ἐβούλετο εὐτρεπίσας τρόπον, ᾤχετ' εἰς Θρᾴκην· εἶτ' ἐκεῖ τοὺς μὲν ἐκβαλὼν, τοὺς δὲ καταστήσας τῶν βασιλέων ἠσθένησε. Πάλιν ῥᾴσας, οὐκ ἐπὶ τὸ ῥᾳθυμεῖν ἀπέκλινεν· ἀλλ' εὐθὺς Ὀλυνθίοις ἐπεχείρησε· τὰς δ' ἐπ' Ἰλλυριοὺς, καὶ Παίονας αὐτοῦ, καὶ πρὸς Ἀρύμβαν, καὶ ὅποι τις ἂν εἴποι, παραλείπω στρατείας· τί οὖν, τις ἂν εἴποι, ταῦτα λέγεις ἡμῖν νῦν; ἵνα γνῶτε, ὦ ἄνδρες ἀθηναῖοι, καὶ αἴσθη-

αἴσθησθε ἀμφότερα· καὶ τὸ προΐεσθαι καθ᾽ ἕκαστον αἰεί τι τῶν πραγμάτων ὡς ἀλυσιτελὲς, καὶ τὴν φιλοπραγμοσύνην, ᾗ πρὸς ἅπαντας χρῆται, καὶ συζῇ Φίλιππος. ὑφ᾽ ἧς οὐκ ἔστιν ὅπως ἀγαπήσας τοῖς πεπραγμένοις, ἡσυχίαν σχήσει. Εἰ δ᾽ ὁ μὲν ὡς αἰεί τι μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν, ἐγνωκὼς ἔσται, ὑμεῖς δὲ ὡς οὐδενὸς ἀντιληπτέον ἐῤῥωμένως τῶν πραγμάτων, σκοπεῖσθε εἰς τί ποτε ἐλπὶς ταῦτα τελευτῆσαι. Πρὸς θεῶν, τίς οὕτως εὐήθης ἐστὶν ὑμῶν, ὅστις ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα, ἂν ἀμελήσωμεν; ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον, ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις, μικρὸν εὐπορήσαντες χρόνον, ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν· οὕτω καὶ ὑμεῖς ἂν ἐπὶ πολλῷ φανῶμεν ἐῤῥᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες, πολλὰ καὶ χαλεπὰ, ὧν οὐκ ἠβουλόμεθα, ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ. Τὸ μὲν οὖν ἐπιτιμᾶν, ἴσως φήσαι τις ἂν ῥᾴδιον, καὶ παντὸς εἶναι· τὸ δ᾽ ὑπὲρ τῶν παρόντων, ὅτι δεῖ πράττειν ἀποφαίνεσθαι, τοῦτ᾽ εἶναι συμβούλου. Ἐγὼ δὲ οὐκ ἀγνοῶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ᾽ ὅτι πολλάκις ὑμεῖς, οὐ τοὺς αἰτίους, ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε, ἄν τι μὴ κατὰ γνώμην ἐκβῇ· οὐ μὴν οἶμαί γε δεῖν τὴν ἰδίαν ἀσφάλειαν σκοποῦνθ᾽ ὑποστέλλεσθαι, περὶ ὧν ὑμῖν συμφέρειν ἡγοῦμαι. Φημὶ δὴ, διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σώζειν, καὶ τοὺς τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν, καὶ τριήρεσι, καὶ στρατιώταις ἑτέροις· εἰ δὲ θατέρου τούτων ὀλιγωρήσετε, ὀκνῶ μὴ μάταιος ἡμῖν ἡ στρατεία γένηται. Εἴτε γὰρ ὑμῶν τὴν ἐκείνου κακῶς ποιούντων, ὑπομείνας τοῦτο, Ὄλυνθον παραστήσεται, ῥᾳδίως ἐπὶ τὴν οἰκείαν ἐλθὼν ἀμυνεῖται· εἴτε βοηθησάντων μόνον ὑμῶν εἰς Ὄλυνθον, ἀκινδύνως ὁρῶν ἔχοντα τὰ οἴκοι, προσκαθεδεῖται καὶ προσεδρεύσει τοῖς πράγμασι, καὶ περιέσται τῷ χρόνῳ τῶν πολιορκουμένων· Δεῖ δὴ πολλὴν καὶ διχῇ τὴν βοήθειαν εἶναι· καὶ περὶ μὲν τῆς βοηθείας ταῦτα γιγνώσκω· περὶ δὲ χρημάτων πόρου, ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι,

ναῖοι, χρήματα ὑμῖν ἐστι, ὅσα οὐδενὶ τῶν ἄλλων ἀνθρώπων στρατιωτικά· ταῦτα δὲ ὑμεῖς, οὕτως ὡς βούλεσθε λαμβάνετε· εἰ μὲν οὖν ταῦτα τοῖς στρατευομένοις ἀποδώσετε, οὐδενὸς ὑμῖν προσδεῖ πόρου· εἰ δὲ μή, προσδεῖ, μᾶλλον δ' ἅπαντος ἐνδεῖ τοῦ πόρου. Τί οὖν ἄν τις εἴποι, σὺ γράφεις ταῦτ' εἶναι στρατιωτικά; μὰ Δί', οὐκ ἔγωγε· ἐγὼ μὲν γὰρ ἡγοῦμαι στρατιώτας δεῖν κατασκευασθῆναι, καὶ ταῦτ' εἶναι στρατιωτικά, καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτήν, τοῦ τε λαμβάνειν, καὶ τοῦ ποιεῖν τὰ δέοντα· ὑμεῖς δὲ οὕτω πως ἄνευ πραγμάτων λαμβάνετε εἰς τὰς ἑορτάς. Ἔστι δὴ λοιπὸν οἶμαι, πάντας εἰσφέρειν, ἂν πολλῶν δέῃ, πολλά· ἂν ὀλίγων, ὀλίγα· Δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων, οὐδὲν ἐστι γενέσθαι τῶν δεόντων· λέγουσι δὲ καὶ ἄλλους τινὰς ἄλλοι πόρους, ὧν ἕλεσθε, ὅς τις ὑμῖν ἂν συμφέρειν δοκῇ· καὶ ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε τῶν πραγμάτων· Ἄξιον δὲ ἐνθυμηθῆναι καὶ λογίσασθαι τὰ πράγματα, ἐν ᾧ καθέστηκε νυνὶ τὰ τοῦ Φιλίππου· οὔτε γὰρ ὡς δοκεῖ, καὶ φήσειέ τις ἂν μὴ σκοπῶν ἀκριβῶς, εὐτρεπῶς, οὐδ' ὡς ἂν κάλλιστα αὐτῷ τὰ παρόντ' ἔχῃ· οὔτ' ἂν ἐξήνεγκε τὸν πόλεμόν ποτε τοῦτον ἐκεῖνος, εἰ πολεμεῖν ᾠήθη δεήσειν αὐτόν, ἀλλ' ὡς ἐπιών, ἅπαντα τότε ἤλπιζε τὰ πράγματα ἀναιρήσεσθαι, κᾆτα διέψευσται. Τοῦτο δὴ πρῶτον αὐτὸν ταράττει παρὰ γνώμην γεγονός, καὶ πολλὴν ἀθυμίαν αὐτῷ παρέχει· εἶτα, τὰ τῶν Θετταλῶν· ταῦτα γὰρ ἄπιστα μὲν ἦν δήπου φύσει, καὶ ἀεὶ πᾶσιν ἀνθρώποις· κομιδῇ δ' ὥσπερ ἦν, καὶ ἔστι νῦν τούτῳ· καὶ γὰρ Παγασὰς ἀπαιτεῖν αὐτὸν εἰσὶν ἐψηφισμένοι, καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν. Ἤκουον δ' ἔγωγέ τινων, ὡς οὐδὲ τοὺς λιμένας καὶ τὰς ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι· τὰ γὰρ κοινὰ τῶν Θετταλῶν, ἀπὸ τούτων δέοι διοικεῖν, οὐ Φίλιππον λαμβάνειν· ἂν δὲ τούτων ἀποστερηθῇ τῶν χρημάτων, εἰς στενὸν κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται· Ἀλλὰ μὴν τόν γε Παίονα, καὶ τὸν Ἰλλυριόν, καὶ ἁπλῶς τούτους ἅπαντας, ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους, ἢ δούλους εἶναι. Καὶ γὰρ ἀήθεις τοῦ κατακούειν τινός εἰσι· καὶ ἄνθρωπος ὑβριστής, ὥς φασι· καὶ μὰ Δί' οὐδὲν ἄπιστον ἴσως. Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς

φρο-

φρονεῖν τοῖς ἀνοήτοις γίνεται· διόπερ πολλάκις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ, τοῦ κτήσασθαι χαλεπώτερον εἶναι· δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἀκαιρίαν τὴν ἐκείνου, καιρὸν ὑμέτερον νομίσαντας, ἑτοίμως συνάρασθαι τὰ πράγματα, καὶ πρεσβευομένους ἐφ' ἃ δεῖ, καὶ στρατευομένους αὐτοὺς, καὶ παροξύνοντας τοὺς ἄλλους ἅπαντας, λογιζομένους, ὡς εἰ Φίλιππος λάβοι καθ' ἡμῶν τοιοῦτον καιρὸν, καὶ πόλεμος γένοιτο πρὸς τῇ χώρᾳ, πῶς ἂν αὐτὸν οἴεσθε ἑτοίμως ἐφ' ἡμᾶς ἐλθεῖν· εἶτ' οὐκ αἰσχύνεσθε, εἰ μὴ δ' ἃ πάθοιτ' ἂν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες, οὐ τολμήσετε; ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ δὲ τοῦθ' ὑμᾶς λανθανέτω, ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν, πότερον ὑμᾶς ἐκεῖ χρὴ πολεμεῖν, ἢ παρ' ὑμῖν ἐκεῖνον. Ἐὰν μὲν γὰρ ἀντέχῃ τὰ τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε, καὶ τὴν ἐκείνου κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν, καὶ τὴν οἰκείαν ταύτην ἀδεῶς καρπούμενοι· ἂν δ' ἐκεῖνα Φίλιππος λάβῃ, τίς αὐτὸν ἔτι κωλύσει δεῦρο βαδίζειν; Θηβαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν ᾖ, καὶ συνεισβαλοῦσιν ἑτοίμως· ἀλλὰ Φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τε ὄντες φυλάττειν, ἐὰν μὴ βοηθήσητε ὑμεῖς· ἢ ἄλλος τις; ἀλλ' ὦ τᾶν οὐχὶ βουλήσεται· τῶν ἀτοπωτάτων μέντ' ἂν εἴη, εἰ ἃ νῦν, ἄνοιαν ὀφλισκάνων, ὅμως ἐκλαλεῖ, ταῦτα δυνηθεὶς μὴ πράξει· ἀλλὰ μὴν ἡλίκα γ' ἐστὶ τὰ διάφορα ἐνθάδε, ἢ ἐκεῖ πολεμεῖν, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι. Εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτοὺς τριάκοντα ἡμέρας μόνας ἔξω γενέσθαι, καὶ ὅσα ἀνάγκη στρατοπέδῳ χρωμένους, τῶν ἐκ τῆς χώρας λαμβάνειν, μηδενὸς ὄντος ἐν αὐτῇ, πολεμίου λέγω· πλέον ἂν οἶμαι ζημιωθῆναι τοὺς γεωργοῦντας ἡμῶν, ἢ ὅσα εἰς ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνηται· εἰ δὲ δὴ πόλεμός τις ἥξει, πόσα χρὴ νομίσαι ζημιωθήσεσθαι; καὶ πρόσεσθαι ἡ ὕβρις, καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημίας τοῖς γε σώφροσι· πάντα δὴ ταῦτα δεῖ συνιδόντας ἅπαντας βοηθεῖν, καὶ ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον, τοὺς μὲν εὐπόρους, ἵν' ὑπὲρ τῶν πολλῶν, ὧν καλῶς ποιοῦντες ἔχουσι, μικρὰ ἀναλίσκοντες, τὰ λοιπὰ καρπῶνται ἀδεῶς· τοὺς δ' ἐν ἡλικίᾳ, ἵνα τὴν τοῦ πολεμεῖν ἐμπειρίαν ἐν τῇ τοῦ Φιλίππου χώρᾳ κτησάμενοι, φοβεροὶ φύλακες τῆς οἰ-

μᾶς ἀκεραίοι γίγνωνται· τοὺς δὲ λέγοντας, ἵν᾽ αἱ τῶν πεπολιτευμένων αὐτοῖς ἀπολογίαι ῥᾴδιαι γίγνωνται, ὡς ὁποῖ᾽ ἅττ᾽ ἂν ὑμᾶς ὠφελήσῃ τὰ πράγματα, τοιοῦτοι κριταὶ καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. Χρηστὰ δὲ εἴη παντὸς εἵνεκα.

ACADEMIA ESPAÑOLA BIBLIOTECA

ΔΗΜΟ-

# ΔΗΜΟΣΘΕΝΟΥΣ

## ΟΛΥΝΘΙΑΚΟΣ

## ΔΕΥΤΕΡΟΣ.

Ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, δοκεῖ μοι, τὴν παρὰ τῶν Θεῶν εὔνοιαν φανερὰν γιγνομένην τῇ πόλει· οὐχ ἥκιστα δὲ, ἐν τοῖς παροῦσι πράγμασι. Τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι, καὶ χώραν ὅμορον, καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέγιστον ἁπάντων τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύτην ἔχοντας, ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς, πρῶτον μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνάστασιν εἶναι, δαιμονίᾳ τινὶ, καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ. Δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ' ἤδη σκοπεῖν αὐτοὺς, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐτοὺς εἶναι δόξωμεν τῶν ὑπαρχόντων. Ὡς ἔστι τῶν αἰσχρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ μόνον πόλεων καὶ τόπων, ὧν ἦμέν ποτε κύριοι, φαίνεσθαι προϊεμένους, ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμμάχων τε, καὶ καιρῶν. Τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου ῥώμην διεξιέναι, καὶ διὰ τούτων τῶν λόγων προτρέπειν τὰ δέοντα ποιεῖν ὑμᾶς, οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι· διὰ τί; ὅτι μοι δοκεῖ πάνθ' ὅσα ἂν εἴπῃ τις ὑπὲρ τούτων, ἐκείνῳ μὲν ἔχειν φιλοτιμίαν τινὰ, ὑμῖν δ' οὐχὶ καλῶς πεπρᾶχθαι. ὁ μὲν γὰρ, ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὐτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται· ὑμεῖς δὲ ὅσῳ χεῖρον ἢ προσῆκε κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. Ταῦτα μὲν οὖν παραλείψω· καὶ γὰρ εἰ μετ' ἀληθείας τις, ὦ ἄνδρες Ἀθηναῖοι, σκοποῖτο, ἐνθένδ' ἂν μέγαν αὐτὸν ἴδοι γεγενημένον, οὐχὶ παρ' αὐτοῦ. Ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. Ἃ δὲ καὶ χωρὶς τούτων ἔνι, καὶ βέλτιόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς, καὶ μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη βου-

λομέ-

λογιζομένοις ὀρθῶς δοκιμάζειν. ταῦτ' εἰπεῖν πειράσομαι. Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ τὰ πεπραγμένα δεικνῦναι, λοιδορίαν εἶναί τις ἂν φήσειε κενὴν δικαίως. τὸ δὲ πάνθ' ὅσα πώποτ' ἔπραξε διεξιόντα, ἐφ' ἅπασι τούτοις ἐλέγχειν, καὶ βραχέος λόγου συμβαίνει δεῖσθαι, ὃ δυοῖν ἕνεκα ἡγοῦμαι συμφέρειν εἰρῆσθαι, τοῦτ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι, καὶ τοῦ, τοὺς ὑπερεκπεπληγμένους ὡς ἄμαχόν τινα τὸν φίλιππον, ἰδεῖν, ὅτι πάντα διεξελήλυθεν, οἷς πρότερον παρακρουόμενος μέγας νῦν ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πράγματα αὐτῷ. Ἐγὼ μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα ἂν ἡγούμην καὶ αὐτὸς φοβερὸν εἶναι καὶ θαυμαστὸν τὸν φίλιππον, εἰ τὰ δίκαια πράττοντα ἑώρων αὐτὸν ηὐξημένον· νῦν δὲ θεωρῶν, καὶ σκοπῶν, εὑρίσκω τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ' ἀρχάς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε, βουλομένους ὑμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τὸ θρυλλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο κατασκευάσειν, τούτῳ προσαγόμενον· τὴν δὲ Ὀλυνθίων φιλίαν μετὰ ταῦτα, τῷ Ποτίδαιαν οὖσαν ὑμετέραν ἐξελεῖν, καὶ τοὺς μὲν πρότερον συμμάχους ὑμᾶς ἀδικῆσαι, παραδοῦναι δὲ ἐκείνοις· Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα, τῷ Μαγνησίαν παραδώσειν ὑποσχέσθαι, καὶ τὸν φωκικὸν πόλεμον ὑπὲρ αὐτῶν πολεμήσειν ἀναδέξασθαι· Ὅλως δὲ οὐδείς ἐστιν, ὅν τι οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων· Τὴν γὰρ ἑκάστων ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν ἐξαπατῶν καὶ προσλαμβάνων, οὕτως ηὐξήθη. Ὥσπερ οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν· οὕτως ὀφείλει διὰ τῶν αὐτῶν τούτων, καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ' ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται. Καιροῦ μὲν δή, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο πάρεστι φιλίππῳ τὰ πράγματα, ἢ παρελθών τις ἐμοί, μᾶλλον δὲ ὑμῖν δειξάτω, ἢ ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω, ἢ ὡς οἱ τὰ πρῶτα ἐξηπατημένοι, τὰ λοιπὰ πιστεύσουσιν αὐτῷ, ἢ ὡς οἱ παρὰ τὴν αὑτῶν ἀξίαν δεδουλωμένοι Θετταλοί, νῦν οὐκ ἂν ἐλεύθεροι γένοιντο ἄσμενοι. Καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖται, οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα, τῷ τὰ χωρία, καὶ λιμένας, καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ ὀρθῶς οἴεται· Ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα

συστῇ

συστῇ, καὶ πᾶσι ταυτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πολέμου· καὶ συμπονεῖν, καὶ φέρειν τὰς συμφορὰς, καὶ μένειν ἐθέλουσιν οἱ ἄνθρωποι· ὅταν δ' ἐκ πλεονεξίας, καὶ πονηρίας τις, ὥσπερ οὗτος ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα, ἅπαντα ἀνεχαίτισε, καὶ διέλυσεν· οὐ γάρ ἐστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα, καὶ ἐπιορκοῦντα, καὶ ψευδόμενον, δύναμιν βεβαίαν κτήσασθαι, ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ, καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν ἂν τύχῃ· τῷ χρόνῳ δὲ φωρᾶται, καὶ περὶ αὑτὰ καταῤῥεῖ. Ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων τὰς ἀρχὰς, καὶ τὰς ὑποθέσεις, ἀληθεῖς καὶ δικαίας εἶναι προσήκει· τοῦτο δὲ οὐκ ἔνι νῦν ἐν τοῖς πεπραγμένοις Φιλίππῳ. Φημὶ δὴ δεῖν ἡμᾶς ἅμα τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν, καὶ ὅπως τις λέγει κάλλιστα, καὶ τάχιστα, οὕτως ἀρέσκει μοι· πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἣ τοὺς μὲν διδάξει ταῦτα, τοὺς δὲ παροξυνεῖ. καὶ γὰρ νῦν εἰσιν ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν, καὶ περὶ Μαγνησίας λόγους ποιεῖσθαι· σκοπεῖσθαι μέντοι τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον οἱ παρ' ἡμῶν πρέσβεις, ἀλλὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν, ἐξεληλυθότων ὑμῶν ἀξίως τῆς πόλεως, καὶ ὄντων ἐπὶ τοῖς πράγμασιν. Ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενὸν, μάλιστα δὲ ὁ παρὰ τῆς ἡμετέρας πόλεως· ὅσῳ γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν χρῆσθαι, τοσούτῳ μᾶλλον ἀπιστοῦσι πάντες αὐτῷ· πολλὴν δὲ τὴν μετάστασιν, καὶ μεγάλην δεικτέον τὴν μεταβολὴν, εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας ἑτοίμως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν· κἂν ταῦτα ἐθελήσητε ὡς προσήκει καὶ δεῖ, περαίνειν, οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ ἀσθενῶς, καὶ ἀπίστως ἔχοντα φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας ἀρχῆς καὶ δυνάμεως, κακῶς ἔχοντα ἐξελεγχθήσεται. Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχὴ, ἐν μὲν προσθήκης μέρει ἐστί τις οὐ σμικρὰ, οἷον ὑπῆρξέ ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους· πάλιν αὖ, πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφάνη τι τοῦτο συναμφότερον· νυνὶ δὲ Θετταλοῖς νοσοῦσι, καὶ στασιάζουσι, καὶ τεταραγμένοις, ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησε. Καὶ ὅπη τις ἂν οἶμαι προσθῇ, κἂν μι-

κρὰν

κρὰν δύναμιν, πάντ' ὠφελεῖ· αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστι μεστή. Καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς ἄν τις μέγαν αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις, καὶ ταῖς στρατείαις, ἔτ' ἐπισφαλεστέραν αὐτὴν, ἢ ὑπῆρχε φύσει, κατεσκεύακεν ἑαυτῷ. Μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς φίλιππόν τε χαίρειν, καὶ τοὺς ἀρχομένους· ἀλλ' ὁ μὲν δόξης ἐπιθυμεῖ, καὶ τοῦτο ἐζήλωκε, καὶ προῄρηται, πράττων καὶ κινδυνεύων, ἂν συμβῇ τι παθεῖν, τὴν τοῦ διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων βασιλεὺς δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος· τοῖς δὲ, τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι· κοπτόμενοι δὲ αἰεὶ ταῖς στρατείαις ταύταις ταῖς ἄνω τε καὶ κάτω, λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, οὔτ' ἐπὶ τοῖς ἔργοις, οὔτ' ἐπὶ τοῖς αὐτῶν ἰδίοις ἐώμενοι διατρίβειν, οὔθ' ὅσ' ἂν πορίσωσιν οὕτως ὅπως ἂν δύνωνται, ταῦτ' ἔχοντες διαθέσθαι, κεκλεισμένων τῶν ἐμπορίων τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. Οἱ μὲν οὖν πολλοὶ Μακεδόνων πῶς ἔχουσι φιλίππῳ, ἐκ τούτων ἄν τις σκέψαιτο οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι καὶ πεζέταιροι δόξαν μὲν ἔχουσιν, ὡς εἰσὶ θαυμαστοὶ, καὶ συγκεκροτημένοι τὰ τοῦ πολέμου· ὡς δ' ἐγὼ τῶν ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους· εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη, βουλόμενον πάντα αὐτοῦ δοκεῖν εἶναι τὰ ἔργα. Πρὸς γὰρ αὖ τοῖς ἄλλοις, καὶ τὴν φιλοτιμίαν ἀνυπέρβλητον εἶναι. Εἰ δέ τις σώφρων, ἢ δίκαιος ἄλλως, τὴν καθ' ἡμέραν ἀκρασίαν τοῦ βίου, καὶ μέθην, καὶ κορδακισμοὺς οὐ δυνάμενος φέρειν, παρεῶσθαι, καὶ ἐν οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον· λοιποὺς δὴ περὶ αὐτὸν εἶναι λῃστὰς καὶ κόλακας, καὶ τοιούτους ἀνθρώπους, οἵους μεθυσθέντας ὀρχεῖσθαι τοιαῦτα, οἷα ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι. Δῆλον δ' ὅτι ταῦτ' ἐστὶν ἀληθῆ· καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας, Καλλίαν ἐκεῖνον τὸν δημόσιον, καὶ τοιούτους ἀνθρώπους μίμους γελοίων, καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων, ὧν εἰς τοὺς συνόντας ποιοῦσιν ἕνεκα τοῦ γελασθῆναι, τούτους ἀγαπᾷ, καὶ περὶ αὐτὸν ἔχει· καίτοι ταῦτα εἰ καὶ μικρά τις ἡγεῖται, μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, δείγματα τῆς ἐκείνου γνώμης, καὶ

κακο-

κακοδαιμονίας ἐστὶ τοῖς ἀφρονοῦσιν· ἀλλ᾽, οἶμαι, νῦν μὲν ἐπισκοτεῖ τούτοις τὸ κατορθοῦν. Αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι, καὶ συσκιάσαι τὰ τοιαῦτα ὀνείδη· εἰ δέ τι πταίσει, τότε ἀκριβῶς αὐτοῦ πάντ᾽ ἐξετασθήσεται. Δοκεῖ δ᾽ ἔμοιγε, ὦ ἄνδρες Ἀθηναῖοι, δείξειν οὐκ εἰς μακρὰν, ἂν οἵ τε Θεοὶ θέλωσι καὶ ὑμεῖς βούλησθε. ὥσπερ γὰρ ἐν τοῖς σώμασιν ἡμῶν ἕως μὲν ἂν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ᾽ ἕκαστα σαθρῶν, ἐπὰν δὲ ἀῤῥώστημά τι συμβῇ, πάντα κινεῖται, κἂν ῥῆγμα, κἂν στρέμμα, κἂν ἄλλο τι τῶν ὑπαρχόντων σαθρὸν ᾖ, οὕτω καὶ τῶν πόλεων, καὶ τῶν τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ τοῖς πολλοῖς ἐστί· ἐπειδὰν δὲ ὅμορος πόλεμος συμπλακῇ, πάντα ἐποίησεν ἔκδηλα. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν, ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· Μεγάλη γὰρ ῥοπὴ, μᾶλλον δὲ ὅλον, ἡ τύχη παρὰ πάντ᾽ ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα. Οὐ μὴν ἀλλ᾽ ἔγωγε, εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει ποιεῖν ὑμῶν αὐτῶν, καὶ κατὰ μικρὸν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν Θεῶν εὔνοιαν ἔχειν ὁρῶ ὑμῖν ἐνούσας, ἢ ἐκείνῳ· ἀλλ᾽, οἶμαι, καθήμεθα, οὐδὲν ποιοῦντες. Οὐκ ἔνι δ᾽ αὐτὸν ἀργοῦντα, οὐδὲ φίλοις ἐπιτάττειν ὑπὲρ αὐτοῦ τι ποιεῖν, μήτιγε δὴ τοῖς Θεοῖς· οὐ δὴ θαυμαστόν ἐστιν εἰ στρατευόμενος, καὶ πονῶν ἐκεῖνος αὐτὸς, καὶ παρὼν ἐφ᾽ ἅπασι, καὶ μηδένα καιρὸν μηδ᾽ ὥραν παραλείπων, ἡμῶν μελλόντων. καὶ ψηφιζομένων, καὶ πυνθανομένων, περιγίγνεται· οὐ δὴ θαυμάζω τοῦτ᾽ ἐγώ· τοὐναντίον γὰρ ἂν ἦν θαυμαστὸν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει, τοῦ πάντα ποιοῦντος ἃ δεῖ, περιῆμεν· ἀλλ᾽ ἐκεῖνο θαυμάζω, εἰ Λακεδαιμονίοις μέν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντήρατε, καὶ πολλὰ ἰδίᾳ πλεονεκτῆσαι πολλάκις ὑμῖν ἐξὸν, οὐκ ἠθελήσατε· ἀλλ᾽ ἵνα οἱ ἄλλοι τύχωσι τῶν δικαίων, τὰ ὑμέτερα αὐτῶν ἀνηλίσκετε εἰσφέροντες, καὶ προεκινδυνεύετε στρατευόμενοι· νυνὶ δὲ ὀκνεῖτε ἐξιέναι, καὶ μέλλετε εἰσφέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων· καὶ τοὺς μὲν ἄλλους σεσώκατε πολλάκις πάντας, καὶ καθ᾽ ἕνα αὐτῶν ἕκαστον ἐν μέρει, τὰ δὲ ἡμέτερα αὐτῶν ἀπολωλεκότες κάθησθε· ταῦτα

θαυ-

θαυμάζω, καὶ ἔτι πρὸς τούτοις, εἰ μηδεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δύναται λογίσασθαι, πόσον πολεμεῖτε χρόνον Φιλίππῳ, καὶ τί ποιούντων ὑμῶν, ἅπας ὁ χρόνος διελήλυθεν οὗτος; ἴστε γὰρ δήπου τοῦθ' ὅτι μελλόντων ὑμῶν, ἑτέρους τινὰς ἐλπιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων, πάλιν ἐλπιζόντων, σχεδὸν ταὐτὰ, ἅπερ νυνὶ, ποιούντων, ὁ χρόνος ἅπας διελήλυθεν. Εἶτα οὕτως ἀγνωμόνως ἔχετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ χρηστῶν, φαῦλα τὰ πράγματα γέγονε τῆς πόλεως, διὰ τῶν αὐτῶν τούτων ἐλπίζετε πράξεων, ἐκ φαύλων αὐτὰ χρηστὰ γενήσεσθαι; ἀλλ' οὔτ' εὔλογον, οὔτ' ἔχον ἐστὶ φύσιν τοῦτό γε. Πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν, ἢ κτήσασθαι πάντα πέφυκε. νυνὶ δὲ ὅ,τι μὲν φυλάξομεν, οὐδέν ἐστιν ὑπὸ τοῦ πολέμου λοιπὸν τῶν πρότερον, κτήσασθαι δὲ δεῖ. αὐτῶν οὖν ὑμῶν τοῦτο ἔργον ἤδη. Φημὶ δὴ δεῖν εἰσφέρειν χρήματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδένα αἰτιᾶσθαι, πρὶν ἂν τῶν πραγμάτων κρατήσητε. τηνικαῦτα δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας, τοὺς μὲν ἀξίους ἐπαινεῖν, τιμᾶν. τοὺς δὲ ἀδικοῦντας, κολάζειν. τὰς προφάσεις δ' ἀφελεῖν, καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα. Οὐ γάρ ἐστι, πικρῶς ἐξετάσαι, τί πέπρακται τοῖς ἄλλοις, ἂν μὴ παρ' ὑμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ δέοντα. Τίνος γὰρ ἕνεκα, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε, τοῦτον μὲν φεύγειν τὸν πόλεμον πάντας ὅσους ἂν ἐκπέμψητε στρατηγοὺς, ἰδίους δ' εὑρίσκειν πολέμους; εἰ δεῖ τι τῶν ὄντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν, ὅτι ἐνταῦθα μέν ἐστι τὰ ἆθλα, ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος, ὑμέτερα. Ἀμφίπολις κἂν ληφθῇ, παραχρῆμα αὐτὴν ὑμεῖς κομιεῖσθε. οἱ δὲ κίνδυνοι, τῶν ἐφεστηκότων ἴδιοι. μισθὸς δ' οὐκ ἔστιν. ἐκεῖ δὲ κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων καὶ τῶν στρατιωτῶν. Λάμψακος, Σίγειον, τὰ πλοῖα ἃ συλῶσιν. ἐπὶ οὖν τὸ λυσιτελοῦν αὐτοῖς, ἕκαστοι χωροῦσιν. ὑμεῖς δὲ ὅταν μὲν εἰς τὰ πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κρίνετε. Ὅταν δὲ δόντες λόγον τὰς ἀνάγκας ἀκούσητε ταύτας, ἀφίετε. περίεστι τοίνυν ὑμῖν ἀλλήλοις ἐρίζειν καὶ διεστάναι. τοῖς μὲν, ταῦτα πεπεισμένοις, τοῖς δὲ, ταῦτα. τὰ κοινὰ δὲ, ἔχειν φαύλως. Πρότερον μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, εἰσεφέρετε κατὰ συμμορίας. νυνὶ δὲ, πολιτεύεσθε κατὰ συμμορίας.

ῥήτωρ ἡγεμὼν ἑκατέρων, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοηθησόμενοι τριακόσιοι· οἱ δὲ ἄλλοι, προσνενέμησθε, οἱ μὲν, ὡς τούτους, οἱ δὲ, ὡς ἐκείνους. Δεῖ δὴ ταῦτα ἐπανιέντας, καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νῦν γενομένους, κοινὸν καὶ τὸ λέγειν, καὶ τὸ βουλεύεσθαι, καὶ τὸ πράττειν ποιῆσαι. εἰ δὲ τοῖς μὲν, ὥσπερ ἐκ τυραννίδος ὑμῶν ἐπιτάττειν ἀποδώσετε, τοῖς δὲ, ἀναγκάζεσθαι τριηραρχεῖν, εἰσφέρειν, στρατεύεσθαι, τοῖς δὲ, ψηφίζεσθαι κατὰ τούτων μόνον, ἄλλο δὲ μηδοτιοῦν συμπονεῖν, οὐχὶ γενήσεται τῶν δεόντων ὑμῖν οὐδὲν ἐν καιρῷ· τὸ γὰρ ἠδικημένον αἰεὶ μέρος ἐλλείψει, εἶθ' ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν περιέσται· λέγω δὴ κεφάλαιον, πάντας εἰσφέρειν, ἀφ' ὧν ἕκαστος ἔχει, τὸ ἴσον, πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες στρατεύσησθε· πᾶσι τοῖς παριοῦσι λόγον διδόναι, καὶ τὰ βέλτιστα ὧν ἂν ἀκούσητε, αἱρεῖσθαι, μὴ ἃ ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα εἴπῃ· κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμα ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, πολλῷ βέλτιον τῶν ὅλων πραγμάτων ὑμῖν ἐχόντων.

# ΔΗΜΟΣΘΕΝΟΥΣ

## ΟΛΥΝΘΙΑΚΟΣ

## ΤΡΙΤΟΣ.

Οὐχὶ ταὐτὰ παρίσταταί μοι γινώσκειν, ὦ ἄνδρες ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν εἰς τοὺς λόγους οὓς ἀκούω· τοὺς μὲν γὰρ λόγους, περὶ τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γιγνομένους· τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα, ὥστε ὅπως μὴ πεισόμεθα αὐτοὶ πρότερον κακῶς, σκέψασθαι δέον. Οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες, ἢ τὴν ὑπόθεσιν περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παριστάντες ὑμῖν, ἁμαρτάνειν. Ἐγὼ δ' ὅτι μέν ποτε ἐξῆν τῇ πόλει, καὶ τὰ αὑτῆς ἔχειν ἀσφαλῶς, καὶ φίλιππον τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα· ἐπ' ἐμοῦ γὰρ, οὐ πάλαι, γέγονε ταῦτα ἀμφότερα· νῦν μέντοι πέπεισμαι, τοῦθ' ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην, ὅπως τοὺς συμμάχους σώσωμεν· ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον, ἐξέσται σκοπεῖν. Πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον· ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες ἀθηναῖοι, εἴπερ ποτὲ καὶ νῦν πολλῆς φροντίδος καὶ βουλῆς δεῖται· ἐγὼ δὲ, οὐχ ὅτι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι, χαλεπώτατον ἡγοῦμαι, ἀλλ' ἐκεῖνο ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν· πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι, τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, ἢ τῷ μὴ συνιέναι· Ἀξιῶ δὲ ὑμᾶς ἂν μετὰ παρρησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας, εἰ τἀληθῆ λέγω, καὶ διὰ τοῦτο, ἵνα τὰ λοιπὰ βελτίω γένηται· ὁρᾶτε γὰρ ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους, εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα πράγματα. Ἀναγκαῖον δὲ ὑπολαμβάνω, μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. Μέμνησθε, ὦ ἄνδρες ἀθηναῖοι, ὅτ' ἀπηγγέλθη φίλιππος ὑμῖν ἐν Θρᾴκῃ, τρίτον

ἢ τέταρτον ἔτος τουτὶ, Ἡραῖον τεῖχος πολιορκῶν· τότε τοίνυν, μὴν μὲν ἦν Μαιμακτηριών· πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν ἐψηφίσασθε τετταράκοντα τριήρεις καθέλκειν, καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν αὐτοὺς ἐμβαίνειν, καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν· καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, Ἑκατομβαιῶνος, Μεταγειτνιῶνος, Βοηδρομιῶνος· τούτου τοῦ μηνὸς μόλις μετὰ τὰ μυστήρια, δέκα ναῦς ἀπεστείλατε ἔχοντα Χαρίδημον κενὰς, καὶ πέντε τάλαντα ἀργυρίου· ὡς γὰρ ἠγγέλθη φίλιππος ἀσθενῶν, καὶ τεθνεώς (ἦλθε γὰρ ἀμφότερα) οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες, ἀφήκατε, ὦ ἄνδρες ἀθηναῖοι, τὸν ἀπόστολον· ἦν δ' οὗτος ὁ καιρὸς αὐτός· εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ ἐψηφισάμεθα προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ φίλιππος τότε σωθείς· τὰ μὲν δὴ τότε πραχθέντα, οὐκ ἂν ἄλλως ἔχοι. Νῦν δ' ἑτέρου πολέμου καιρὸς ἥκει τις· οὗτος, δι' ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε· τί δὴ χρησόμεθα, ὦ ἄνδρες ἀθηναῖοι, τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει κατὰ τὸ δυνατὸν, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες πάντα ἔσεσθε ὑπὲρ φιλίππου· ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ' οὕτω τὰ πράγματα, οὔτε φίλιππος ἐθάρρει τούτους, οὔθ' οὗτοι φίλιππον· ἐπράξαμεν ἡμεῖς, κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην· ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ φιλίππῳ, καὶ δυσχερὲς, πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς διηλλαγμένην πρὸς ὑμᾶς. Ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου· καὶ ὃ πάντες ἐθρύλλουν τέως, τοῦτο πέπρακται νυνὶ ὅπως δήποτε· Τί οὖν ὑπόλοιπον, ὦ ἄνδρες ἀθηναῖοι; πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως, ἐγὼ μὲν οὐχ ὁρῶ· χωρὶς γὰρ τῆς περιστάσης ἂν ὑμᾶς αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πραγμάτων, οὐδὲ τὸν φόβον, ὦ ἄνδρες ἀθηναῖοι, μικρὸν ὁρῶ τὸν τῶν μετὰ ταῦτα ἐχόντων μὲν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπειρηκότων δὲ χρήμασι Φωκέων, μηδενὸς δ' ἐμποδὼν ὄντος φιλίππῳ, τὰ παρόντα καταστρεψαμένῳ, πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα. Ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ δεινὰ, ἐξὸν ἀκούειν ἄλλοθι γιγνόμενα· καὶ βοηθοὺς αὐτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν· ὅτι μὲν γὰρ εἰς τοῦτο περιστήσεται τὰ πράγματα,

τα,

τι, ἐὰν τὰ παρόντα προώμεθα, σχεδὸν ἴσμεν ἅπαντες
δήπου. Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάν-
τες ἐγνώκαμεν, καὶ βοηθήσομεν· τὸ δὲ ὅπως, τοῦτο
λέγε. Μὴ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, θαυμάσητε,
ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς, νομοθέτας καθί-
σατε· ἐν δὲ τούτοις τοῖς νομοθέταις, μὴ θῆσθε νόμον
μηδένα· εἰσὶ γὰρ ὑμῖν ἱκανοί, ἀλλὰ τοὺς εἰς τὸ παρὸν
βλάπτοντας ὑμᾶς λύσατε· λέγω δὲ, τοὺς περὶ τῶν
θεωρικῶν σαφῶς οὑτωσὶ, καὶ τοὺς περὶ τῶν στρατευομένων
ἐνίους· ὧν οἱ μὲν τὰ στρατιωτικὰ τοῖς οἴκοι μένουσι διανέ-
μουσι θεωρικά· οἱ δὲ, τοὺς ἀτακτοῦντας, ἀθῴους κα-
θιστᾶσιν· εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν βουλομένους, ἀ-
θυμοτέρους ποιοῦσιν. Ἐπειδὰν δὲ ταῦτα λύσητε, καὶ τὴν τοῦ
τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ, τηνι-
καῦτα τὸν γράψοντα ἃ πάντες ἴστε ὅτι συμφέρει, ζη-
τεῖτε. Πρὶν δὲ ταῦτα πρᾶξαι, μὴ σκοπεῖτε τίς εἰπὼν
τὰ βέλτιστα ὑπὲρ ὑμῶν, ὑφ' ὑμῶν ἀπολέσθαι βουλήσεται·
οὐ γὰρ εὑρήσετε· ἄλλως τε καὶ τούτου μόνου περιγίγνεσθαι
μέλλοντος, τοῦ παθεῖν ἀδίκως τι κακὸν, τὸν ταῦτ' εἰ-
πόντα καὶ γράψαντα, μηδὲν δὲ ὠφελῆσαι τὰ πράγματα,
ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτι ἢ νῦν, τὸ τὰ βέλ-
τιστα, λέγειν φοβερώτερον ποιῆσαι. Καὶ λύειν γε, ὦ ἄνδρες
ἀθηναῖοι, τοὺς νόμους δεῖ τούτους τοὺς αὐτοὺς ἀξιοῦν, οἵ-
περ καὶ τεθήκασιν· οὐ γάρ ἐστι δίκαιον τὴν μὲν χάριν,
ἣ πᾶσαν ἔβλαπτε τὴν πόλιν, τοῖς τότε θεῖσιν ὑπάρχειν,
τὴν δ' ἀπέχθειαν, δι' ἧς ἅπαντες ἂν ἄμεινον πράξαιμεν,
τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι. Πρὶν δὲ
ταῦτα εὐτρεπίσαι, μηδαμῶς, ὦ ἄνδρες ἀθηναῖοι, μη-
δένα ἀξιοῦτε τηλικοῦτον εἶναι παρ' ὑμῖν, ὥστε τοὺς νόμους
τούτους παραβάντα μὴ δοῦναι δίκην, μηδ' οὕτως ἀνόητον,
ὥστε εἰς προῦπτον κακὸν αὑτὸν ἐμβαλεῖν. Οὐ μὴν οὐδ' ἐ-
κεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες ἀθηναῖοι, ὅτι ψή-
φισμα οὐδενός ἐστιν ἄξιον, ἂν μὴ προσγένηται τὸ ποιεῖν ἐ-
θέλειν τά γε δόξαντα προθύμως ὑμᾶς· εἰ γὰρ αὐτάρ-
κη τὰ ψηφίσματα ἦν ὑμᾶς ἀναγκάζειν ἃ προσή-
κει πράττειν, ἢ περὶ ὧν γράφει διαπράξασθαι, οὔτ' ἂν
ὑμεῖς πολλὰ ψηφιζόμενοι, μικρὰ, μᾶλλον δ' οὐδὲν ἐ-
πράττετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρό-
νον· πάλαι γὰρ ἂν ἕνεκά γε ψηφισμάτων ἐδεδώκει δί-
κην. Ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει· Τὸ γὰρ πράττειν, τοῦ
λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ

δύναιτο καὶ κρεῖττόν ἐστι· τοῦτ' οὖν δεῖ προσεῖναι, τὰ δ' ἄλλα ὑπάρχει· καὶ γὰρ εἰπεῖν τὰ δέοντα, παρ' ὑμῖν εἰσιν, ὦ ἄνδρες ἀθηναῖοι, δυνάμενοι· καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα, καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε. Τίνα γὰρ χρόνον, ἢ τίνα καιρὸν, ὦ ἄνδρες ἀθηναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν, οὐχ ἅπαντα μὲν ἡμῶν τὰ χωρία προείληφεν ἄνθρωπος; εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα πεισόμεθα. Οὐχ οὓς εἰ πολεμήσαιεν, ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι νῦν πολεμοῦσι; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ἡμέτερα; οὐ βάρβαρος; οὐχ, ὅ τι ἂν εἴποι τις; ἀλλὰ πρὸς θεῶν ἅπαντα ταῦτα ἐάσαντες, καὶ μονονουχὶ συγκατασκευάσαντες αὐτῷ, τότε τοὺς αἰτίους οἵτινές εἰσι τούτων ζητήσομεν; οὐ γὰρ αὐτοί γ' αἴτιοι φήσομεν εἶναι· σαφῶς οἶδα τοῦτ' ἐγώ· οὐδὲ γὰρ ἐν τοῖς τοῦ πολέμου κινδύνοις, τῶν φυγόντων οὐδεὶς ἑαυτοῦ κατηγορεῖ, ἀλλὰ καὶ τοῦ στρατηγοῦ, καὶ τῶν πλησίον, καὶ πάντων μᾶλλον. Ἥττηνται δ' ὅμως διὰ πάντας τοὺς φυγόντας δήπου· μένειν γὰρ ἐξῆν τῷ κατηγοροῦντι τῶν ἄλλων· εἰ δὲ τοῦτ' ἐποίει ἕκαστος, ἐνίκων ἄν· καὶ νῦν οὐ λέγει τις τὰ βέλτιστα; ἀναστὰς ἄλλος εἰπάτω, μὴ τοῦτον αἰτιάσθω. Ἕτερος λέγει τις βελτίους· ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ· ἀλλ' οὐχ ἡδέα ταῦτα; οὐκέτι τοῦθ' ὁ λέγων ἀδικεῖ, πλὴν εἰ δέον εὔξασθαι, παραλείπει. Εὔξασθαι μὲν γὰρ, ὦ ἄνδρες ἀθηναῖοι, ῥᾴδιον εἰς ταὐτὸ πάνθ' ὅσα βούλεταί τις ἀθροίσαντα ἐν ὀλίγῳ· ἑλέσθαι δὲ ὅταν περὶ πραγμάτων προτεθῇ σκοπεῖν, οὐκέθ' ὁμοίως εὔπορον, ἀλλὰ δεῖ τὰ βέλτιστα ἀντὶ τῶν ἡδέων, ἂν μὴ ἀμφότερα ἐξῇ, λαμβάνειν. Εἰ δέ τις ἡμῖν ἔχοι τὰ θεωρικὰ ἐᾶν, καὶ πόρους ἑτέρους λέγειν στρατιωτικοὺς, οὐχ οὗτος κρείττων; εἴποι τις ἄν; φημὶ ἔγωγε, εἴπερ ἐστὶν, ὦ ἄνδρες ἀθηναῖοι· ἀλλὰ θαυμάζω εἴ τῳ ποτε ἀνθρώπων, ἢ γέγονεν ἢ γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ. Ἀλλ' οἶμαι μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρ' ἑκάστου βούλησις· διόπερ ῥᾷστον ἁπάντων ἐστὶν αὑτὸν ἐξαπατῆσαι· ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται· τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκεν. Ὁρᾶτε οὖν, ὦ ἄνδρες ἀθηναῖοι, ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματα ἐνδέχεται, καὶ δυνήσεσθε ἐξιέναι, καὶ μισθὸν ἕξετε. Οὔ τοι

σω-

σωφρόνων, οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων, ἐλλείποντάς τι δι' ἔνδειαν χρημάτων τῶν τοῦ πολέμου, εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν· οὐδ' ἐπὶ μὲν Κορινθίους, καὶ Μεγαρέας, ἁρπάσαντας τὰ ὅπλα πορεύεσθαι, Φίλιππον δ' ἐᾶν πόλεις Ἑλληνίδας ἀνδραποδίζεσθαι, δι' ἀπορίαν ἐφοδίων τοῖς στρατευομένοις. Καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν, τὴν ἄλλως προῄρημαι λέγειν (οὐ γὰρ οὕτως ἄφρων οὐδ' ἀτυχής εἰμὶ ἐγώ, ὥστε ἀπεχθάνεσθαι βούλεσθαι, μηδὲν ὠφελεῖν νομίζων) ἀλλὰ δικαίου πολίτου κρίνω τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι. Καὶ γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ παριόντες ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ τρόπῳ καὶ τῷ ἔθει τῆς πολιτείας χρῆσθαι, τὸν Ἀριστείδην ἐκεῖνον, τὸν Νικίαν, τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν Περικλέα. Ἐξ οὗ δὲ οἱ διερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι ῥήτορες, τί βούλεσθε; τί γράψω; τί ὑμῖν χαρίσωμαι; προπέποται τῆς παραυτίκα ἡδονῆς καὶ χάριτος τὰ τῆς πόλεως πράγματα, καὶ τοιαυτὶ συμβαίνει· καὶ τὰ μὲν τούτων πάντα καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς. Καίτοι σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια εἰπεῖν ἔχοι, τῶν ἐπὶ τῶν προγόνων ἔργων, καὶ τῶν ἐφ' ὑμῶν· ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ' οἰκείοις, ὦ ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι. Ἐκεῖνοι τοίνυν, οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτούς, ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων, πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον· ὑπήκουε δὲ ὁ ταύτην ἔχων τὴν χώραν αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον Ἕλλησι, πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια, αὐτοὶ στρατευόμενοι· μόνοι δὲ ἀνθρώπων, κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον· ἐπὶ μὲν δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι. Ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν, θεάσασθε ὁποῖοι ἔν τε τοῖς κοινοῖς, καὶ τοῖς ἰδίοις. Δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα, καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν, ἱερῶν καὶ τῶν ἐν τούτοις ἀναθημάτων, ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι· ἰ-

διὰ δ' οὕτω σώφρονες ἦσαν, καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν Ἀριστείδου, καὶ τὴν Μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. Οὐ γὰρ εἰς περιουσίαν ἐπράττετο αὐτοῖς τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν· ἐκ δὲ τοῦ τὰ μὲν ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν, μεγάλην εἰκότως ἐκτήσαντο εὐδαιμονίαν. Τότε μὲν δὴ, τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις χρωμένοις, οἷς εἶπον, προστάταις· νυνὶ δὲ πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει; ἆρά γε ὁμοίως καὶ παραπλησίως; καὶ τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν· ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ Λακεδαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δὲ ἀσχόλων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι· ἐξὸν δ' ἡμῖν καὶ τὰ ἡμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας, πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν εἰς οὐδὲν δέον· οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι· ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν. Ἢ φρασάτω τίς ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν, ἢ παρ' ἡμῶν αὐτῶν Φίλιππος; ἀλλ' ὦ τᾶν, εἰ ταῦτα φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει; καὶ τί ἂν τις εἰπεῖν ἔχοι; τὰς ἐπάλξεις ἃς κονιῶμεν; καὶ τὰς ὁδοὺς ἃς ἐπισκευάζομεν, καὶ κρήνας, καὶ λήρους; ἀποβλέψατε δὴ πρὸς τοὺς τὰ τοιαῦτα πολιτευομένους, ὧν οἱ μὲν, ἐκ πτωχῶν πλούσιοι γεγόνασιν, οἱ δ' ἐξ ἀδόξων, ἔντιμοι, ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι. Ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων ηὔξηται· τί δὴ τὸ πάντων αἴτιον τούτων, καὶ τί δήποτε ἅπαντ' εἶχε καλῶς τότε, καὶ νῦν οὐκ ὀρθῶς; ὅτι τὸ μὲν πρῶτον καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος, δεσπότης τῶν πολιτευομένων ἦν, καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν· καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς, καὶ ἀρχῆς, καὶ ἀγαθοῦ τινος μεταλαβεῖν. Νῦν δὲ τοὐναντίον, κύριοι μὲν τῶν ἀγα-

θῶν

θῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράτ-
τεται· ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι, καὶ περι-
ῃρημένοι χρήματα, συμμάχους, ἐν ὑπηρέτε καὶ προσ-
θήκης μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν μεταδιδῶσι
θεωρικῶν ὑμῖν, ἢ βοΐδια πέμψωσιν οὗτοι· καὶ τὸ
πάντων ἀνδρειότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προσ-
οφείλετε. Οἱ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαντες ὑμᾶς,
ὑπάγουσιν ἐπὶ ταῦτα, καὶ τιθασεύουσι χειροήθεις αὐ-
τοῖς ποιοῦντες. Ἔστι δ' οὐδέποτ' οἶμαι μέγα καὶ νεανι-
κὸν φρόνημα λαβεῖν, μικρὰ καὶ φαῦλα πράττοντας· ὁ-
ποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ,
τοιοῦτον ἀνάγκη καὶ φρόνημα ἔχειν· ταῦτα μὰ τὴν Δήμη-
τρα οὐκ ἂν θαυμάσαιμι, εἰ μείζων εἰπόντι ἐμοὶ γέ-
νοιτο παρ' ὑμῶν βλάβη, τῶν πεποιηκότων αὐτὰ γενέ-
σθαι. Οὐδὲ γὰρ παρρησία περὶ πάντων ἀεὶ παρ' ὑμῖν
ἐστιν· ἀλλ' ἔγωγε, ὅτι καὶ νῦν γέγονε, θαυμάζω· ἐὰν
οὖν ἀλλὰ νῦν γ' ἔτι ἀπαλλαγέντες τούτων τῶν ἐθῶν,
ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως ὑμῶν αὐ-
τῶν, καὶ ταῖς περιουσίαις ταῖς οἴκοι ταύταις ἀφορ-
μαῖς ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως ἂν ἴ-
σως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτή-
σαισθε ἀγαθὸν, καὶ τῶν τοιούτων λημμάτων ἀπαλλα-
γείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις δι-
δομένοις ἔοικε. Καὶ γὰρ οὔτε ἰσχὺν ἐκεῖνα ἐντίθησιν,
οὔτ' ἀποθνήσκειν ἐᾷ· καὶ ταῦτα ἃ νέμεσθε νῦν ὑμεῖς,
οὔτε τοιαῦτά ἐστιν, ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ,
οὔτ' ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ· ἀλλ' ἔστι
ταῦτα τὴν ἑκάστου ῥᾳθυμίαν ὑμῶν ἐπαυξάνοντα. Οὐ-
κοῦν σὺ μισθοφορὰν λέγεις; φήσει τις. Καὶ παρα-
χρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων, ὦ ἄνδρες
Ἀθηναῖοι, ἵνα τῶν κοινῶν ἕκαστος τὸ μέρος λαμ-
βάνων, ὅτου δέοιτο ἡ πόλις, εἰς τοῦθ' ἑτοίμως χρή-
σιμον ἑαυτὸν παρέχοι. Ἔξεστιν ἄγειν ἡσυχίαν; οἴ-
κοι μένων βελτίων, τοῦ δι' ἔνδειαν ἀνάγκῃ τι ποιεῖν
αἰσχρὸν ἀπηλλαγμένος. Συμβαίνει τι τοιοῦτον, οἷον
καὶ τὰ νῦν; στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν
τούτων λημμάτων, ὥσπερ ἐστὶ δίκαιον, ὑπὲρ τῆς πατρί-
δος. Ἔστι τις ἔξω τῆς ἡλικίας ὑμῶν; ὅσα οὗτος
ἀτάκτως νῦν λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' ἐν ἴσῃ τά-
ξει λαμβάνων, πάντ' ἐφορῶν καὶ διοικῶν, ἃ χρὴ πράτ-
τεσθαι. Ὅλως δὲ, οὔτ' ἀφελὼν, οὔτε προσθεὶς πλὴν

μικρῶν, τὴν ἀταξίαν ἀφελὼν, εἰς τάξιν ἤγαγον τὴν πόλιν τὴν αὐτὴν, τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ᾽ ὅ, τι καθ᾽ ἡλικίαν ἕκαστος ἔχει, καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας· οὐκ ἔστιν ὅπως τοῖς μηδὲν ἐγὼ ποιοῦσι τὰ τῶν ποιούντων εἶπον ὡς δεῖ νέμειν· οὐδ᾽ αὐτοὺς μὲν ἀργεῖν, καὶ σχολάζειν, καὶ ἀπορεῖν, ὅτι δὲ οἱ τοῦ δεῖνος νικῶσι ξένοι, ταῦτα πυνθάνεσθαι. ταῦτα γὰρ νυνὶ γίνεται. Καὶ οὐχὶ μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὑπὲρ ὑμῶν αὐτῶν, ἀξιῶ πράττειν ταῦτα, ἐφ᾽ οἷς ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν κινδύνων κτησάμενοι κατέλιπον. Σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν· ὑμεῖς δὲ ἕλοισθε ὅ, τι καὶ τῇ πόλει καὶ ἅπασιν ὑμῖν συνοίσειν μέλλει.

# ΔΗΜΟΣΘΕ'ΝΟΥΣ

## ΚΑΤΑ' ΦΙΛΙ'ΠΠΟΥ

## ΛΟ'ΓΟΣ ΠΡΩ'ΤΟΣ.

Εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, ὦ ἄνδρες ἀθηναῖοι, λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον· εἰ δὲ μὴ, τότ' ἂν αὐτὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν· ἐπειδὴ δὲ περὶ ὧν πολλάκις εἰρήκασιν οὗτοι πρότερον, συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς, εἰκότως ἂν συγγνώμης τυγχάνειν· εἰ γὰρ ἐκ τοῦ παρεληλυθότος χρόνου τὰ δέοντα οὗτοι συνεβούλευσαν, οὐδὲν ἂν ὑμᾶς νῦν ἔδει βουλεύεσθαι. Πρῶτον μὲν οὖν, οὐκ ἀθυμητέον, ὦ ἄνδρες ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ· ὃ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. Τί οὖν ἐστι τοῦτο; ὅτι οὐδὲν, ὦ ἄνδρες ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν, κακῶς τὰ πράγματα ἔχει· ἐπείτοιγε εἰ πάνθ' ἃ προσῆκε πραττόντων οὕτως εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι. Ἔπειτα ἐνθυμητέον, καὶ παρ' ἄλλων ἀκούουσι, καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις, ἡλίκην ποτ' ἐχόντων δύναμιν Λακεδαιμονίων, ἐξ οὗ χρόνος οὐ πολὺς, ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείνατε ὑπὲρ τῶν ἑλληνικῶν δικαίων τὸν πρὸς ἐκείνους πόλεμον· τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες ἀθηναῖοι, καὶ θεάσησθε, ὅτι οὐδὲν οὔτε φυλαττομένοις ὑμῖν ἐστι φοβερὸν, οὔτ' ἂν ὀλιγωρῆτε τοιοῦτον οἷον ἂν ὑμεῖς βούλησθε, παραδείγμασι χρώμενοι, τῇ τότε ῥώμῃ τῶν Λακεδαιμονίων, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν, καὶ τῇ νῦν ὕβρει τούτου, δι' ἣν ταραττόμεθα, ἐκ τοῦ μηδὲν φροντίζειν ὧν ἐχρῆν. Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν φίλιππον εἶναι, σκοπῶν τό

τε πλῆθος τῆς ὑπαρχούσης αὐτῷ δυνάμεως, καὶ τὰ χωρία πάντα ἀπολωλέναι τῇ πόλει, ὀρθῶς μὲν οἴεται· λογισάσθω μέν τοι τοῦτο, ὅτ' εἴχομέν ποτε ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν, καὶ Ποτίδαιαν, καὶ Μεθώνην, καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν, αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε, καὶ μᾶλλον ἡμῖν ἐβούλετ' ἔχειν οἰκείως, ἢ ἐκείνῳ· εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἐστὶν Ἀθηναίοις ἔχουσι τοσαῦτα ἐπιτειχίσματα τῆς αὐτοῦ χώρας, ἔρημον ὄντα συμμάχων, οὐδὲν ἂν, ὧν νυνὶ πεποίηκεν, ἔπραξεν, οὐδὲ τοσαύτην ἐκτήσατο δύναμιν. Ἀλλ' εἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρία, ἆθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ· φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούντων· καὶ γάρ τοι ταύτῃ χρησάμενος τῇ γνώμῃ, πάντα κατέστραπται καὶ ἔχει, τὰ μὲν ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ· τὰ δὲ, σύμμαχα καὶ φίλα ποιησάμενος· καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους, καὶ πράττειν ἐθέλοντας ἃ χρή. Ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν γέ τι, ἐπειδήπερ οὐ πρότερον, καὶ ἕκαστος ὑμῶν οὗ δεῖ καὶ δύναιτ' ἂν παρασχεῖν αὐτὸν χρήσιμον τῇ πόλει, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν, ἕτοιμος πράττειν ὑπάρξῃ, ὁ μὲν χρήματα ἔχων, εἰσφέρειν, ὁ δ' ἐν ἡλικίᾳ, στρατεύεσθαι· συνελόντι δ' ἁπλῶς εἰπεῖν, ἂν ὑμῶν αὐτῶν ἐθελήσητε γενέσθαι, καὶ παύσησθε, αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὐτοῦ πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε ἂν θεὸς θέλῃ, καὶ τὰ κατερρᾳθυμημένα πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμωρήσεσθε· μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα πεπηγέναι πράγματα ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖνον, καὶ δέδιεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φθονεῖ, καὶ τῶν πάνυ νῦν δοκούντων οἰκείως ἔχειν αὐτῷ. Καὶ ἅπανθ' ὅσαπερ καὶ ἐν ἄλλοις τισὶν ἀνθρώποις ἔνι, ταῦτα κἀν τοῖς μετ' ἐκείνου χρὴ νομίζειν ἐνεῖναι· κατέπτηχε μέντοι ταῦτα πάντα νῦν οὐκ ἔχοντα ἀποστροφὴν, διὰ τὴν ὑμετέραν βραδυτῆτα καὶ ῥᾳθυμίαν, ἣν ἀποθέσθαι

φημὶ δεῖν ἤδη. ὁρᾶτε γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα, οἷ προελήλυθεν ἀσελγείας ἄνθρωπος· ὃς οὐδ' αἵρεσιν ὑμῖν δίδωσι τοῦ πράττειν, ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ, καὶ λόγους ὑπερηφάνους, ὥς φασι, λέγει· καὶ οὐχ οἷός τέ ἐστιν ἔχων ἃ κατέστραπται, μένειν ἐπὶ τούτων. Ἀλλ' ἀεί τι προσπεριβάλλεται, καὶ κύκλῳ πανταχῇ μέλλοντας ὑμᾶς καὶ καθημένους περιστοιχίζεται. Πότ' οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πότε ἃ χρὴ πράξετε; ἐπειδὰν τί γένηται; ἐπειδὰν νὴ Δία ἀνάγκη τις ᾖ; νῦν δὲ τί χρὴ τὰ γιγνόμενα ἡγεῖσθαι; Ἐγὼ μὲν γὰρ οἴομαι τοῖς ἐλευθέροις μεγίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην εἶναι. ἢ βούλεσθε, εἰπέ μοι, περιιόντες αὐτῶν πυνθάνεσθαι κατὰ τὴν ἀγορὰν, λέγεταί τι καινόν; γένοιτο γὰρ ἄν τι καινότερον, ἢ Μακεδὼν ἀνὴρ Ἀθηναίους καταπολεμῶν, καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; τέθνηκε Φίλιππος; οὐ μὰ Δί', ἀλλ' ἀσθενεῖ· τί δ' ὑμῖν διαφέρει; καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιππον ποιήσετε, ἄνπερ οὕτω προσέχητε τοῖς πράγμασι τὸν νοῦν· οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὐτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται, ὅσον παρὰ τὴν ὑμετέραν ἀμέλειαν, καὶ ῥαθυμίαν. Καίτοι καὶ τοῦτο εἴ τι πάθοι, καὶ τὰ τῆς τύχης ὑμῖν ὑπάρξοι, ἥπερ ἀεὶ βέλτιον, ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα, καὶ τοῦτ' ἐξεργάσαιτο, ἴσθ' ὅτι πλησίον μὲν ὄντες, ἅπασιν ἂν τοῖς πράγμασι τεταραγμένοις ἐπιστάντες, ὅπως ἂν βούλησθε, διοικήσαισθε. Ὡς δὲ νῦν ἔχετε, οὐδὲ διδόντων ὑμῖν τῶν καιρῶν Ἀμφίπολιν, δέξασθαι δύναισθ' ἂν, ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις· ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας, ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν, καὶ πεπεισμένων, παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς, ἣν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων ὑμᾶς ἡγοῦμαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕστινας χρημάτων, καὶ τἄλλα ὡς ἄν μοι βέλτιστα καὶ τάχιστα δοκῇ παρασκευασθῆναι, καὶ δὴ πειράσομαι λέγειν· δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον, ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, καὶ μὴ πρότερον προλαμβάνετε, μηδ' ἂν ἐξ ἀρχῆς δοκῶ τινὶ καινὴν παρασκευὴν λέγειν, ἀναβάλλεσθαί με τὰ πράγματα ἡγείσθω. Οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον εἰπόντες, μάλιστα εἰς δέον λέγουσιν. Οὐ γὰρ ἂν τά γε ἤδη γεγενημένα τῇ

καὶ βοηθείᾳ κωλύεται δυνηθῆναι, ἀλλ' ὅς ἂν δείξῃ, τίς πορισθεῖσα παρασκευὴ, καὶ πόση, καὶ πόθεν διαμεῖναι δυνήσεται, ἕως ἂν ἢ διαλυσώμεθα πεισθέντες τὸν πόλεμον, ἢ περιγενώμεθα τῶν ἐχθρῶν· οὕτω γὰρ οὐκέτι τὸ λοιπὸν πάσχοιμεν ἂν κακῶς. Οἶμαι τοίνυν ἐγὼ ταῦτα λέγειν ἔχειν, μὴ κωλύων εἴ τις ἄλλος ἐπαγγέλλεταί τι· ἡ μὲν οὖν ὑπόσχεσις, οὕτω μεγάλη· τὸ δὲ πρᾶγμα, ἤδη τὸν ἔλεγχον δώσει· κριταὶ δ' ὑμεῖς ἔσεσθε. Πρῶτον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τριήρεις πεντήκοντα παρασκευάσασθαί φημι δεῖν· εἶτ' αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν, ὡς ἐάν τι δέῃ, πλευστέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσι· πρὸς δὲ τούτοις, τοῖς ἡμίσεσι τῶν ἱππέων ἱππαγωγοὺς τριήρεις, καὶ πλοῖα ἱκανὰ εὐτρεπίσαι κελεύω. Ταῦτα μὲν οἶμαι δεῖν ὑπάρχειν ἐπὶ τὰς ἐξαίφνης ταύτας ἀπὸ τῆς οἰκείας χώρας αὐτοῦ στρατείας, εἰς Πύλας, καὶ Χερρόνησον, καὶ Ὄλυνθον, καὶ ὅποι βούλεται· δεῖ γὰρ ἐκείνῳ τοῦτο ἐν τῇ γνώμῃ ἐμπαραστῆσαι, ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν, ὥσπερ εἰς Εὔβοιαν, καὶ πρότερόν ποτέ φασιν εἰς Ἁλίαρτον, καὶ τὰ τελευταῖα πρώην εἰς Πύλας, ἴσως ἂν ὁρμήσαιτε. Οὔτι παντελῶς, οὐδ' εἰ μὴ ποιήσαιτ' ἂν τοῦτο ὡς ἔγωγέ φημι δεῖν, εὐκαταφρόνητόν ἐστιν· ἵν' ἢ διὰ τὸν φόβον εἰδὼς εὐτρεπεῖς ὑμᾶς, ἔσεται γὰρ ἀκριβῶς (εἰσὶ γάρ εἰσιν οἱ πάντ' ἐξαγγέλλοντες ἐκείνῳ παρ' ἡμῶν αὐτῶν πλείους τοῦ δέοντος) ἡσυχίαν ἔχῃ, ἢ παριδὼν ταῦτα, ἀφύλακτος ληφθῇ, μηδενὸς ὄντος ἐμποδὼν πλεῖν ἐπὶ τὴν ἐκείνου χώραν ὑμῖν, ἂν ἐνδῷ καιρός· ταῦτα μέν ἐστιν ἃ πᾶσι δεδόχθαι φημὶ δεῖν, καὶ παρεσκευάσθαι προσήκειν οἴομαι. Πρὸς δὲ τούτοις, δύναμίν τινα, ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ προχειρίσασθαι δεῖν ὑμᾶς, ἣ συνεχῶς πολεμήσει, καὶ κακῶς ἐκεῖνον ποιήσει· μή μοι μυρίους, μηδὲ δισμυρίους ξένους, μηδὲ τὰς ἐπιστολιμαίους ταύτας δυνάμεις, ἀλλ' ἣ τῆς πόλεως ἔσται. Κἂν ὑμεῖς ἕνα, κἂν πλείους, κἂν τὸν δεῖνα, κἂν ὁντινοῦν χειροτονήσητε στρατηγόν, τούτῳ πείσεται καὶ ἀκολουθήσει· καὶ τροφὴν ταύτῃ πορίσαι κελεύω· ἔσται δ' αὕτη τίς ἡ δύναμις, καὶ πόση, καὶ πόθεν τὴν τροφὴν ἕξει, καὶ πῶς ταῦτ' ἐθελήσετε ποιεῖν; ἐγὼ φράσω, καθ' ἕκαστον τούτων διεξιὼν χωρίς· ξένους μὲν λέγω, καὶ ὅπως μὴ ποιήσητε τοῦθ' ὃ πολλάκις ὑμᾶς ἔβλαψεν.

ἀπαιτ'

ἅπαντ' ἐλάττω νομίζοντες εἶναι τοῦ δέοντος, καὶ τὰ μέγιστ' ἐν τοῖς ψηφίσμασιν αἱρούμενοι, ἐπὶ τῷ πράττειν οὐδὲ τὰ μικρὰ ποιεῖτε· ἀλλὰ τὰ μικρὰ ποιήσαντες καὶ πορίσαντες, τούτοις προστίθετε, ἂν ἐλάττω φαίνηται. Λέγω δὴ τοὺς πάντας στρατιώτας δισχιλίους· τούτων δὲ Ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους, ἐξ ἧς ἄν τινος ὑμῖν ἡλικίας καλῶς ἔχειν δοκῇ, χρόνον τακτὸν στρατευομένους, μὴ μακρὸν τοῦτον, ἀλλ' ὅσον ἂν δοκῇ καλῶς ἔχειν ἐκ διαδοχῆς ἀλλήλοις· τοὺς δ' ἄλλους ξένους εἶναι κελεύω· καὶ μετὰ τούτων, ἱππέας διακοσίους· καὶ τούτων, πεντήκοντα Ἀθηναίους τοὐλάχιστον, ὥσπερ τοὺς πεζοὺς τὸν αὐτὸν τρόπον στρατευομένους· καὶ ἱππαγωγοὺς τούτοις εἶεν. Τί πρὸς τούτοις ἔτι; ταχείας τριήρεις δέκα· δεῖ γὰρ ἔχοντος ἐκείνου ναυτικὸν, καὶ ταχειῶν τριήρων ἡμῖν, ὅπως ἀσφαλῶς ἡ δύναμις πλέῃ· πόθεν δὴ τούτοις ἡ τροφὴ γενήσεται; ἐγὼ καὶ τοῦτο φράσω καὶ δείξω· ἐπειδὰν, διότι τηλικαύτην ἀποχρῆν οἶμαι τὴν δύναμιν, καὶ πολίτας τοὺς στρατευομένους εἶναι κελεύω, διδάξω· τοσαύτην μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, διὰ ταῦτα, ὅτι οὐκ ἔνι νῦν ὑμῖν πορίσασθαι δύναμιν τὴν ἐκείνῳ παραταξομένην, ἀλλὰ λῃστεύειν ἀνάγκη, καὶ τούτῳ τῷ τρόπῳ τοῦ πολέμου χρῆσθαι τὴν πρώτην· οὐ τοίνυν, ὑπέρογκον αὐτήν· οὐ γὰρ ἔστι μισθὸς, οὐδὲ τροφὴ, οὐδὲ παντελῶς ταπεινὴν εἶναι δεῖ· πολίτας δὲ παρεῖναι, καὶ συμπλεῖν διὰ ταῦτα κελεύω, ὅτι καὶ πρότερόν ποτ' ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, οὗ Πολύστρατος ἡγεῖτο, καὶ Ἰφικράτης, καὶ Χαβρίας, καὶ ἄλλοι τινὲς, καὶ ὑμᾶς αὐτοὺς συστρατεύεσθαι· καὶ οἶδα ἀκούων, ὅτι Λακεδαιμονίους παραταττόμενοι μεθ' ὑμῶν, ἐνίκων οὗτοι οἱ ξένοι, καὶ ὑμεῖς μετ' ἐκείνων. Ἐξ οὗ δ' αὐτὰ καθ' αὑτὰ τὰ ξενικὰ ὑμῖν στρατεύεται, τοὺς φίλους νικᾷ, καὶ τοὺς συμμάχους, οἱ δ' ἐχθροὶ μείζους τοῦ δέοντος γεγόνασι· καὶ παρακύψαντα ἐπὶ τὸν τῆς πόλεως πόλεμον, πρὸς Ἀρτάβαζον καὶ πανταχοῦ μᾶλλον οἴχεται πλέοντα· ὁ δὲ στρατηγὸς ἀκολουθεῖ· εἰκότως. Οὐ γὰρ ἔστιν ἄρχειν, μὴ διδόντα μισθόν· τί οὖν κελεύω; τὰς προφάσεις ἀφελεῖν, καὶ τοῦ στρατηγοῦ, καὶ τῶν στρατιωτῶν, μισθὸν πορίσαντας, καὶ στρατιώτας οἰκείους, ὥσπερ ἐπόπτας τῶν στρατηγουμένων, παρακαταστήσαντας· ἐπεὶ νῦν γε, γέλως ἔσθ' ὡς χρώμεθα τοῖς πράγμασιν. Εἰ γὰρ ἔροιτό τις ὑμᾶς,

μᾶς, εἰρήνην ἄγετε, ὦ ἄνδρες ἀθηναῖοι; μὰ Δί', οὐχ ὑμεῖς γε ἔποιτ' ἄν, ἀλλὰ φιλίππῳ πολεμοῦμεν. οὐκ ἐχειροτονεῖτε δὲ ἐξ ὑμῶν αὐτῶν δέκα ταξιάρχους, καὶ στρατηγοὺς, καὶ φυλάρχους, καὶ ἱππάρχους δύο; τί οὖν οὗτοι ποιοῦσι, πλὴν ἑνὸς ἀνδρὸς ὃν ἂν ἐκπέμψητε ἐπὶ τὸν πόλεμον; οἱ λοιποὶ τὰς πομπὰς πέμπουσιν ὑμῖν μετὰ τῶν Ιεροποιῶν· ὥσπερ γὰρ οἱ πλάττοντες τοὺς πηλίνους, εἰς τὴν ἀγορὰν χειροτονεῖτε τοὺς ταξιάρχους, καὶ τοὺς φυλάρχους, οὐκ ἐπὶ τὸν πόλεμον. οὐ γὰρ ἐχρῆν, ὦ ἄνδρες ἀθηναῖοι, ταξιάρχους παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν, ἄρχοντας οἰκείους εἶναι, ἵν' ἦν ὡς ἀληθῶς τῆς πόλεως ἡ δύναμις· ἀλλ' εἰς μὲν Λῆμνον τὸν παρ' ὑμῶν ἵππαρχον δεῖ πλεῖν, τῶν δ' ὑπὲρ τῆς πόλεως κτημάτων ἀγωνιζομένων, Μενέλαον ἱππαρχεῖν· καὶ οὐ τὸν ἄνδρα μεμφόμενος ταῦτα λέγω, ἀλλ' ὑφ' ὑμῶν ἔδει κεχειροτονημένον εἶναι τοῦτον, ὅς τις ἂν ᾖ. ἴσως δὲ ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε λέγεσθαι· τὸ δὲ τῶν χρημάτων, πόσα καὶ πόθεν ἔσται, μάλιστα ποθεῖτε ἀκοῦσαι· τοῦτο δὴ καὶ περαίνω. Χρήματα τοίνυν, ἔστι μὲν ἡ τροφὴ, σιτηρέσιον τοῖς στρατευομένοις, μόνον τῇ δυνάμει ταύτῃ τάλαντα ἐνενήκοντα καὶ μικρόν τι πρὸς· δέκα μὲν ναυσὶ ταχείαις τετταράκοντα τάλαντα, εἴκοσιν εἰς τὴν ναῦν μναῖ τοῦ μηνὸς ἑκάστου· στρατιώταις δὲ δισχιλίοις, τοσαῦτα ἕτερα· ἵνα δέκα ἕκαστος τοῦ μηνὸς ὁ στρατιώτης δραχμὰς σιτηρέσιον λαμβάνῃ· τοῖς δ' ἱππεῦσι διακοσίοις οὖσιν, ἐὰν τριάκοντα δραχμὰς ἕκαστος λαμβάνῃ τοῦ μηνὸς, δώδεκα τάλαντα· εἰ δέ τις οἴεται μικρὰν ἀφορμὴν, σιτηρέσιον τοῖς στρατευομένοις ὑπάρχειν, οὐκ ὀρθῶς ἔγνωκεν· ἐγὼ γὰρ οἶδα σαφῶς, ὅτι εἰ τοῦτο γένοιτο, προσποριεῖ τὰ λοιπὰ αὐτὸ τὸ στράτευμα ἀπὸ τοῦ πολέμου, οὐδένα τῶν ἑλλήνων ἀδικοῦν, οὐδὲ τῶν συμμάχων, ὥστ' ἔχειν μισθὸν ἐντελῆ· κἀγὼ συμπλέων ἐθελοντὴς, πάσχειν ὁτιοῦν ἕτοιμος, ἐὰν μὴ ταῦθ' οὕτως ἔχῃ. Πόθεν οὖν ὁ πόρος τῶν χρημάτων, ἃ παρ' ὑμῶν κελεύω, γενήσεται; τοῦτ' ἤδη λέξω.

Πόρου ἀπόδειξις.

Ἃ μὲν ἡμεῖς, ὦ ἄνδρες ἀθηναῖοι, δεδυνήμεθα εὑρεῖν, ταῦτά ἐστιν· ἐπειδὰν δ' ἐπιχειροτονῆτε τὰς γνώμας, ἃ ἂν ὑμῖν ἀρέσκῃ χειροτονήσετε, ἵνα μὴ μόνον τοῖς ψηφίσμασι, καὶ ταῖς ἐπιστολαῖς πολεμῆτε φιλίππῳ, ἀλλὰ καὶ τοῖς ἔργοις. Δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου καὶ

ὅλης

ὅλης τῆς παρασκευῆς βουλεύσεσθαι, εἰ τὸν τόπον, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς χώρας, πρὸς ἣν πολεμήσετε, ἐνθυμηθέντες, καὶ λογίσαισθε, ὅτι τοῖς πνεύμασι, καὶ ταῖς ὥραις τοῦ ἔτους τὰ πολλὰ προλαμβάνων διαπράττεται Φίλιππος· καὶ φυλάξας τοὺς Ἐτησίας, ἢ τὸν χειμῶνα ἐπιχειρεῖ, ἡνίκ' ἂν ἡμεῖς μὴ δυναίμεθα ἐκεῖσε ἀφικέσθαι· δεῖ τοίνυν ὑμᾶς ταῦτα ἐνθυμουμένους, μὴ βοηθείαις πολεμεῖν, ὑστεριοῦμεν γὰρ ἁπάντων, ἀλλὰ παρασκευῇ συνεχεῖ, καὶ δυνάμει. Ὑπάρχει δ' ὑμῖν χειμαδίῳ μὲν χρῆσθαι τῇ δυνάμει, Λήμνῳ, καὶ Θάσῳ, καὶ Σκιάθῳ, καὶ ταῖς ἄλλαις ταῖς ἐν τούτῳ τῷ τόπῳ νήσοις, ἐν αἷς καὶ λιμένες, καὶ σῖτος, καὶ ἃ χρὴ στρατεύμασι, πάνθ' ὑπάρχει· τὴν δ' ὥραν τοῦ ἔτους, ὅτε καὶ πρὸς τῇ γῇ γενέσθαι ῥᾴδιον, καὶ τὸ τῶν πνευμάτων ἀσφαλὲς πρὸς αὐτῇ τῇ χώρᾳ, καὶ πρὸς τοῖς τῶν ἐμπορίων στόμασι, ῥᾳδίως ἔσται. Ἃ μὲν οὖν χρήσεται, καὶ πότε τῇ δυνάμει παρὰ τὸν καιρὸν, ὁ τούτων κύριος καταστὰς ὑφ' ὑμῶν βουλεύσεται· ἃ δ' ὑπάρξαι δεῖ παρ' ὑμῶν, ταῦτ' ἐστὶν ἃ ἐγὼ γέγραφα· ἂν δὲ ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, πορίσητε τὰ χρήματα, πρῶτον ἃ λέγω, εἶτα καὶ τἄλλα πάντα παρασκευάσαντες, τοὺς στρατιώτας, τὰς τριήρεις, τοὺς ἱππέας, ἐντελῆ πᾶσαν τὴν δύναμιν νόμῳ κατακλείσητε ἐπὶ τῷ πολέμῳ μένειν, τῶν μὲν χρημάτων αὐτοὶ ταμίαι, καὶ πορισταὶ γιγνόμενοι, τῶν δὲ πράξεων παρὰ τοῦ στρατηγοῦ τὸν λόγον ζητοῦντες, παύσεσθ' ἀεὶ περὶ τῶν αὐτῶν βουλευόμενοι, καὶ πλέον οὐδὲν ποιοῦντες· καὶ ἔτι πρὸς τούτοις, πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μέγιστον τῶν ἐκείνου πόρων ἀφαιρήσεσθε· ἔστι δ' οὗτος τίς; ἀπὸ τῶν ὑμετέρων ὑμῖν πολεμεῖ συμμάχων, ἄγων καὶ φέρων τοὺς πλέοντας τὴν θάλατταν· ἔπειτα τί πρὸς τούτῳ; τοῦ πάσχειν αὐτοὶ κακῶς ἔξω γενήσεσθε. Οὐχ ὥσπερ τὸν παρελθόντα χρόνον εἰς Λῆμνον καὶ Ἴμβρον ἐμβαλὼν, αἰχμαλώτους πολίτας ὑμετέρους ᾤχετ' ἄγων, καὶ πρὸς τῷ Γεραιστῷ τὰ πλοῖα συλλαβὼν, ἀμύθητα χρήματα ἐξέλεξε· τὰ τελευταῖα δ' εἰς Μαραθῶνα ἀπέβη, καὶ τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ', ἔχων τριήρη. Ὑμεῖς δὲ οὔτε ταῦτα ἠδύνασθε κωλύειν, οὔτ' εἰς τοὺς χρόνους, οὓς ἂν προέλησθε βοηθεῖν· καίτοι τί δήποτε, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε, τὴν μὲν τῶν Παναθηναίων ἑορτὴν, καὶ τὴν τῶν Διονυσίων, ἀεὶ τοῦ καθήκοντος

χρό-

χρόνῳ γίνεσθαι, ἄν τε δεινοὶ λάχωσιν, ἄντε ἰδιῶται οἱ τούτων ἑκατέρων ἐπιμελούμενοι, εἰς ἃ τοσαῦτα ἀναλίσκεται χρήματα, ὅσα οὐδ' εἰς ἕνα τῶν ἀποστόλων, καὶ τοσοῦτον ὄχλον, καὶ τοσαύτην παρασκευὴν, ὅσην οὐκ οἶδ' εἴ τις τῶν ἁπάντων ἔχει, τοὺς δὲ ἀποστόλους πάντας ὑμῖν ὑστερίζειν τῶν καιρῶν, τὸν εἰς Μεθώνην, τὸν εἰς Παγασὰς, τὸν εἰς Ποτίδαιαν; ὅτι ἐκεῖνα μὲν ἅπαντα νόμῳ τέτακται, καὶ προοίδεν ἕκαστος ὑμῶν ἐκ πολλοῦ, τίς χορηγὸς, ἢ γυμνασίαρχος τῆς φυλῆς, πότε, καὶ παρὰ τοῦ, καὶ τί λαβόντα, τί δεῖ ποιεῖν· οὐδὲν ἀνεξέταστον, οὐδ' ἀόριστον ἐν τούτοις ἠμέληται· ἐν δὲ τοῖς περὶ τοῦ πολέμου καὶ τῇ τούτου παρασκευῇ, ἄτακτα, ἀόριστα, ἀδιόρθωτα ἅπαντα· τοιγαροῦν, ἅμα ἀκηκόαμέν τι, καὶ τριηράρχους καθίσταμεν, καὶ τούτοις ἀντιδόσεις ποιούμεθα, καὶ περὶ χρημάτων πόρου σκοποῦμεν· καὶ μετὰ ταῦτα, ἐμβαίνειν τοὺς μετοίκους ἔδοξε, καὶ τοὺς χωρὶς οἰκοῦντας· εἶτ' αὐτοὺς πάλιν ἀντεμβιβάζειν. εἶτ' ἐν ὅσῳ ταῦτα μέλλετε, προαπόλωλεν ἐφ' ὃ ἂν ἐκπλέωμεν· Τὸν γὰρ τοῦ πράττειν χρόνον, εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκομεν· οἱ δὲ τῶν πραγμάτων καιροὶ, οὐκ ἀναμένουσι τὴν ὑμετέραν βραδύτητα, καὶ ῥᾳθυμίαν· ἃς δ' εἰς τὸν μεταξὺ χρόνον δυνάμεις οἰόμεθα ἡμῖν ὑπάρχειν, οὐδὲν οἷαί τε οὖσαι ποιεῖν, ἐπ' αὐτῶν τῶν καιρῶν ἐξελέγχονται· ὁ δ' εἰς τοῦθ' ὕβρεως ἐλήλυθεν, ὥστ' ἐπιστέλλειν Εὐβοεῦσιν ἤδη τοιαύτας ἐπιστολάς·

Ἐπιστολή. Τούτων οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀνεγνωσμένων, ἀληθῆ μέν ἐστι τὰ πολλὰ, ὡς οὐκ ἔδει, οὐ μὴν ἀλλ' ἴσως οὐχ ἡδέα ἀκούειν· ἀλλ' εἰ μὲν ὅσα ἄν τις ὑπερβῇ τῷ λόγῳ, ἵνα μὴ λυπήσῃ, καὶ τὰ πράγματα ὑπερβήσεται, δεῖ πρὸς ἡδονὴν δημηγορεῖν· εἰ δ' ἡ τῶν λόγων χάρις ἂν ᾖ μὴ προσήκουσα, ἔργῳ ζημία γίγνεται, αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, φενακίζειν ἑαυτοὺς, καὶ ἅπαντ' ἀναβαλλομένους ὅσα ἂν ᾖ δυσχερῆ, πάντων ὑστερίζειν τῶν ἔργων· καὶ μὴ δὲ τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους, οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων· καὶ τὸν αὐτὸν τρόπον, ὥσπερ τῶν στρατευμάτων ἀξιώσειεν ἄν τις τὸν στρατηγὸν ἡγεῖσθαι, οὕτω καὶ τῶν πραγμάτων τοὺς βουλευομένους ἡγεῖσθαι χρὴ, ἵν' ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττηται, καὶ μὴ τὰ συμβαίνοντα ἀναγκάζωνται διώκειν· ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθη-

ναῖοι,

καῖοι, πλείστην δύναμιν ἁπάντων ἔχοντες, τριήρεις, ὁπλίτας, ἱππέας, χρημάτων πρόσοδον, τούτων μὲν μέχρι τῆς σήμερον ἡμέρας, οὐδενὶ πώποτε ἐνδέοντι κέχρησθε, οὐδενὸς δὲ ἀπολείπεσθε· ὥσπερ δὲ οἱ βάρβαροι πυκτεύουσιν, οὕτω πολεμεῖτε φιλίππῳ. Καὶ γὰρ ἐκείνων ὁ πληγεὶς, ἀεὶ τῆς πληγῆς ἔχεται· κἂν ἑτέρωσε πατάξῃ τις, ἐκεῖσέ εἰσιν αἱ χεῖρες· προβάλλεσθαι δὲ ἢ βλέπειν ἐναντίον οὔτε οἶδεν, οὔτ᾽ ἐθέλει· καὶ ὑμεῖς, ἐὰν ἐν Χερρονήσῳ πύθησθε φίλιππον, ἐκεῖσε βοηθεῖν ψηφίζεσθε· ἐὰν ἐν Πύλαις, ἐκεῖσε· ἐὰν ἄλλοθί που, συμπαραθεῖτε ἄνω καὶ κάτω· καὶ στρατηγεῖσθε μὲν ὑπ᾽ ἐκείνου, βεβούλευσθε δὲ οὐδὲν αὐτοῖς συμφέρον περὶ τοῦ πολέμου, οὐδὲ περὶ τῶν πραγμάτων προορᾶτε οὐδὲν, πρὶν ἂν ἢ γεγενημένον, ἢ γιγνόμενόν τι πύθησθε. Ταῦτα δὲ ἴσως πρότερον μὲν ἐνῆν ποιεῖν, νῦν δ᾽ ἐπ᾽ αὐτὴν ἥκει τὴν ἀκμὴν, ὥστ᾽ οὐκέτ᾽ ἐγχωρεῖ· δοκεῖ δέ μοι θεῶν τις, ὦ ἄνδρες ἀθηναῖοι, τοῖς γιγνομένοις ὑπὲρ τῆς πόλεως αἰσχυνόμενος, τὴν φιλοπραγμοσύνην ταύτην ἐμβαλεῖν φιλίππῳ. Εἰ γὰρ ἔχων ἃ κατέστραπται καὶ προείληφεν ἡσυχίαν ἔχειν ἤθελε, καὶ μηδὲν ἔπραττεν ἔτι, ἀποχρῆν ἐνίοις ὑμῶν ἄν μοι δοκεῖ, ἐξ ὧν αἰσχύνην καὶ ἀνανδρίαν καὶ πάντα τὰ αἴσχιστα ὠφληκότες ἂν ἦμεν δημοσίᾳ· νῦν δ᾽ ἐπιχειρῶν ἀεί τινι, καὶ τοῦ πλείονος ὀρεγόμενος, ἴσως ἂν ἐκκαλέσαιθ᾽ ὑμᾶς, εἴπερ μὴ παντάπασιν ἀπεγνώκατε· θαυμάζω δ᾽ ἔγωγε, εἰ μηδεὶς ὑμῶν μήτ᾽ ἐνθυμεῖται, μήτε ὀργίζεται, ὁρῶν, ὦ ἄνδρες ἀθηναῖοι, τὴν μὲν ἀρχὴν τοῦ πολέμου γεγενημένην περὶ τοῦ τιμωρήσασθαι φίλιππον, τὴν δὲ τελευτὴν οὖσαν ἤδη ὑπὲρ τοῦ μὴ παθεῖν αὐτοὺς κακῶς ὑπὸ τοῦ φιλίππου· ἀλλὰ μὴν ὅτι γε οὐ στήσεται, δῆλον, εἰ μή τις αὐτὸν κωλύσει· εἶτα τοῦτο ἀναμενοῦμεν; καὶ τριήρεις κενὰς, καὶ τὰς παρὰ τοῦ δεῖνος ἐλπίδας ἐὰν ἀποστείλητε, πάντ᾽ ἔχειν οἴεσθε καλῶς; οὐκ ἐμβησόμεθα; οὐκ ἔξιμεν αὐτοὶ μέρει γέ τινι στρατιωτῶν οἰκείων νῦν, εἰ καὶ μὴ πρότερον; οὐκ ἐπὶ τὴν ἐκείνου πλευσόμεθα; ποῖ δὴ προσορμιούμεθα; ἤρετό τις· εὑρήσει τὰ σαθρὰ τῶν ἐκείνου πραγμάτων, ὦ ἄνδρες ἀθηναῖοι, αὐτὸς ὁ πόλεμος, ἂν ἐπιχειρῶμεν· ἂν μέντοι καθώμεθα οἴκοι, λοιδορουμένων ἀκούοντες καὶ αἰτιωμένων ἀλλήλους τῶν λεγόντων, οὐδέ ποτ᾽ οὐδὲν ἡμῖν οὐ μὴ γένηται τῶν δεόντων. Ὅποι μὲν γὰρ ἂν, οἶμαι, μέρος τι τῆς πόλεως συναποσταλῇ.

λῇ.

λῆ, κἂν μὴ πᾶσα παρῇ, καὶ τὸ τῶν θεῶν εὐμενὲς, καὶ τὸ τῆς τύχης ὑμῖν συναγωνίζεται. Ὅποι δ' ἂν στρατηγὸν καὶ ψήφισμα κενὸν καὶ τὰς ἀπὸ τοῦ βήματος ἐλπίδας ἐκπέμψητε, οὐδὲν ὑμῖν τῶν δεόντων γίγνεται· ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι τεθνᾶσι τῷ δέει τοὺς τοιούτους ἀποστόλους· οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἕνα ἄνδρα ἂν δυνηθῆναί ποτε ταῦθ' ὑμῖν πρᾶξαι ἅπανθ', ὅσα βούλεσθε· ὑποσχέσθαι μέντοι καὶ φῆσαι, καὶ τὸν δεῖνα αἰτιάσασθαι, καὶ τὸν δεῖνα, ἔστι. τὰ δὲ πράγματα ἐκ τούτων ἀπόλωλεν. Ὅταν γὰρ ἡγῆται μὲν ὁ στρατηγὸς ἀθλίων ἀπομίσθων ξένων, οἱ δ' ὑπὲρ ὧν ἂν ἐκεῖνος ἐκεῖ πράξῃ πρὸς ὑμᾶς ψευδόμενοι, ῥᾳδίως ἐνθάδε ὦσι, ὑμεῖς δ' ἐξ ὧν ἂν ἀκούσητε, ὅ, τι ἂν τύχῃ ῥᾳδίως ψηφίζεσθε· τί καὶ χρὴ προσδοκᾶν; πῶς οὖν ταῦτα παύσεται; ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς αὐτοὺς ἀποδείξητε στρατιώτας καὶ μάρτυρας τῶν στρατηγουμένων, καὶ δικαστὰς οἴκαδε ἐλθόντας τῶν εὐθυνῶν· οὐ γὰρ μὴ ἀκούειν μόνον ὑμᾶς τὰ ὑμέτερα αὐτῶν, ἀλλὰ καὶ παρόντας ὁρᾶν δεῖ· νῦν δ' εἰς τοῦθ' ἥκει τὰ πράγματα αἰσχύνης, ὥστε τῶν στρατηγῶν ἕκαστος δὶς καὶ τρὶς κρίνεται παρ' ὑμῖν περὶ θανάτου· πρὸς δὲ τοὺς ἐχθροὺς, οὐδεὶς οὐδὲ ἅπαξ αὐτῶν ἀγωνίσασθαι περὶ θανάτου τολμᾷ, ἀλλὰ τὸν τῶν ἀνδραποδιστῶν καὶ λωποδυτῶν θάνατον μᾶλλον αἱροῦνται τοῦ προσήκοντος· Κακούργου μὲν γάρ ἐστι, κριθέντα ἀποθανεῖν· στρατηγοῦ δὲ, μαχόμενον τοῖς πολεμίοις. Ὑμῶν δὲ οἱ μὲν περιϊόντες, μετὰ Λακεδαιμονίων φασὶ Φίλιππον πράττειν τὴν Θηβαίων κατάλυσιν, καὶ τὰς πολιτείας διασπᾷν· οἱ δ' ὡς πρέσβεις πέπομφεν ὡς βασιλέα· οἱ δ' ἐν Ἰλλυριοῖς πόλεις τειχίζειν· οἱ δὲ, λόγους πλάττοντες, ἕκαστος περιερχόμεθα· ἐγὼ δ' οἶμαι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, νὴ τοὺς θεοὺς ἐκεῖνον μεθύειν τῷ μεγέθει τῶν πεπραγμένων, καὶ πολλὰ τοιαῦτα ὀνειροπολεῖν ἐν τῇ γνώμῃ, τήν τ' ἐρημίαν τῶν κωλυσόντων ὁρῶντα καὶ τοῖς πεπραγμένοις ἐπηρμένον· οὐ μέντοι γε μὰ Δία οὕτω προαιρεῖσθαι πράττειν, ὥστε τοὺς ἀνοητοτάτους τῶν παρ' ὑμῖν εἰδέναι, τί μέλλει ποιεῖν ἐκεῖνος. Ἀνοητότατοι γάρ εἰσιν οἱ λογοποιοῦντες· ἀλλ' ἐὰν ἀφέντες ταῦτα ἐκεῖνο εἰδῶμεν, ὅτι ἐχθρὸς ἄνθρωπος, καὶ τὰ ἡμέτερα ἡμᾶς ἀποστερεῖ, καὶ χρόνον πολὺν ὕβρικε, καὶ ἅπαντα ὅσα πώποτε ἠλπίσαμέν τι-

ΣΜΥΡ να

τὰς πράξεις ὑπὲρ ἡμῶν, καθ' ἡμῶν εὕρηται· καὶ τὰ λοιπὰ ἐν ἡμῖν αὐτοῖς ἐστι, κἂν μὴ νῦν ἐθέλωμεν ἐκεῖ πολεμεῖν αὐτῷ, ἐνθάδ' ἴσως ἀναγκασθησόμεθα τοῦτο ποιεῖν, ἂν ταῦτα εἰδῶμεν, καὶ τὰ δέοντα ἐσόμεθα ἐγνωκότες, καὶ λόγων ματαίων ἀπηλλαγμένοι. Οὐ γὰρ ἅττα ποτ' ἔσται δεῖ σκοπεῖν, ἀλλ' ὅτι φαῦλα, ἐὰν μὴ προσέχητε τοῖς πράγμασι τὸν νοῦν, καὶ τὰ προσήκοντα ποιεῖν ἐθέλητε, εὖ εἰδέναι· ἐγὼ μὲν οὖν, οὔτ' ἄλλοτε πώποτε πρὸς χάριν εἱλόμην λέγειν, ὅ, τι ἂν μὴ καὶ συνοίσειν ὑμῖν πεπεισμένος ὦ· νῦν τε ἃ γιγνώσκω πάνθ' ἁπλῶς οὐδὲν ὑποστειλάμενος πεπαρρησίασμαι· ἐβουλόμην δ' ἄν, ὥσπερ ὅτι ὑμῖν συμφέρει τὸ τὰ βέλτιστα ἀκούειν οἶδα, οὕτως εἰδέναι συνοῖσον καὶ τῷ τὰ βέλτιστα εἰπόντι· πολλῷ γὰρ ἂν ἥδιον εἶπον· νῦν δ' ἐπ' ἀδήλοις οὖσι τοῖς ἀπὸ τούτων ἐμαυτῷ γενησομένοις, ὅμως ἐπὶ τῷ συνοίσειν ὑμῖν ἐὰν πράξητε ταῦτα πεπεῖσθαι λέγειν αἱροῦμαι· Νικῴη δ' ὅτι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.

K ΔΗΜΟ-

# ΔΗΜΟΣΘΕΝΟΥΣ

## Ο ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ

## ΛΟΓΟΣ.

Ὁρῶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ παρόντα πράγματα πολλὴν δυσκολίαν ἔχοντα καὶ ταραχὴν, οὐ μόνον τῷ πολλὰ προεῖσθαι, καὶ μηδὲν εἶναι προὔργου περὶ αὐτῶν εὖ λέγειν, ἀλλὰ καὶ τῷ περὶ τῶν ὑπολοίπων κατὰ ταὐτὰ, μὴ δὲ καθ' ἓν τὸ συμφέρον πάντας ἡγεῖσθαι, ἀλλὰ τοῖς μὲν, ὡδὶ, τοῖς δὲ, ἑτέρως δοκεῖν· Δυσκόλου δ' ὄντος φύσει καὶ χαλεποῦ τοῦ βουλεύεσθαι, ἔτι πολλῷ χαλεπώτερον ὑμεῖς αὐτὸ πεποιήκατε, ὦ ἄνδρες Ἀθηναῖοι· οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι, ὑμεῖς δὲ, μετὰ τὰ πράγματα· ἐκ δὲ τούτου συμβαίνει, παρὰ πάντα τὸν χρόνον, ὃν οἶδ' ἐγὼ, τὸν μὲν, οἷς ἂν ἁμάρτητε, ἐπιτιμῶντα εὐδοκιμεῖν, καὶ δοκεῖν εὖ λέγειν, τὰ δὲ πράγματα καὶ περὶ ὧν βουλεύεσθε, ἐκφεύγειν ὑμᾶς. Οὐ μὴν ἀλλὰ, καίπερ τούτων οὕτως ἐχόντων, οἶμαι καὶ πεπεισμένος ἐμαυτὸν ἀνέστηκα, ἂν ἐθελήσητε, τοῦ θορυβεῖν καὶ φιλονικεῖν ἀποστάντες, ἀκούειν, ὡς ὑπὲρ πόλεως βουλευομένοις, καὶ τηλικούτων πραγμάτων προσήκει, ἕξειν καὶ λέγειν, καὶ συμβουλεύειν, δι' ὧν καὶ τὰ παρόντα ἔσται βελτίω, καὶ τὰ προειμένα σωθήσεται. Ἀκριβῶς δὲ εἰδὼς, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ λέγειν περὶ ὧν αὐτὸς εἶπέ τις, καὶ περὶ αὑτοῦ παρ' ὑμῖν ἀεὶ τῶν πάνυ λυσιτελούντων τοῖς τολμῶσιν ὂν, οὕτως ἡγοῦμαι φορτικὸν καὶ ἐπαχθὲς, ὥστε ἀνάγκην οὖσαν ὁρῶν, ὅμως ἀποκνῶ. Νομίζω δ' ἄμεινον ἂν ὑμᾶς περὶ ὧν νυνὶ ἐρῶ κρῖναι, μικρὰ τῶν πρότερόν ποτε ῥηθέντων ὑπ' ἐμοῦ μνημονεύσαντας· ἐγὼ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, πρῶτον μὲν ἡνίκ' ἔπειθόν τινες ὑμᾶς, τῶν ἐν Εὐβοίᾳ ταραττομένων πραγμάτων, βοηθεῖν Πλουτάρχῳ, καὶ πόλεμον ἄδοξον, καὶ δαπανηρὸν ἄρασθαι, πρῶτος, καὶ μόνος παρελθὼν, ἀντεῖπον. Καὶ μόνον οὐ διεσπάσθην ὑπὸ τῶν ἐπὶ μικροῖς λήμμασι πολλὰ καὶ μεγάλα ὑμᾶς ἁ-

μαρτά-

ἁμαρτάνειν πεισάντων. Καὶ χρόνου βραχέος διελθόντος, μετὰ τοῦ προσοφλεῖν αἰσχύνην, καὶ παθεῖν οἷα τῶν ὄντων ἀνθρώπων οὐδένες πώποτε πεπόνθασιν ὑπὸ τούτων, οἷς ἐβοηθήσαμεν· πάντες ὑμεῖς ἔγνωτε, τήν τε τῶν ταῦτα πεισάντων κακίαν, καὶ τὸν τὰ βέλτιστα εἰρηκότα ἐμέ· Πάλιν τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτήν, τῷ μὲν τῆς τέχνης προσχήματι τυγχάνοντα ἀδείας, κακὰ δ᾽ ἐργαζόμενον τὰ μέγιστα τὴν πόλιν, καὶ τὰ παρ᾽ ἡμῖν διοικοῦντα Φιλίππῳ, καὶ πρυτανεύοντα, παρελθὼν εἶπον εἰς ὑμᾶς, οὐδεμιᾶς ἕνεκα οὔτ᾽ ἔχθρας, οὔτε συκοφαντίας ἰδίας, ὡς ἐκ τῶν μετὰ ταῦτα ἔργων γέγονε δῆλον. Καὶ οὐκ ἔτ᾽ ἂν τούτοις αἰτιάσομαι τοὺς ὑπὲρ Νεοπτολέμου λέγοντας, οὐδὲ εἷς γὰρ ἦν, ἀλλ᾽ αὐτοὺς ὑμᾶς. εἰ γὰρ ἐν Διονύσου τραγῳδοὺς ἐθεᾶσθε, ἀλλὰ μὴ περὶ σωτηρίας καὶ κοινῶν πραγμάτων ἦν ὁ λόγος, οὐκ ἂν οὕτως οὔτε ἐκείνου πρὸς χάριν, οὔτε ἐμοῦ πρὸς ἀπέχθειαν ἠκούετε. Καίτοι τοῦτό γε ὑμᾶς οἶμαι νῦν ἅπαντας ᾐσθῆσθαι, ὅτι τὴν τότε ἄφιξιν εἰς τοὺς πολεμίους ἐποιήσατο, ὑπὲρ τοῦ τὰ ἐκεῖ χρήματα ὀφειλόμενα, ὡς ἔφη, κομίσας δεῦρο, λειτουργεῖν· καὶ τούτῳ τῷ λόγῳ πλείστῳ χρησάμενος, ὡς δεινὸν εἴ τις ἐγκαλεῖ τοῖς ἐκεῖθεν ἐνθάδε τὰς εὐπορίας ἄγουσιν, ἐπειδὴ διὰ τὴν εἰρήνην ἀδείας ἔτυχεν, ἣν ἐνθάδε ἐκέκτητο οὐσίαν φανεράν, ταύτην ἐξαργυρίσας, πρὸς ἐκεῖνον ἀπάγων ᾤχετο. Δύο μὲν δὴ ταῦτα ἃ προεῖπον ἐγώ, μαρτυρεῖ τοῖς τότε γεγενημένοις λόγοις ὀρθῶς καὶ δικαίως, οἷά περ ἦν, ἀποφανθέντα ὑπ᾽ ἐμοῦ. Τρίτον δ᾽ ὦ ἄνδρες ἀθηναῖοι, καὶ μόνον ἓν τοῦτ᾽ εἰπὼν ἔτι, καὶ δὴ καὶ περὶ ὧν παρελήλυθα ἐρῶ· ἡνίκα τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης ἀπειληφότες ἥκομεν οἱ πρέσβεις, τότε Θεσπιάς τινων καὶ Πλαταιὰς ὑπισχνουμένων οἰκισθήσεσθαι, καὶ τοὺς μὲν Φωκέας τὸν Φίλιππον, ἂν γένηται κύριος, σώσειν, τὴν δὲ Θηβαίων πόλιν διοικιεῖν, καὶ τὸν Ὠρωπὸν ὑμῖν ὑπάρξειν, καὶ τὴν Εὔβοιαν ἀντ᾽ Ἀμφιπόλεως ἀποδοθήσεσθαι, καὶ τοιαύτας ἐλπίδας, καὶ φενακισμούς, οἷς ὑπαχθέντες ὑμεῖς, οὔτε συμφερόντως, οὔτε ἴσως, οὔτε καλῶς προεῖσθε Φωκέας, οὐδὲν τούτων οὔτ᾽ ἐξαπατήσας, οὔτε σιγήσας ἐγὼ φανήσομαι· ἀλλὰ προειπὼν ὑμῖν, ὡς εὖ οἶδ᾽ ὅτι μνημονεύετε, ὅτι ταῦτα οὔτε οἶδα, οὔτε προσδοκῶ, νομίζω δὲ τὸν λέγοντα ληρεῖν. Ταῦτα τοί-

τοῦ πάντα, ὅσα φαίνομαι βέλτιον τῶν ἄλλων προορᾶν, οὐδ᾽ εἰς μίαν, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε δεινότητα, οὔτε ἀλαζονείαν ἐπανοίσω, οὐδὲ προσποιήσομαι δι᾽ οὐδὲν ἄλλο γινώσκειν, καὶ προαισθάνεσθαι, πλὴν δι᾽ ἃ ἂν ὑμῖν εἴπω δύο. Ἓν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δι᾽ εὐτυχίαν, ἣν συμπάσης ἐγὼ τῆς ἐν ἀνθρώποις οὔσης δεινότητος καὶ σοφίας, ὁρῶ κρατοῦσαν. Ἕτερον δέ, ὅτι προῖκα τὰ πράγματα κρίνω, καὶ λογίζομαι, καὶ οὐδὲν λῆμμα οὐδεὶς ἂν ἔχοι, πρὸς οἷς ἐγὼ πεπολίτευμαι καὶ λέγω, δεῖξαι προστηρτημένον· ὀρθὸν οὖν ὅ,τι ἂν ποτε ἀπ᾽ αὐτῶν ὑπάρχῃ τῶν πραγμάτων, τὸ συμφέρον φαίνεταί μοι· ὅταν δ᾽ ἐπὶ θάτερα ὥσπερ εἰς τρυτάνην ἀργύριον προσενέγκῃς, οἴχεται φέρον, καὶ καθείλκυσε τὸν λογισμὸν ἐφ᾽ αὑτό, καὶ οὐκ ἔτ᾽ ἂν ὀρθῶς οὐδ᾽ ὑγιῶς ὁ τοῦτο ποιήσας περὶ οὐδενὸς ἂν λογίσαιτο. Ἓν μὲν οὖν ἔγωγε πρῶτον ὑπάρχειν φημὶ δεῖν, ὅπως εἴτε σύνταξιν, εἴτε συμμάχους, εἴτ᾽ ἄλλο τι βούλεταί τις κατασκευάζειν τῇ πόλει, τῆς ὑπαρχούσης εἰρήνης μὴ λύων τοῦτο ποιήσῃ, οὐχ ὡς θαυμαστῆς, οὐδ᾽ ὡς ἀξίας οὔσης ὑμῶν· ἀλλ᾽ ὁποία ποτ᾽ ἐστὶν αὕτη, μὴ γενέσθαι μᾶλλον εἶχε τοῖς πράγμασι καιρόν, ἢ γεγενημένη, νῦν δι᾽ ὑμᾶς λυθῆναι· πολλὰ γὰρ προείμεθα, ὧν ὑπαρχόντων τότ᾽ ἄν, ἦν νῦν, ἀσφαλέστερος καὶ ῥᾴων ἡμῖν ὁ πόλεμος. Δεύτερον δὲ ὁρᾶν, ὅπως μὴ προαξόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς συνεληλυθότας τούτους, καὶ φάσκοντας Ἀμφικτύονας νῦν εἶναι, εἰς ἀνάγκην, καὶ πρόφασιν κοινοῦ πολέμου πρὸς ἡμᾶς. Ἐγὼ γάρ, εἰ γένοιθ᾽ ἡμῖν πρὸς Φίλιππον πάλιν πόλεμος δι᾽ Ἀμφίπολιν, ἤ τι τοιοῦτον ἔγκλημα ἴδιον, οὗ μὴ μετέχουσι Θετταλοί, μηδ᾽ Ἀργεῖοι, μηδὲ Θηβαῖοι, οὐκ ἂν ἡμῖν οἴομαι τούτων οὐδένα πολεμῆσαι, καὶ πάντων ἥκιστα (καί μοι μὴ θορυβήσῃ μηδεὶς πρὶν ἂν ἀκούσῃ) Θηβαίους, οὐχ ὡς ἡδέως ἔχουσιν ἡμῖν, οὐδ᾽ ὡς οὐκ ἂν χαρίζοιντο Φιλίππῳ, ἀλλ᾽ ἴσασιν ἀκριβῶς, εἰ καὶ πάνυ φησί τις αὐτοὺς ἀναισθήτους εἶναι, ὅτι εἰ γενήσεται πόλεμος πρὸς ὑμᾶς αὐτούς, τὰ μὲν κακὰ πάνθ᾽ ἕξουσιν αὐτοί, τοῖς δ᾽ ἀγαθοῖς ἐφεδρεύων ἕτερος καθεδεῖται· οὐκ ἂν προοῖντο ἂν ἑαυτοὺς εἰς τοῦτο, μὴ κοινῆς τῆς ἀρχῆς, καὶ τῆς αἰτίας οὔσης τοῦ πολέμου. οὐδέ γε εἰ πάλιν πρὸς τοὺς Θηβαίους πολεμήσαιμεν δι᾽ Ὠρωπόν, ἤ τι τῶν ἰδίων, οὐδὲν ἂν ἡμᾶς παθεῖν ἡγοῦμαι·

καὶ

καὶ γὰρ ἡμῖν κἀκείνοις τοὺς βοηθήσοντας ἂν οἶμαι εἰς τὴν οἰκείαν εἴ τις ἐμβάλλοι, βοηθεῖν, οὐ συνεπιστρατεύσειν οὐδετέροις· καὶ γὰρ αἱ συμμαχίαι τοῦτον ἔχουσι τὸν τρόπον, ὧν καὶ φροντίσειεν ἄν τις· καὶ τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν· οὐκ ἀπὸ τῆς ἴσης ἕκαστός ἐστιν εὔνους, οὔθ' ἡμῖν, οὔτε Θηβαίοις, ὥστε εἶναι, καὶ κρατεῖν τῶν ἄλλων, ἀλλὰ σῶς μὲν εἶναι ἅπαντες ἂν βούλοιντο ἕνεκα ἑαυτῶν, κρατήσαντας δὲ τοὺς ἑτέρους, δεσπότας ὑπάρχειν αὑτῶν, οὐδὲ εἷς. Τί οὖν ἡγοῦμαι φοβερὸν, καὶ τί φυλάξασθαι φημὶ δεῖν ὑμᾶς; ὅπως μὴ κοινὴν πρόφασιν, καὶ κοινὸν ἔγκλημα ὁ μέλλων πόλεμος πρὸς ἅπαντας λάβῃ· εἰ γὰρ Ἀργεῖοι μὲν, καὶ Μεσσήνιοι, καὶ Μεγαλοπολῖται, καί τινες τῶν λοιπῶν Πελοποννησίων, ὅσοι γε δὴ τὰ αὐτὰ τούτοις φρονοῦσι, διὰ τὴν πρὸς Λακεδαιμονίους ἡμῖν ἐπικηρυκείαν ἐχθρῶς σχήσουσι, καὶ τὸ δοκεῖν ἐκδέχεσθαί τι τῶν ἐκείνοις πεπραγμένων· Θηβαῖοι δὲ ἔχουσι μὲν ὥς λέγουσιν ἀπεχθῶς, ἔτι δὲ ἐχθροτέρως σχήσουσιν, ὅτι τοὺς παρ' ἐκείνων φεύγοντας σώζομεν, καὶ πάντα τρόπον τὴν δυσμένειαν ἐνδείκνυσθε αὐτοῖς. Θετταλοὶ δὲ, ὅτι τοὺς Φωκέων φυγάδας σώζομεν. Φίλιππος δὲ, ὅτι κωλύομεν αὐτὸν κοινωνεῖν τῆς Ἀμφικτυονίας· φοβοῦμαι, μὴ πάντες περὶ τῶν ἰδίων ἕκαστος ὀργιζόμενος, κοινὸν ἐφ' ἡμᾶς ἀγάγωσι τὸν πόλεμον, τὰ τῶν Ἀμφικτυόνων δόγματα προστησάμενοι· εἶτ' ἐπισπασθῶσιν ἕκαστοι πέρα τοῦ συμφέροντος ἑαυτοῖς, ἡμῖν πολεμῆσαι, ὥσπερ καὶ περὶ Φωκέας· ἴστε γὰρ δήπου τοῦθ', ὅτι νυνὶ Θηβαῖοι, καὶ Φίλιππος, καὶ Θετταλοὶ, οὐχὶ τὰ αὐτὰ μάλιστα ἕκαστοι ἐσπουδακότες, τὰ αὐτὰ πάντες ἔπραξαν. Οἷον Θηβαῖοι, τὸ μὲν Φίλιππον παρελθεῖν, καὶ λαβεῖν τὰς παρόδους, οὐκ ἐδύναντο κωλῦσαι, οὐδέ γε τῶν αὐτοῖς πεπονημένων, ὕστατον ἐλθόντα τὴν δόξαν ἔχειν· νυνὶ γὰρ Θηβαίοις, πρὸς μὲν τὸ τὴν χώραν ἔχειν, καὶ κεκομίσθαι, κάλλιστα πέπρακται· πρὸς δὲ τιμὴν καὶ δόξαν, αἴσχιστα· εἰ γὰρ μὴ παρῆλθε Φίλιππος, οὐδὲν ἂν αὐτοῖς ἐδόκει εἶναι. Ταῦτα δ' οὐκ ἐβούλοντο· ἀλλὰ τὸν Ὀρχομενὸν, καὶ τὴν Κορώνειαν λαβεῖν ἐπιθυμεῖν, μὴ δύνασθαι δὲ, ταῦτα πάνθ' ὑπέμειναν· Φίλιππον τοίνυν τινὲς μὲν δήπου τολμῶσι λέγειν, ὡς οὐκ ἐβούλετο Θηβαίοις Ὀρχομενὸν, καὶ Κορώνειαν παραδοῦναι, ἀλλ' ἠναγκάσθη· ἐγὼ δὲ τούτοις μὲν ἐρρῶσθαι λέγω· ἐ-

κεῖνο δὲ οἶδα ὅτι οὐ μᾶλλόν γε ταῦτ' ἔμελλεν αὐτῷ, ἢ τὰς παρόδους λαβεῖν ἐβούλετο, καὶ τὴν δόξαν τοῦ πολέμου, τῷ δοκεῖν δι' αὐτὸν κρίσιν εἰληφέναι, καὶ τὰ Πύθια θεῖναι δι' ἑαυτοῦ· καὶ ταῦτ' ἦν ὧν μάλιστα ἐγλίχετο. Θετταλοὶ δέ γε οὐδέτερα ἐβούλοντο τούτων, οὔτε Θηβαίους, οὔτε τὸν Φίλιππον μέγαν γενέσθαι· πάντα γὰρ ταῦτα ἐφ' ἑαυτοὺς ἡγοῦντο εἶναι· τῆς Πυλαίας δὲ ἐπεθύμουν, καὶ τῶν ἐν Δελφοῖς πλεονεκτημάτων δυοῖν κύριοι γενέσθαι· τῷ δὲ τούτων γλίχεσθαι, τάδε συγκατέπραξαν. Τῶν τοίνυν ἰδίων ἕνεκα ἕκαστον εὑρήσετε εἰς τὰ πολλὰ προηγμένον, ὧν οὐδὲν ἐβούλετο πρᾶξαι. Τοῦτο μὲν τοίνυν ὅτι τοιοῦτόν ἐστι, φυλακτέον ἡμῖν· τὰ κελευόμενα οὖν ἡμᾶς ἄρα δεῖ ποιεῖν ταῦτα φοβουμένους; καὶ σὺ ταῦτα κελεύεις; πολλοῦ γε καὶ δέω· ἀλλ' ὡς οὔτε πράξομεν οὐδὲν ἀνάξιον ἡμῶν αὐτῶν, οὔτ' ἔσται πόλεμος, νοῦν τε δόξομεν πᾶσιν ἔχειν, καὶ τὰ δίκαια λέγειν, τοῦτ' οἴομαι δεῖξειν. Πρὸς δὲ τοὺς θρασέως ὁτιοῦν οἰομένους ὑπομένειν δεῖν, καὶ μὴ προορωμένους τὸν πόλεμον, ἐκεῖνα βούλομαι λογίσασθαι. Ἡμεῖς Θηβαίους ἐῶμεν ἔχειν Ὠρωπόν· καὶ εἴ τις ἔροιτο ἡμᾶς, κελεύσας εἰπεῖν τ' ἀληθῆ, διὰ τί; ἵνα μὴ πολεμῶμεν φαίημεν ἄν. Καὶ Φιλίππῳ νυνὶ κατὰ τὰς συνθήκας, Ἀμφιπόλεως παρακεχωρήκαμεν, καὶ Χαρδιανοὺς ἐῶμεν ἔξω Χερρονησιτῶν τῶν ἄλλων τετάχθαι, καὶ τὸν Κᾶρα τὰς νήσους καταλαμβάνειν, Χῖον, καὶ Κῶ, καὶ Ῥόδον, καὶ Βυζαντίους κατάγειν τὰ πλοῖα· δηλονότι, τὴν ἀπὸ τῆς εἰρήνης ἡσυχίαν πλειόνων ἀγαθῶν αἰτίαν εἶναι νομίζοντες, ἢ τὸ προσκρούειν, καὶ φιλονεικεῖν περὶ τούτων· οὐκοῦν εὔηθες, καὶ κομιδῇ σχέτλιον, πρὸς ἑκάστους καθ' ἕνα οὑτοσὶ ἤδη προσενηνεγμένους περὶ τῶν οἰκείων καὶ ἀναγκαιοτάτων, πρὶν ἅπαντας περὶ τῆς ἐν Δελφοῖς σκιᾶς νυνὶ πολεμῆσαι.

ΔΗΜΟ-

# ΔΗΜΟΣΘΕΝΟΥΣ Ο ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ ΛΟΓΟΣ.

Πρῶτον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ' ὅπερ ἐστὶ μάλισθ' ὑπὲρ ὑμῶν καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι, περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ· σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε, ἀλλὰ τοὺς νόμους καὶ τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροάσασθαι· τοῦτο δ' ἐστὶν, οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδὲν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει, καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται, καὶ προῄρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι. Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι κατὰ τουτονὶ τὸν ἀγῶνα Αἰσχίνου· δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα· ἓν μὲν, ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι· οὐ γάρ ἐστιν ἴσον νυνὶ ἐμοὶ τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν, καὶ τούτῳ μὴ ἑλεῖν τὴν γραφήν· ἀλλ' ἐμοὶ μὲν, οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδὲν ἀρχόμενος τοῦ λόγου· οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ· ἕτερον δ' ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν, καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὑτοὺς ἄχθεσθαι· τούτων τοίνυν, ὃ μέν ἐστι πρὸς ἡδονὴν, τούτῳ δέδοται· ὃ δὲ πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἐνοχλεῖ, λοιπὸν ἐμοί· κἂν μὲν εὐλαβούμενος τοῦτο μὴ λέγω τὰ πεπραγμένα ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύσασθαι τὰ κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ τιμᾶσθαι, δεικνύναι· ἂν δ' ἐφ' ἃ καὶ πεποίηκα, καὶ πεπολίτευμαι, βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ· πειράσομαι μὲν οὖν ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅ, τι δ' ἂν τὸ πρᾶγμα αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι δίκαιος ἔχειν, ὁ τοιοῦτον

ἀγῶνα ἐνεστησάμενος. Οἶμαι δ' ὑμᾶς, ὦ ἄνδρες δικασταὶ, πάντας ἂν ὁμολογῆσαι κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶνα, ἐμοί τε καὶ Κτησιφῶντι· καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί. πάντων μὲν γὰρ ἀποστερεῖσθαι, λυπηρόν ἐστι καὶ χαλεπόν· ἄλλως τε, κἂν ὑπ' ἐχθροῦ τῳ, τοῦτο συμβαίνῃ, μάλιστα δὲ τῆς παρ' ὑμῶν εὐνοίας καὶ φιλανθρωπίας, ὅσῳ περ καὶ τὸ τυχεῖν τούτων μέγιστόν ἐστι· περὶ τούτων δ' ὄντος τουτουῒ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν, ἀκοῦσαί μου περὶ τῶν κατηγορημένων ἀπολογουμένου δικαίως, ὥσπερ οἱ νόμοι κελεύουσιν, οὓς ὁ τιθεὶς ἐξ ἀρχῆς Σόλων, εὔνους ὢν ὑμῖν, καὶ δημοτικὸς, οὐ μόνον τῷ γράψαι κυρίους ᾤετο δεῖν εἶναι, ἀλλὰ καὶ τοὺς δικάζοντας ὑμᾶς ὀμωμοκέναι, οὐκ ἀπιστῶν ὑμῖν, ὥς γέ μοι φαίνεται, ἀλλ' ὁρῶν, ὅτι τὰς αἰτίας, καὶ τὰς διαβολὰς, αἷς ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν, εἰ μὴ τῶν δικαζόντων ἕκαστος ὑμῶν, τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν διαφυλάττων, καὶ τὰ τοῦ λέγοντος ὑστέρου δίκαια εὐνοϊκῶς προσδέξεται, καὶ παρασχὼν ἑαυτὸν ἴσον, καὶ κοινὸν ἀμφοτέροις ἀκροατὴν, οὕτω τὴν διάγνωσιν ποιήσεται περὶ πάντων. Μέλλων δὲ τοῦ τε ἰδίου βίου παντὸς, ὡς ἔοικε, λόγον διδόναι τήμερον, καὶ τῶν κοινῇ πεπολιτευμένων, βούλομαι, καθάπερ ἐν ἀρχῇ, πάλιν τοὺς θεοὺς παρακαλέσαι, καὶ ἐναντίον ὑμῶν εὔχομαι· πρῶτον μὲν, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ', ὅ, τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ, καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι τοὺς θεοὺς πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι. Εἰ μὲν οὖν περὶ ὧν ἐδίωκε, μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον τἆλλα διεξιὼν ἀνήλωκε, καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα, βραχέα, ὦ ἄνδρες Ἀθηναῖοι περὶ τούτων πρῶτον εἰπεῖν, ἵνα μηδεὶς ὑμῶν τοῖς ἔξωθεν λόγοις ἠγμένος, ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου. Περὶ μὲν δὴ τῶν ἰδίων ὅσα λοιδορούμενος βεβλασφήμηκε περὶ ἐμοῦ, θεάσασθε ὡς ἁπλᾶ, καὶ δίκαια λέγω· εἰ μὲν ἴστε με τοιοῦτον, οἷον οὗτος ᾐτιᾶτο (οὐ γὰρ ἄλλοθί που βεβίωκα, ἢ παρ' ὑμῖν) μηδὲ

φωνὴν

φωνὴν ἀνάσχησθε, μηδ' εἰ πάντα τὰ κοινὰ ὑπέρευ πε-
πολίτευμαι, ἀλλ' ἀναστάντες καταψηφίσασθε ἤδη· εἰ
δὲ πολλῷ βελτίω τούτου, καὶ ἐκ βελτιόνων, καὶ μηδενὸς τῶν
μετρίων, ἵνα μηδὲν ἐπαχθὲς λέγω, χείρονα καὶ ἐμὲ,
καὶ τοὺς ἐμοὺς ὑπειλήφατε, καὶ γιγνώσκετε· τούτῳ μὲν, μη-
δ' ὑπὲρ τῶν ἄλλων πιστεύετε (δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ'
ἐπλάττετο) ἐμοὶ δ' ἣν παρὰ πάντα τὸν χρόνον εὔνοιαν
ἐνδέδειχθε ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον γεγενημέ-
νων, καὶ νυνὶ παράσχεσθε. Κακοήθης δ' ὤν, Αἰσχίνη,
τοῦτο παντελῶς εὔηθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγ-
μένων καὶ πεπολιτευμένων λόγους ἀφέντα με, πρὸς τὰς
λοιδορίας τὰς παρὰ σοῦ τρέψεσθαι· οὐ δὴ ποιήσω τοῦτο,
οὐχ οὕτω τετύφωμαι· ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμέ-
νων, ἃ κατεψεύδου, καὶ διέβαλλες, αὐτίκα ἐξετάσω· τῆς
δὲ πομπείας ταύτης τῆς ἀνέδην οὑτωσὶ γεγενημένης, ὕ-
στερον, ἂν βουλομένοις ᾖ τούτοις ἀκούειν, μνησθήσομαι·
τὰ μὲν οὖν κατηγορημένα πολλὰ καὶ δεινὰ, καὶ περὶ ὧν
ἐνίων μεγάλας, καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμω-
ρίας· τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη
ἐχθροῦ μὲν ἐπήρειαν ἔχει, καὶ ὕβριν, καὶ λοιδορίαν, καὶ
προπηλακισμὸν ὁμοῦ, καὶ πάντα τὰ τοιαῦτα· τῶν μέν-
τοι κατηγοριῶν, καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ
ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν,
οὐδ' ἐγγύς· οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προσελθεῖν τῷ δή-
μῳ, καὶ λόγου τυχεῖν· οὐδ' ἐν ἐπηρείας τάξει καὶ φθόνου
τοῦτο ποιεῖν, οὔτε μὰ τοὺς θεοὺς ὀρθῶς ἔχον, οὔτε πο-
λιτικὸν, οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ'
οἷς ἀδικοῦντά με ἑώρα τὴν πόλιν, οὖσί γε τηλικούτοις,
ἡλίκα νυνὶ ἐτραγῴδει, καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων
τιμωρίαις παρ' αὐτὰ τὰ ἀδικήματα χρῆσθαι· εἰ μὲν
εἰσαγγελίας ἄξια πράττοντά με ἑώρα, εἰσαγγέλλοντα,
καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ' ὑμῖν·
εἰ δὲ γράφοντα παράνομα, παρανόμων γραφόμενον·
οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμὲ,
ἐμὲ δ' εἴπερ ἐξελέγχειν ἐνόμιζεν, αὐτὸν, οὐκ ἂν ἐγράψα-
το· καὶ μὴν, εἴ τι τῶν ἄλλων, ὧν νυνὶ διέβαλλε, καὶ
διεξῄει, ἢ καὶ ἀλλ' ὁτιοῦν ἀδικοῦντά με ὑμᾶς ἑώρα, εἰσὶ
νόμοι περὶ πάντων, καὶ τιμωρίαι, καὶ ἀγῶνες, καὶ κρί-
σεις, πικρὰ καὶ μεγάλα ἔχουσαι τὰ ἐπιτίμια, καὶ τού-
τοις ἐξῆν ἅπασι χρῆσθαι· Καὶ ὁπηνίκα ἐφαίνετο ταῦ-
τα πεποιηκὼς, καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς

πρὸς ἐμέ· ὡμολογεῖτο ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ· νῦν δ' ἐκστὰς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ, καὶ φυγὼν τοὺς παρ' αὐτὰ τὰ πράγματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις αἰτίας καὶ σκώμματα καὶ λοιδορίας συμφορήσας ὑποκρίνεται· εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί· καὶ τοῦ μὲν ἀγῶνος ὅλου, τὴν πρὸς ἐμέ πως ἔχθραν προΐσταται· οὐδαμοῦ δ' ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοί, τὴν ἑτέρου ζητῶν ἐπιτιμίαν ἀφελέσθαι, φαίνεται. Καίτοι πρὸς ἅπασιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἄλλοις δικαίοις, οἷς ἂν εἴποι τις ὑπὲρ Κτησιφῶντος ἔχοι, καὶ τοῦτ' ἔμοιγε δοκεῖ, καὶ μάλα εἰκότως ἂν λέγειν, ὅτι τὴν ἡμετέραν ἔχθραν ἡμᾶς ἐφ' ἡμῶν αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι· οὐ τὸ μὲν πρὸς ἀλλήλους ἀγωνίζεσθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ κακόν τι δώσομεν, ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε. Πάντα μὲν τοίνυν τὰ κατηγορημένα ὁμοίως ἐκ τούτων ἄν τις ἴδοι οὔτε δικαίως, οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρημένα· βούλομαι δὲ καὶ καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάσαι, καὶ μάλισθ' ὅσα ὑπὲρ τῆς εἰρήνης, καὶ τῆς πρεσβείας κατεψεύσατό μου, τὰ πεπραγμένα ἑαυτῷ μετὰ Φιλοκράτους ἀνατιθεὶς ἐμοί· ἔστι δ' ἀναγκαῖον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσῆκον ἴσως, ὡς κατ' ἐκείνους τοὺς χρόνους εἶχε τὰ πράγματα, ἀναμνῆσαι ὑμᾶς, ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε. Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου οὐ δι' ἐμέ (οὐ γὰρ δὴ ἔγωγε ἐπολιτευόμην πω τότε) πρῶτον μὲν ὑμεῖς οὕτω διέκεισθ', ὥστε Φωκέας μὲν βούλεσθαι σωθῆναι, καίπερ οὐ δίκαια ποιοῦντας ὁρῶντες, Θηβαίοις δ' ὁτιοῦν ἂν ἐφησθῆναι παθοῦσιν, οὐκ ἀλόγως, οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι. Οἷς γὰρ εὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ μετρίως ἐκέχρηντο· ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστήκει, καὶ οὔθ' οἱ μισοῦντες Λακεδαιμονίους οὕτως ἴσχυον, ὥστε ἀνελεῖν αὐτούς· οὔθ' οἱ πρότερον δι' ἐκείνων ἄρχοντες, κύριοι τῶν πόλεων ἦσαν, ἀλλά τις ἦν ἄκριτος καὶ παρὰ τούτοις καὶ τοῖς ἄλλοις ἅπασιν ἔρις καὶ ταραχή. Ταῦτα δ' ὁρῶν ὁ Φίλιππος, οὐ γὰρ ἦν ἀφανῆ, τοῖς παρ' ἑκάστοις προδόταις χρήματα ἀναλίσκων, πάντας συνέκρουε, καὶ πρὸς ἑαυτοὺς ἐτάραττεν· εἶτ' ἐν οἷς ἡμάρτανον οἱ ἄλλοι καὶ κακῶς ἐφρόνουν, αὐτὸς παρεσκευάζετο, καὶ κατὰ πάντων ἐφύετο· ὡς δὲ ταλαιπωρούμενοι τῷ μήκει τοῦ πολέμου οἱ τότε μὲν βαρεῖς, νῦν δ' ἀτυχεῖς Θηβαῖοι, φα-

νεροὶ πᾶσιν ἦσαν ἀναγκασθησόμενοι καταφεύγειν ἐφ' ὑμᾶς· ὁ Φίλιππος, ἵνα μὴ τοῦτο γένοιτο, μηδὲ συνέλθοιεν αἱ πόλεις, ὑμῖν μὲν εἰρήνην, ἐκείνοις δὲ βοήθειαν ἐπηγγέλλετο. Τί οὖν συνηγωνίσατο αὐτῷ πρὸς τὸ λαβεῖν ὀλίγου δεῖν ὑμᾶς ἑκόντας ἐξαπατωμένους; ἡ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ κακίαν, εἴτε ἄγνοιαν, εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν· οἵ, πόλεμον συνεχῆ καὶ μακρὸν πολεμούντων ὑμῶν, καὶ τοῦτον ὑπὲρ τῶν κοινῇ πᾶσι συμφερόντων, ὡς ἔργῳ φανερὸν γέγονεν, οὔτε χρήμασιν, οὔτε σώμασιν, οὐδὲ ἄλλῳ οὐδενὶ τῶν πάντων συνελάμβανον ὑμῖν· οἷς καὶ δικαίως καὶ προσηκόντως ὀργιζόμενοι, ἑτοίμως ὑπηκούσατε τῷ Φιλίππῳ· ἡ μὲν οὖν τότε συγχωρηθεῖσα εἰρήνη διὰ ταῦτα, οὐ δι' ἐμέ, ὡς οὗτος διέβαλλεν, ἐπράχθη· τὰ δὲ τούτων ἀδικήματα καὶ δωροδοκήματα ἐν αὐτῇ, τῶν νυνὶ παρόντων πραγμάτων, ἄν τις ἐξετάζῃ δικαίως, αἴτια εὑρήσει· καὶ ταυτὶ πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ διεξέρχομαι· εἰ γὰρ εἶναί τι δοκοίη τὰ μάλιστα ἐν τούτοις ἀδίκημα, οὐδέν ἐστι δήπου πρὸς ἐμέ· ἀλλ' ὁ μὲν πρῶτος εἰπὼν καὶ μνησθεὶς ὑπὲρ τῆς εἰρήνης, Ἀριστόδημος ἦν ὁ ὑποκριτής· ὁ δ' ἐκδεξάμενος καὶ γράψας καὶ ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα, Φιλοκράτης ὁ Ἀγνούσιος, ὁ σός, Αἰσχίνη, κοινωνός, οὐκ ἐμός, οὐδ' ἂν σὺ διαρραγῇς ψευδόμενος· οἱ δὲ συνειπόντες, ὅτου δήποτε ἕνεκα, ἐῶ γὰρ τοῦτό γε ἐν τῷ παρόντι, Εὔβουλος, καὶ Κηφισοφῶν· ἐγὼ δ' οὐδὲν οὐδαμοῦ. Ἀλλ' ὅμως τούτων τοιούτων ὄντων, καὶ ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω δεικνυμένων, εἰς τοῦθ' ἥκει ἀναιδείας, ὥστε τολμᾷ λέγειν, ὡς ἄρα ἐγὼ πρὸς τῷ τῆς εἰρήνης αἴτιος γεγενῆσθαι, ἔτι καὶ κεκωλυκὼς εἴην τὴν πόλιν μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων αὐτὴν ποιήσασθαι· εἶτ' ὦ, τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι, ἔστιν ὅπου σὺ παρών, τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην νυνὶ ἐτραγῴδεις, καὶ διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως ἠγανάκτησας, ἢ παρελθὼν ταῦτα ἃ νυνὶ κατηγορεῖς, ἐδίδαξας, ἢ διεξῆλθες; καὶ μήν, εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράκειν ἐγὼ Φιλίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾶν καὶ διαμαρτύρεσθαι καὶ δηλοῦν τουτοισί· οὐ τοίνυν ἐποίησας οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην τὴν φωνὴν οὐδείς, εἰκότως· οὔτε γὰρ ἦν πρεσβεία πρὸς οὐδένα ἀπεσταλμένη τότε

τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες ἦσαν ἐξεληλεγμένοι, οὔθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν· χωρὶς δὲ τούτων, καὶ διαβάλλει τὴν πόλιν τὰ μέγιστα ἐν οἷς ψεύδεται. Εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν ἄλλους Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ πόλεως ἔργον, οὐδὲ χρηστῶν ἀνθρώπων διεπράττεσθε· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν· ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε· οὐκοῦν οὔτε τῆς ἐξ ἀρχῆς εἰρήνης ἡγεμών, οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι, οὔτε τῶν ἄλλων οὐδέν, ὧν κατεψεύσατό μου, οὐδὲν ἀληθὲς ὂν δείκνυται· Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα πάλιν σκέψασθε, τί ἡμῶν ἑκάτερος προείλετο πράττειν· καὶ γὰρ ἐκ τούτου εἴσεσθε, τίς ἦν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν, καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν. Ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δέ, οὐδὲ γράψαντος ἐμοῦ, ταῦτα ποιεῖν ἠθέλησαν· τί δὲ τοῦτ' ἠδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι, ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμφέρον, ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ' ὡς ἐλάχιστον· διὰ τί; ὅτι ὑμεῖς μὲν, οὐκ ἀφ' ἧς ὠμόσατε μόνον ἡμέρας, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τὴν εἰρήνην ἔσεσθαι, πάσας ἐξελύσατε τὰς παρασκευὰς τὰς τοῦ πολέμου· ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου μάλιστα ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως προλάβοι πρὸ τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων ἕνεκα· Ἃ ἐγὼ προορώμενος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ λογιζόμενος, τὸ ψήφισμα τοῦτο γράφω, πλεῖν ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ᾖ Φίλιππος, καὶ τοὺς ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν, ἵν' ἐχόντων τῶν Θρᾳκῶν τῶν ὑμετέρων συμμάχων τὰ χωρία ταῦθ' ἃ νῦν οὗτος διέσυρε, τὸ Σέρριον, καὶ τὸ Μύρτιον, καὶ τὴν Ἐργίσκην, οὕτω γίγνοινθ' οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαίρους τῶν τόπων, κύριος τῆς Θρᾴκης κατασταίη· μηδὲ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ

στρα-

ἐρημοτέρων ἀπορήσας, ἐκ τούτων ῥᾳδίως τοῖς λοιποῖς ἐπιχειροίη πράγμασιν· εἶτα τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα, οὐδ' ἀναγινώσκει· εἰ δὲ βουλεύων ἐγὼ προσάγειν τοὺς πρέσβεις ᾤμην δεῖν, τοῦτό μου διαβάλλει· ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ προσάγειν γράψαι τοὺς ἐπὶ τοῦθ' ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν; ἢ θέαν μὴ κατανεῖμαι τὸν ἀρχιτέκτονα αὐτοῖς κελεῦσαι; ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν, εἰ μὴ τοῦτ' ἐγράφη· ἢ τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν, τὰ δ' ὅλα, ὥσπερ οὗτοι, πεπρακέναι Φιλίππῳ; οὐδήπου· λέγε τοίνυν μοι τὸ ψήφισμα τουτὶ λαβών, ὃ σαφῶς οὗτος εἰδὼς, παρέβη. λέγε.

Ψήφισμα. Ἐπὶ ἄρχοντος Μνησιφίλου Ἑκατομβαιῶνος ἕνῃ καὶ νέᾳ, φυλῆς πρυτανευούσης Πανδιονίδος Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν, ἐπειδὴ Φίλιππος ἀποστείλας πρέσβεις περὶ τῆς εἰρήνης πρὸς Ἀθηναίους ὁμολογουμένας πεποίηται συνθήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ ἡ ἐπιχειροτονηθεῖσα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, πρέσβεις ἑλέσθαι ἐκ πάντων Ἀθηναίων ἤδη πέντε· τοὺς δὲ χειροτονηθέντας ἀποδημεῖν μηδεμίαν ἀναβολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυνθάνωνται τὸν Φίλιππον, καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦναι τὴν ταχίστην, ἐπὶ ταῖς ὡμολογημέναις συνθήκαις αὐτῷ πρὸς τὸν Ἀθηναίων δῆμον συμπεριλαμβάνοντας καὶ τοὺς ἑκατέρων συμμάχους. Πρέσβεις ᾑρέθησαν, Εὔβουλος Ἀναφλύστιος, Αἰσχίνης Κοθωκίδης, Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεὺς, Κλέων Κοθωκίδης. Ταῦτα γράψαντος ἐμοῦ τότε, καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ Φιλίππῳ ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι καθῆντο ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης, πάντα καταστρεψάμενος τἀκεῖ· ἐξὸν ἡμερῶν δέκα, μᾶλλον δὲ τριῶν ἢ τεττάρων εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι, καὶ τὰ χωρία σῶσαι λαβόντας τοὺς ὅρκους, πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά· οὐ γὰρ ἂν ἥψατ' αὐτῶν παρόντων ἡμῶν, ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν· ὥστε τῆς εἰρήνης ἂν διημαρτήκει, καὶ οὐκ ἂν ἀμφότερα εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ χωρία. Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον, κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδί-

ἀδίκων τούτων ἀνθρώπων καὶ θεοῖς ἐχθρῶν τοιοῦτον ἐγένετο· ὑπὲρ οὗ, καὶ τότε, καὶ νῦν, καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν καὶ διαφέρεσθαι τούτοις. Ἕτερον δ᾽ εὐθὺς ἐφεξῆς ἔτι τούτου μεῖζον κακούργημα θεάσασθε. Ἐπειδὴ γὰρ ὡμολόγησε τὴν εἰρήνην ὁ Φίλιππος ἕξειν, προλαβὼν τὴν Θρᾴκην διὰ τούτους οὐχὶ πεισθέντας τῷ ἐμῷ ψηφίσματι, πάλιν ὠνεῖται παρ᾽ αὐτῶν, ὅπως μὴ ἀπίωσιν ἐκ Μακεδονίας, ἕως ἂν τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ ποιήσαιτο· ἵνα μὴ δεῦρο ἀπαγγειλάντων αὐτῶν, ὅτι μέλλει καὶ παρασκευάζεται πορεύεσθαι, ἐξέλθοιτε ὑμεῖς, καὶ περιπλεύσαντες ταῖς τριήρεσιν εἰς Πύλας, ὥσπερ πρότερον, κλείσοιτε τὸν πορθμόν· ἀλλ᾽ ἅμ᾽ ἀκούοιτε ταῦτα ἀπαγγελλόντων ὑμῖν τούτων, κἀκεῖνος ἐντὸς εἴη Πυλῶν, καὶ μηδὲν ἔχοιθ᾽ ὑμεῖς ποιῆσαι. Οὕτω δ᾽ ἦν ὁ Φίλιππος ἐν φόβῳ, καὶ πολλῇ ἀγωνίᾳ, μὴ καὶ ταῦτα προειληφότος αὐτοῦ πρὸ τοῦ τοὺς Φωκέας ἀπολέσθαι ἀκούσαντες ψηφίσαισθε βοηθεῖν αὐτοῖς, καὶ ἐκφύγοι τὰ πράγματα αὐτόν, ὥστε πάλιν μισθοῦται τὸν κατάπτυστον τουτονί, οὐκ ἔτι κοινῇ μετὰ τῶν ἄλλων πρέσβεων, ἀλλὰ ἰδίᾳ καθ᾽ αὑτόν, τοιαῦτα πρὸς ὑμᾶς εἰπεῖν καὶ ἀπαγγεῖλαι, δι᾽ ὧν ἅπαντ᾽ ἀπώλετο. Ἀξιῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δέομαι, τοῦτο μεμνῆσθαι ὑμᾶς παρ᾽ ὅλον τὸν ἀγῶνα, ὅτι μὴ κατηγορήσαντος Αἰσχίνου μηδὲν ἔξω τῆς γραφῆς, οὐδ᾽ ἂν ἐγὼ λόγον οὐδένα ἐποιούμην ἕτερον· ἁπάσαις δ᾽ αἰτίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου ἀνάγκη κἀμοὶ πρὸς ἕκαστα τῶν κατηγορουμένων μικρὰ ἀποκρίνασθαι· τίνες οὖν ἦσαν οἱ παρὰ τούτου λόγοι τότε ῥηθέντες, καὶ δι᾽ οὓς ἅπαντ᾽ ἀπώλετο; ὡς οὐ δεῖ θορυβεῖσθαι τῷ παρεληλυθέναι Φίλιππον εἴσω Πυλῶν· ἔσται γὰρ ἅπανθ᾽ ὅσα βούλεσθ᾽ ὑμεῖς, ἐὰν ἔχητ᾽ ἡσυχίαν, καὶ ἀκούσεσθε δυοῖν ἢ τριῶν ἡμερῶν, οἷς μὲν ἐχθρὸς ἥκει, φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φίλος, τοὐναντίον αὐτὸν ἐχθρόν· οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, μάλα σεμνῶς ὀνομάζων, ἀλλὰ τό, ταὐτὰ συμφέρειν· συμφέρει δὲ Φιλίππῳ καὶ Φωκεῦσι καὶ ὑμῖν ὁμοίως ἅπασι, τῆς ἀναλγησίας, καὶ τῆς βαρύτητος ἀπαλλαγῆναι τῆς τῶν Θηβαίων. Ταῦτα δ᾽ ἀσμένως τινὲς ἤκουον αὐτοῦ, διὰ τὴν τόθ᾽ ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους· τί οὖν συνέβη μετὰ ταῦτα εὐθύς; οὐκ εἰς μακρὰν τοὺς μὲν ταλαιπώρους Φωκέας ἀπολέσθαι, καὶ κατασκαφῆναι τὰς πό-

πό-

πόλεις αὐτῶν· ὑμᾶς δ' ἡσυχίαν ἄγοντας, καὶ τούτῳ πεισθέντας μικρὸν ὕστερον σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, τούτους δὲ χρυσίον λαβεῖν· καὶ ἔτι πρὸς τούτοις, τὴν μὲν ἀπέχθειαν τὴν πρὸς Θηβαίους καὶ Θετταλοὺς τῇ πόλει γενέσθαι, τὴν δὲ χάριν τὴν ὑπὲρ τῶν πεπραγμένων, Φιλίππῳ. Ὅτι δ' οὕτω ταῦτ' ἔχει, λέγε μοι τό, τε τοῦ Καλλισθένους ψήφισμα, καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, ἐξ ὧν ἀμφοτέρων, ὑμῖν ἅπαντα ταῦτ' ἔσται φανερά· λέγε.

ΨΗΦΙΣΜΑ. Ἐπὶ Μνησιφίλου ἄρχοντος συγκλήτου ἐκκλησίας ὑπὸ στρατηγῶν γενομένης, καὶ πρυτάνεων καὶ βουλῆς γνώμῃ, Μαιμακτηριῶνος δεκάτῃ ἀπιόντος Καλλισθένης Ἐτεονίκου Φαληρεὺς εἶπε, μηδένα Ἀθηναίων μηδεμιᾷ παρευρέσει ἐν τῇ χώρᾳ κοιταῖον γίγνεσθαι, ἀλλ' ἐν ἄστει καὶ Πειραιεῖ, ὅσοι μὴ ἐν τοῖς φρουρίοις εἰσὶν ἀποτεταγμένοι· τούτων δ' ἑκάστους, ἣν παρέλαβον τάξιν, διατηρεῖν, μήτε ἀφημερεύοντας, μήτε ἀποκοιτοῦντας· ὃς δ' ἂν ἀπειθήσῃ τῷ ψηφίσματι τούτῳ, ἔνοχος ἔστω τοῖς τῆς προδοσίας ἐπιτιμίοις, ἐὰν μή τι ἀδύνατον ἐπιδεικνύῃ περὶ ἑαυτὸν ὄν. Περὶ δὲ τῶν ἀδυνάτων, ἐπικρινέτω ὁ ἐπὶ τῶν ὅπλων στρατηγὸς, καὶ ὁ ἐπὶ τῆς διοικήσεως, καὶ ὁ γραμματεὺς τῆς βουλῆς· κατακομίζειν δὲ καὶ τὰ ἐκ τῶν ἀγρῶν πάντα τὴν ταχίστην, τὰ μὲν ἐντὸς σταδίων ἑκατὸν εἴκοσιν, εἰς ἄστυ καὶ Πειραιᾶ, τὰ δὲ ἐκτὸς σταδίων ἑκατὸν εἴκοσιν, εἰς Ἐλευσῖνα, καὶ Φυλὴν, καὶ Ἄφιδνα, καὶ Ῥαμνοῦντα, καὶ Σούνιον· εἶπε Καλλισθένης Φαληρεύς. Ἆρ' ἐπὶ ταύταις ταῖς ἐλπίσιν ἐποιεῖσθε τὴν εἰρήνην, ἢ ταῦτ' ἐπηγγέλλεθ' ὑμῖν οὗτος ὁ μισθωτός; λέγε δ' αὖ τὴν ἐπιστολὴν, ἣν δεῦρ' ἔπεμψε Φίλιππος μετὰ ταῦτα.

## ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Ἴστε ἡμᾶς παρεληλυθότας εἴσω Πυλῶν, καὶ τὰ μετὰ τὴν Φωκίδα ὑφ' ἑαυτοὺς πεποιημένους, καὶ ὅσα μὲν ἑκουσίως προσετίθετο τῶν πολισμάτων, φρουρὰς εἰσαγηοχότας εἰς αὐτά· τὰ δὲ μὴ ὑπακούοντα, κατὰ κράτος λαβόντες καὶ ἐξανδραποδισάμενοι, κατεσκάψαμεν· ἀ-

κέων δὲ καὶ ὑμᾶς παρασκευάζεσθαι βοηθεῖν αὐτοῖς· γέγραφα ὑμῖν, ἵνα μὴ πλεῖον ἐνοχλῆσθε περὶ τούτων· τοῖς μὲν γὰρ ὅλοις οὐδὲν μέτριόν μοι δοκεῖτε ποιεῖν τὴν εἰρήνην συνθέμενοι, καὶ ὁμοίως ἀντιπαρεξάγοντες, καὶ ταῦτα οὐδὲ συμπεριειλημμένων τῶν Φωκέων ἐν ταῖς κοιναῖς ἡμῶν συνθήκαις· ὥστε ἐὰν μὴ ἐμμένητε τοῖς ὡμολογημένοις, οὐδὲν προτερήσετε ἔξω τοῦ ἐφθακέναι ἀδικοῦντες.

Ἀκούετε, ὡς σαφῶς δηλοῖ καὶ διορίζεται ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ πρὸς τοὺς ἑαυτοῦ συμμάχους, ὅτι ταῦτα ἐγὼ πεποίηκα ἀκόντων Ἀθηναίων, καὶ λυπουμένων, ὥστ' εἴπερ εὖ φρονεῖτε ὦ Θηβαῖοι, καὶ Θετταλοί, τούτους μὲν ἐχθροὺς ὑπολήψεσθε, ἐμοὶ δὲ πιστεύσετε· οὐ τούτοις τοῖς ῥήμασι γράψας, ταῦτα δὲ βουλόμενος δεικνύναι· τοιγαροῦν ἐκ τούτων ᾤχετ' ἐκείνους λαβὼν, εἰς τὸ μηδοτιοῦν προορᾶν τῶν μετὰ ταῦτα, μὴ δ' αἰσθάνεσθαι, ἀλλ' ἐᾶσαι πάντα τὰ πράγματα ἐκεῖνον ὑφ' ἑαυτῷ ποιήσασθαι· ἐξ ὧν ταῖς παρούσαις συμφοραῖς οἱ ταλαίπωροι Θηβαῖοι κέχρηνται· ὁ δὲ ταύτης τῆς πίστεως αὐτῷ συνεργὸς καὶ συναγωνιστὴς, καὶ ὁ δεῦρ' ἀπαγγείλας τὰ ψευδῆ καὶ φενακίσας ὑμᾶς, οὗτός ἐστιν ὁ τὰ Θηβαίων ὀδυρόμενος νῦν πάθη, καὶ διεξιὼν ὡς οἰκτρὰ, καὶ τούτων, καὶ τῶν ἐν Φωκεῦσι κακῶν, καὶ ὅσ' ἄλλα πεπόνθασιν οἱ Ἕλληνες, ἁπάντων αὐτὸς ὢν αἴτιος· δῆλον γὰρ, ὅτι σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς συμβεβηκόσι, Αἰσχίνη, καὶ τοὺς Θηβαίους ἐλεεῖς, κτήματα ἔχων ἐν τῇ Βοιωτίᾳ, καὶ γεωργῶν τὰ ἐκείνων· ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξῃτούμην ὑπὸ τοῦ ταῦτα πράξαντος· ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους, οὓς αὐτίκα μᾶλλον ἁρμόσει λέγειν ἴσως. ἐπάνειμι δὴ πάλιν ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ τούτων δωροδοκήματα, καὶ ἀδικήματα τῶν νυνὶ παρόντων πραγμάτων γέγονεν αἴτια. Ἐπειδὴ γὰρ ἐξηπάτησθε μὲν ὑμεῖς ὑπὸ τοῦ Φιλίππου διὰ τούτων τῶν ἐν ταῖς πρεσβείαις μισθωσάντων ἑαυτοὺς τῷ Φιλίππῳ, καὶ οὐδὲν ἀληθὲς ὑμῖν ἀπαγγειλάντων, ἐξηπάτηντο δὲ οἱ ταλαίπωροι Φωκεῖς, καὶ ἀνῄρηντο αἱ πόλεις αὐτῶν, τί ἐγένετο; οἱ μὲν κατάπτυστοι Θετταλοὶ, καὶ ἀναίσθητοι Θηβαῖοι, φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο· πάντ' ἐκεῖνος ἦν αὐτοῖς, καὶ οὐδὲ φωνὴν ἤκουον, εἴ τις ἄλλο τι βούλοιτο λέγειν· ὑμεῖς δὲ ὑφορώμενοι τὰ πεπραγμένα καὶ δυσχεραίνοντες ἤγετε τὴν εἰρήνην ὅ-

μᾶς· οὐ γὰρ ἦν ὅ,τι ἂν ἐποιεῖτε μόνοι· καὶ οἱ ἄλλοι δὲ Ἕλληνες, ὁμοίως ὑμῖν πεφενακισμένοι, καὶ διημαρτηκότες ὧν ἤλπισαν, ἦγον τὴν εἰρήνην ἄσμενοι, καὶ αὐτοὶ τρόπον τινὰ ἐκ πολλοῦ πολεμούμενοι. Ὅτε γὰρ περιϊὼν ὁ Φίλιππος Ἰλλυριοὺς, καὶ Τριβαλλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς, καὶ μεγάλας ἐποιεῖτο ὑφ' ἑαυτῷ, καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν· τότε πάντες, ἐφ' οὓς ταῦτα παρεσκευάζετο ἐκεῖνος, ἐπολεμοῦντο· εἰ δὲ μὴ ᾐσθάνοντο, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ. Ἐγὼ μὲν γὰρ προὔλεγον, καὶ διεμαρτυρόμην, καὶ παρ' ὑμῖν ἀεὶ, καὶ ὅποι πεμφθείην· αἱ δὲ πόλεις ἐνόσουν, τῶν μὲν, ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων, καὶ διαφθειρομένων ἐπὶ χρήμασι, τῶν δὲ ἰδιωτῶν καὶ πολλῶν, τὰ μὲν, οὐ προορωμένων, τὰ δὲ, τῇ καθ' ἡμέραν ῥᾳστώνῃ καὶ σχολῇ δελεαζομένων· καὶ τοιοῦτόν τι πάθος πεπονθότων ἁπάντων· πλὴν οὐκ ἐφ' ἑαυτοὺς οἰομένων ἕκαστον τὸ δεινὸν ἥξειν, ἀλλὰ διὰ τῶν ἑτέρων κινδύνων τὰ ἑαυτῶν ἀσφαλῶς σχήσειν ὑπολαμβανόντων, ὅταν βούλωνται. Εἶτ' οἶμαι συμβέβηκε τοῖς μὲν πλήθεσιν ἀντὶ τῆς πολλῆς καὶ ἀκαίρου ῥᾳθυμίας τὴν ἐλευθερίαν ἀπολωλεκέναι, τοῖς δὲ προεστηκόσι καὶ τἄλλα πλὴν ἑαυτοὺς, οἰομένοις πωλεῖν, πρώτους ἑαυτοὺς πεπρακόσιν ᾐσθῆσθαι· ἀντὶ γὰρ φίλων καὶ ξένων, ἃ τότε ὠνομάζοντο ἡνίκα ἐδωροδόκουν, νῦν κόλακες, καὶ θεοῖς ἐχθροὶ, καὶ τἄλλα, ἃ προσήκει, πάντα ἀκούουσιν· οὐδεὶς γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τοῦ προδιδόντος συμφέρον ζητῶν χρήματα ἀναλίσκει· οὐδ' ἐπειδὰν, ὧν ἂν πρίηται, κύριος γένηται, τῷ προδότῃ συμβούλῳ περὶ τῶν λοιπῶν ἔτι χρῆται· οὐδὲν γὰρ ἦν ἂν εὐδαιμονέστερον προδότου· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· πόθεν; πολλοῦ γε καὶ δεῖ. ἀλλ' ἐπειδὰν τῶν πραγμάτων ἐγκρατὴς ὁ ζητῶν ἄρχειν καταστῇ, καὶ τῶν ταῦτα ἀποδομένων δεσπότης ἐστὶ, τὴν δὲ πονηρίαν εἰδὼς, τότε δὴ τότε καὶ μισεῖ καὶ ἀπιστεῖ, καὶ προπηλακίζει· σκοπεῖτε δέ. καὶ γὰρ, εἰ παρελήλυθεν ὁ τῶν πραγμάτων καιρὸς, ὅ τε γε εἰδέναι τὰ τοιαῦτα καιρὸς ἀεὶ πάρεστι τοῖς εὖ φρονοῦσι. Μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον· μέχρι τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας· μέχρι τούτου Εὔδικος,

δικος, καὶ Σῖμος οἱ Λαρισαῖοι, ἕως Θετταλίαν ὑπὸ φιλίππῳ ἐποίησαν· ἀλλ' ἐλαυνομένων, καὶ ὑβριζομένων, καὶ τί κακὸν οὐχὶ πασχόντων, πᾶσα οἰκουμένη μεστὴ γέγονε προδοτῶν· τί δ' Ἀρίστρατος ἐν Σικυῶνι; καὶ τί Περίλαος ἐν Μεγάροις; οὐκ ἀπερριμμένοι; ἐξ ὧν καὶ σαφέστατ' ἄν τις ἴδοι, ὅτι, ὁ μάλιστα φυλάττων τὴν ἑαυτοῦ πατρίδα, καὶ πλεῖστα ἀντιλέγων τούτοις, οὗτος ὑμῖν, Αἰσχίνη, τοῖς προδιδοῦσι, καὶ μισθαρνοῦσι, τὸ ἔχειν ἐφ' ὅτῳ δωροδοκήσετε, περιποιεῖ. καὶ διὰ τοὺς πολλοὺς τούτων, καὶ τοὺς ἀνθισταμένους τοῖς ὑμετέροις βουλήμασιν, ὑμεῖς ἐστὲ σῷοι, καὶ ἔμμισθοι· ἐπεὶ διά γε ὑμᾶς αὐτοὺς, πάλαι ἂν ἀπωλώλατε. Καὶ περὶ μὲν τῶν τότε πραχθέντων ἔχων ἔτι πολλὰ λέγειν, καὶ ταῦτα ἡγοῦμαι πλείω τῶν ἱκανῶν εἰρῆσθαι· αἴτιος δὲ οὗτος ὥσπερ ἑωλοκρασίαν τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ, καὶ τῶν ἀδικημάτων κατασκεδάσας, ἣν ἀναγκαῖον ἦν πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων ἀπολύσασθαι. Παρηνώχλησθε δὲ καὶ ὑμεῖς ἴσως, οἱ καὶ πρὶν ἐμὲ ὁτιοῦν εἰπεῖν, εἰδότες τὴν τούτου τότε μισθαρνίαν· καίτοι, φιλίαν τε, καὶ ξενίαν αὐτὴν ὀνομάζει· καὶ νῦν εἶπέ που λέγων, ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμοί. Ἐγώ σοι ξενίαν Ἀλεξάνδρου; πόθεν λαβόντι, ἢ πῶς ἀξιωθέντι; οὔτε φιλίππου ξένον, οὔτ' Ἀλεξάνδρου φίλον εἴποιμ' ἂν ἐγώ σε· οὐχ οὕτω μαίνομαι, εἰ μὴ καὶ τοὺς θεριστὰς, καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας, φίλους καὶ ξένους δεῖ καλεῖν τῶν μισθωσαμένων· ἀλλ' οὐκ ἔστι ταῦτα· πόθεν; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ μισθωτὸν ἐγώ σε φιλίππου πρότερον, καὶ νῦν Ἀλεξάνδρου καλῶ, καὶ οὗτοι πάντες· εἰ δ' ἀπιστεῖς, ἐρώτησον αὐτούς· μᾶλλον δ' ἐγὼ τοῦθ' ὑπὲρ σοῦ ποιήσω· πότερον ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, μισθωτὸς Αἰσχίνης, ἢ ξένος εἶναι Ἀλεξάνδρου δοκεῖ; ἀκούεις ἃ λέγουσι; βούλομαι τοίνυν ἤδη, καὶ περὶ τῆς γραφῆς αὐτῆς ἀπολογήσασθαι, καὶ διεξελθεῖν τὰ πεπραγμένα ἐμαυτῷ, ἵνα καίπερ εἰδὼς Αἰσχίνης, ὅμως ἀκούσῃ δι' ἅ φημι· καὶ τούτων τῶν προβεβουλευμένων, καὶ πολλῷ μειζόνων ἔτι τούτων δωρεῶν δίκαιος εἶναι τυγχάνειν· καί μοι λέγε τὴν γραφὴν αὐτὴν λαβών.

Γραφή. Ἐπὶ Χαιρώνδου ἄρχοντος Ἐλαφηβολιῶνος ἕκτῃ ἱσταμένου, Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης ἀπήνεγκε πρὸς τὸν ἄρχοντα παρανόμων γραφὴν κατὰ Κτη-

Κτησιφῶντος τοῦ Λεωσθένους Ἀναφλυστίου ὅτι ἔγραψε παράνομον ψήφισμα, ὡς ἄρα δεῖ στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι ἐν τῷ θεάτρῳ Διονυσίοις τοῖς μεγάλοις, τραγῳδοῖς καινοῖς, ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ ἀρετῆς ἕνεκα, καὶ εὐνοίας, ἧς ἔχων διατελεῖ εἴς τε τοὺς Ἕλληνας ἅπαντας καὶ τὸν δῆμον τῶν Ἀθηναίων, καὶ ἀνδραγαθίας· καὶ διότι διατελεῖ πράττων, καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ, καὶ πρόθυμός ἐστι ποιεῖν, ὅ, τι ἂν δύνηται ἀγαθόν· πάντα ταῦτα ψευδῆ γράψας καὶ παράνομα, τῶν νόμων οὐκ ἐώντων· πρῶτον μὲν ψευδεῖς γραφὰς εἰς τὰ δημόσια γράμματα καταβάλλεσθαι, εἶτα τὸν ὑπεύθυνον στεφανοῦν· ἔστι δὲ Δημοσθένης τειχοποιός, καὶ ἐπὶ τῷ θεωρικῷ τεταγμένος. Ἔτι δὲ μὴ ἀναγορεύειν τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις δεῖ τραγῳδῶν τῇ καινῇ· ἀλλ' ἐὰν μὲν ἡ βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν· ἐὰν δὲ ἡ πόλις ἐν Πυκνὶ ἐν τῇ ἐκκλησίᾳ· τίμημα, τάλαντα πεντήκοντα· κλήτορες, Κηφισοφῶν Κηφισοφῶντος Ῥαμνούσιος, Κλέων Κλέωνος Κοθωκίδης. Ἃ μὲν διώκει τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' ἐστίν· ἐγὼ δ' ἀπ' αὐτῶν τούτων οἶμαι δῆλον ὑμῖν ποιήσειν, ὅτι πάντα δικαίως ἀπολογήσομαι· τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν περὶ πάντων ἐρῶ καθ' ἕκαστον ἐφεξῆς, καὶ οὐδὲν ἑκὼν παραλείψω· τοῦ μὲν οὖν γράψαι πράττοντά με, καὶ λέγοντα τὰ βέλτιστα τῷ δήμῳ διατελεῖν, καὶ πρόθυμον εἶναι ποιεῖν ὅ, τι ἂν δύνωμαι ἀγαθόν, καὶ ἐπαινεῖν ἐπὶ τούτοις, ἐν τοῖς πεπολιτευμένοις τὴν κρίσιν εἶναι νομίζω· ἀπὸ γὰρ τούτων ἐξεταζομένων εὑρεθήσεται, εἴτε ἀληθῆ περὶ ἐμοῦ γέγραφε Κτησιφῶν ταῦτα καὶ προσήκοντα, εἴτε καὶ ψευδῆ· τὸ δὲ μὴ προσγράψαντα, ἐπειδὰν τὰς εὐθύνας δῷ, στεφανοῦν, καὶ ἀνειπεῖν ἐν τῷ θεάτρῳ κελεῦσαι τὸν στέφανον· κοινωνεῖν μὲν ἡγοῦμαι καὶ τοῦτο τοῖς πεπολιτευμένοις, εἴτε ἄξιός εἰμι τοῦ στεφάνου, καὶ τῆς ἀναῤῥήσεως τῆς ἐν τούτοις, εἴτε καὶ μή· ἔτι μέντοι καὶ τοὺς νόμους δεικτέον εἶναί μοι δοκεῖ, καθ' οὓς ταῦτα γράφειν ἐξῆν τούτῳ· οὑτωσὶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως, καὶ ἁπλῶς τὴν ἀπολογίαν ἔγνωκα ποιεῖσθαι· βαδιοῦμαι δ' ἐπ' αὐτά, ἃ πέπρακταί μοι, καί με μηδεὶς ὑπολάβῃ ἀπαρτᾶν τὸν λόγον τῆς γρα-

φῆς,

φῆς, ἐὰν εἰς ἑλληνικὰς πράξεις, καὶ λόγους ἐμπέσω· ὁ γὰρ διώκων τοῦ ψηφίσματος, τὸ λέγειν, καὶ πράττειν τὰ ἄριστά με, καὶ γεγραμμένος ταῦτα ὡς οὐκ ἀληθῆ, οὗτός ἐστιν ὁ τοὺς περὶ ἁπάντων τῶν ἐμοὶ πεπολιτευμένων καὶ πεπραγμένων λόγους οἰκείους, καὶ ἀναγκαίους τῇ γραφῇ πεποιηκώς. Εἶτα καὶ πολλῶν προαιρέσεων οὐσῶν τῆς πολιτείας, τὴν περὶ τὰς ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ· ὥστε καὶ τὰς ἀποδείξεις ἐκ τούτων δίκαιός εἰμι ποιεῖσθαι· ἃ μὲν οὖν πρὸ τοῦ πολιτεύεσθαι, καὶ δημηγορεῖν ἐμὲ προὔλαβε, καὶ κατέσχε φίλιππος, ἐάσω· οὐδὲν γὰρ ἡγοῦμαι τούτων εἶναι πρὸς ἐμέ· ἃ δ' ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγὼ, καὶ διεκωλύθη, ταῦτα ἀναμνήσω, καὶ τούτων ὑφέξω λόγον, τοσοῦτον ὑπειπών· πλεονέκτημα, ὦ ἄνδρες ἀθηναῖοι, μέγα ὑπῆρξε φιλίππῳ· παρὰ γὰρ τοῖς ἕλλησιν, οὐ τισὶν, ἀλλὰ πᾶσιν ὁμοίως φορὰν προδοτῶν, καὶ δωροδόκων, καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων συνέβη γενέσθαι, καὶ τοσαύτην, ὅσην οὐδείς πω πρότερον μέμνηται γεγονυῖαν, οὓς συναγωνιστὰς, καὶ συνεργοὺς λαβὼν, καὶ πρότερον κακῶς τοὺς ἕλληνας ἔχοντας πρὸς ἑαυτοὺς καὶ στασιαστικῶς, ἔτι χεῖρον διέθηκε, τοὺς μὲν ἐξαπατῶν, τοῖς δὲ διδοὺς, τοὺς δὲ πάντα τρόπον διαφθείρων· καὶ διέστησεν εἰς μέρη πολλὰ, ἑνὸς τοῦ συμφέροντος ἅπασιν ὄντος, κωλύειν ἐκεῖνον μέγαν γίγνεσθαι· ἐν τοιαύτῃ δὲ καταστάσει, καὶ ἔτι ἀγνοίᾳ τοῦ συνισταμένου, καὶ φυομένου κακοῦ τῶν ἁπάντων ἑλλήνων ὄντων, δεῖ σκοπεῖν ὑμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, τί προσῆκον ἦν ἑλέσθαι πράττειν, καὶ ποιεῖν τὴν πόλιν, καὶ τούτων λόγον παρ' ἐμοῦ λαβεῖν· ὁ γὰρ ἐνταῦθα ἑαυτὸν τάξας τῆς πολιτείας, εἰμὶ ἐγώ· πότερον αὐτὴν ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν, καὶ τὴν ἀξίαν τὴν αὑτῆς ἐν τῇ Θετταλῶν, καὶ Δολόπων τάξει συγκατακτᾶσθαι φιλίππῳ τὴν τῶν ἑλλήνων ἀρχὴν, καὶ τὰ τῶν προγόνων καλὰ, καὶ δίκαια ἀναιρεῖν; ἢ τοῦτο μὲν μὴ ποιεῖν (δεινὸν γὰρ ὡς ἀληθῶς) ἃ δ' ἑώρα συμβησόμενα, εἰ μηδεὶς κωλύσει, καὶ προῃσθάνετο ὡς ἔοικεν ἐκ πολλοῦ ταῦτα περιϊδεῖν γιγνόμενα; ἀλλὰ νῦν ἔγωγε τὸν μάλιστα ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν; πότερον τῆς συναιτίας τῶν συμβεβηκότων τοῖς ἕλλησι κακῶν, καὶ αἰσχρῶν, ἧς ἂν Θετταλοὺς, καὶ τοὺς μετὰ τούτων εἴποι τις; ἢ τῆς περιεωρακυίας

ταῦτα

ταῦτα γιγνόμενα ἐπὶ τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι, ἧς ἂν Ἀρκάδας, καὶ Μεσσηνίους, καὶ Ἀργείους θείημεν; ἀλλὰ καὶ τούτων πολλοί, μᾶλλον δὲ πάντες χεῖρον ἡμῶν ἀπηλλάχασι. Καὶ γάρ, εἰ μὲν ὡς ἐκράτησε φίλιππος, ᾤχετ' εὐθὺς ἀπιών, καὶ μετὰ ταῦτ' ἦγεν ἡσυχίαν, μήτε τῶν αὑτοῦ συμμάχων, μήτε τῶν ἄλλων ἑλλήνων μηδένα μηδὲν λυπήσας, ὅμως ἦν ἄν τις κατὰ τῶν οὐκ ἐναντιωθέντων, οἷς ἔπραττεν ἐκεῖνος, μέμψις, καὶ κατηγορία· εἰ δὲ ὁμοίως ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, τὴν ἐλευθερίαν περιείλετο, μᾶλλον δὲ καὶ τὰς πολιτείας, ὅσων ἠδύνατο, πῶς οὐχ ἁπάντων ἐνδοξότατα ὑμεῖς ἐβουλεύσασθε, ἐμοὶ πεισθέντες; ἀλλ' ἐκεῖσε ἐπανέρχομαι. Τί τὴν πόλιν, Αἰσχίνη, προσῆκε ποιεῖν, ἀρχὴν καὶ τυραννίδα τῶν ἑλλήνων ὁρῶσαν ἑαυτῷ κατασκευαζόμενον φίλιππον; ἢ τί τὸν σύμβουλον ἔδει λέγειν, ἢ γράφειν τὸν ἀθήνησιν ἐμέ; καὶ γὰρ τοῦτο πλεῖστον διαφέρει, ὃς συνῄδειν ἐκ παντὸς μὲν τοῦ χρόνου μέχρι τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς αὐτὸς ἐπὶ τὸ βῆμα ἀνέβην, ἀεὶ περὶ πρωτείων, καὶ τιμῆς, καὶ δόξης ἀγωνιζομένην τὴν πατρίδα, καὶ πλείω σώματα, καὶ χρήματα ἀνηλωκυῖαν ὑπὲρ φιλοτιμίας, καὶ τῶν ἅπασι τοῖς ἕλλησι συμφερόντων, ἢ τῶν ἄλλων ἑλλήνων, οἱ τὰ ὑπὲρ αὑτῶν ἀνηλώκασιν ἕκαστοι; ἑώρων δ' αὐτὸν τὸν φίλιππον, πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγών, ὑπὲρ ἀρχῆς, καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον, πᾶν ὅ, τι βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο ῥᾳδίως καὶ ἑτοίμως προϊέμενον, ὥστε τῷ λοιπῷ μετὰ τιμῆς, καὶ δόξης ζῆν. Καὶ μὴν οὐδὲ τοῦτό γε οὐδεὶς ἂν εἰπεῖν τολμήσειεν, ὡς τῷ μὲν ἐν Πέλλῃ τραφέντι, χωρίῳ ἀδόξῳ τότε γε ὄντι, καὶ μικρῷ, τοσαύτην μεγαλοψυχίαν προσῆκεν ἐγγενέσθαι, ὥστε τῆς τῶν ἑλλήνων ἀρχῆς ἐπιθυμῆσαι, καὶ τοῦτ' εἰς νοῦν ἐμβαλέσθαι· ὑμῖν δὲ οὖσιν ἀθηναίοις, καὶ καθ' ἡμέραν ἑκάστην ἐν πᾶσι καὶ λόγοις καὶ θεωρήμασι τῆς τῶν προγόνων ἀρετῆς ὑπομνήμαθ' ὁρῶσι, τοσαύτην κακίαν ὑπάρξαι, ὥστε τῆς τῶν ἑλλήνων ἐλευθερίας αὐτεπαγγέλτους ἐθελοντὰς παραχωρῆσαι φιλίππῳ· οὐδ' ἂν εἷς ταῦτα φήσειε. Λοιπὸν τοίνυν ἦν καὶ ἀναγκαῖον ἅμα, πᾶσιν, οἷς ἐκεῖνος ἔπραττεν ἀδικῶν ὑμᾶς, ἐναντιοῦσθαι δικαίως· τοῦτ' ἐποιεῖτε μὲν ἐξ ἀρ-

χῆς

χῆς ὑμᾶς, εἰκότως καὶ προσηκόντως· ἔγραφον δὲ καὶ συνεβούλευον καὶ ἐγώ, καθ' οὓς ἐπολιτευόμην χρόνους, ὁμολογῶ· ἀλλὰ τί ἐχρῆν με ποιεῖν; ἤδη γάρ σε ἐρωτῶ πάντα τὰ ἄλλα ἀφείς, Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Ἀλόνησον, οὐδενὸς τούτων μέμνημαι. Σέῤῥιον δὲ, καὶ Δορίσκον, καὶ τὴν Πεπαρήθου πόρθησιν, καὶ ὅσα ἄλλα τοιαῦτα ἡ πόλις ἠδίκητο, οὐδ' εἰ γέγονεν, οἶδα· καίτοι σύ γ' ἔφησθά με ταῦτα λέγοντα, εἰς ἔχθραν ἐμβαλεῖν τουτουσί, Εὐβούλου, καὶ Ἀριστοφῶντος, καὶ Διοπείθους τῶν περὶ τούτων ψηφισμάτων ὄντων, οὐκ ἐμῶν; ὦ λέγων εὐχερῶς ὅ, τι ἂν βουληθῇς· οὐδὲ νῦν περὶ τούτων ἐρῶ· ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ Μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεὸν, καὶ κατασκάπτων Πορθμὸν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ, Φιλιστίδην τύραννον, ἐν δ' Ἐρετρίᾳ Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον ὑφ' ἑαυτῷ ποιούμενος, καὶ Βυζάντιον πολιορκῶν, καὶ πόλεις Ἑλληνίδας, τινὰς μὲν ἀναιρῶν, εἰς τινὰς δὲ τοὺς φυγάδας κατάγων, πότερον ταῦτα πάντα ποιῶν ἠδίκει καὶ παρεσπόνδει, καὶ ἔλυε τὴν εἰρήνην, ἢ οὔ; καὶ πότερον φανῆναί τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν αὐτὸν ἐχρῆν, ἢ μή; εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν Μυσῶν λείαν καλουμένην, τὴν Ἑλλάδα οὖσαν ὀφθῆναι ζώντων Ἀθηναίων, καὶ ὄντων, περιείργασμαι μὲν ἐγὼ, περὶ τῶν τοιούτων εἰπών· περιείργασται δ' ἡ πόλις ἡ πεισθεῖσα ἐμοί· ἔστω δὲ ἀδικήματα πάντα ταῦτα ἃ πέπρακται, καὶ ἁμαρτήματα ἐμά· εἰ δὲ ἔδει τούτων τινὰ κωλυτὴν φανῆναι, τίνα ἄλλον, ἢ τὸν Ἀθηναίων δῆμον προσήκει γενέσθαι; ταῦτα τοίνυν ἐπολιτευόμην τότ' ἐγὼ, καὶ ὁρῶν καταδουλούμενον πάντας ἀνθρώπους ἐκεῖνον, ἠναντιούμην, καὶ προλέγων, καὶ διδάσκων μὴ προΐεσθαι ταῦτα Φιλίππῳ καὶ μὴν, τὴν εἰρήνην γε ἐκεῖνος ἔλυσε τὰ πλοῖα λαβὼν, οὐχ ἡ πόλις, Αἰσχίνη· φέρε δὴ αὐτὰ τὰ ψηφίσματα, καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, καὶ λέγε ἐφεξῆς· ἀπὸ γὰρ τούτων ἐξεταζομένων, τίς τίνος αἴτιός ἐστι, γενήσεται φανερόν. λέγε.

Ψήφισμα. Ἐπὶ ἄρχοντος Νεοκλέους, μηνὸς Βοηδρομιῶνος ἐκκλησίας συγκλήτου ὑπὸ στρατηγῶν συναχθείσης, Εὔβουλος Μνησιθέου Κύπριος εἶπεν, ἐπειδὴ προσήγγειλαν οἱ στρατηγοὶ ἐν τῇ ἐκκλησίᾳ, Ὡς ἄρα

Λεωδάμαντα τὸν ναύαρχον, καὶ τὰ μετ' αὐτοῦ ἀποσταλέντα σκάφη εἴκοσι ἐπὶ τὴν τοῦ σίτου παραπομπὴν εἰς Ἑλλήσποντον, ὁ παρὰ Φιλίππου στρατηγὸς Ἀμύντας κατήγαγεν εἰς Μακεδονίαν, καὶ ἐν φυλακῇ ἔχει, ἐπιμεληθῆναι τοὺς πρυτάνεις, καὶ τοὺς στρατηγούς, ὅπως ἡ βουλὴ συναχθῇ, καὶ αἱρεθῶσι πρέσβεις πρὸς Φίλιππον, οἳ παραγενόμενοι διαλέξονται πρὸς αὐτὸν περὶ τοῦ ἀφεθῆναι τὸν ναύαρχον, καὶ τὰ πλοῖα, καὶ τοὺς στρατιώτας· καὶ εἰ μὲν δι' ἄγνοιαν ταῦτα πεποίηκεν ὁ Ἀμύντας, ὅτι οὐ μεμψιμοιρεῖ ὁ δῆμος οὐδὲν αὐτῷ· εἰ δέ τι πλημμελοῦντα παρὰ τὰ ἐπεσταλμένα λαβών, ὅτι ἐπισκεψάμενοι Ἀθηναῖοι ἐπιτιμήσουσι κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν· εἰ δὲ μηδέτερον τούτων ἐστίν, ἀλλ' ἰδίᾳ ἀγνωμονοῦσιν, ἢ ὁ ἀποστείλας, ἢ ὁ ἀπεσταλμένος, καὶ τοῦτο γράψαι λέγειν, ἵνα αἰσθανόμενος ὁ δῆμος, βουλεύσηται τί δεῖ ποιεῖν. Τοῦτο μὲν τοίνυν τὸ ψήφισμα Εὔβουλος ἔγραψεν, οὐκ ἐγώ· τὸ δ' ἐφεξῆς, Ἀριστοφῶν, εἶθ' Ἡγήσιππος, εἶτα Ἀριστοφῶν πάλιν, εἶτα Φιλοκράτης, εἶτα Κηφισοφῶν, εἶτα πάντες οἱ ἄλλοι· ἐγὼ δ' οὐδὲν περὶ τούτων· λέγε τὸ ψήφισμα.

Ψήφισμα. Ἐπὶ Νεοκλέους ἄρχοντος, Βοηδρομιῶνος ἕνῃ καὶ νέᾳ, βουλῆς γνώμῃ, πρυτάνεις, καὶ στρατηγοὶ ἐχρημάτισαν, τὰ ἐκ τῆς ἐκκλησίας ἀνενεγκόντες, ὅτι ἔδοξε τῷ δήμῳ πρέσβεις ἑλέσθαι πρὸς Φίλιππον περὶ τῆς τῶν πλοίων ἀνακομιδῆς, καὶ ἐντολὰς δοῦναι, καὶ τὰ ἐκ τῆς ἐκκλησίας ψηφίσματα, καὶ εἵλοντο τούσδε, Κηφισοφῶντα Κλέωνος Ἀναφλύστιον, Δημόκριτον Δημοφῶντος Ἀναγυράσιον, Πολύκριτον Ἀπημάντου Κοθωκίδην· πρυτανείᾳ φυλῆς Ἱπποθοωντίδος Ἀριστοφῶν Κολυττεὺς πρόεδρος εἶπεν. Ὥσπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω τὰ ψηφίσματα, οὕτω καὶ σὺ δεῖξον, Αἰσχίνη, ποῖον ἐγὼ γράψας ψήφισμα, αἴτιός εἰμι τοῦ πολέμου, ἀλλ' οὐκ ἂν ἔχοις· εἰ γὰρ εἶχες, οὐδὲν ἂν αὐτοῦ πρότερον νυνὶ παρέσχου· καὶ μὴν οὐδ' ὁ Φίλιππος οὐδὲν αἰτιᾶταί με ὑπὲρ τοῦ πολέμου, ἑτέροις ἐγκαλῶν· λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τοῦ Φιλίππου.

## Ἐπιστολὴ Φιλίππου.

Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ, καὶ τῷ δήμῳ χαίρειν. Παραγενόμενοι πρὸς ἐμὲ οἱ παρ' ὑμῶν πρεσβευταὶ Κηφισοφῶν, καὶ Δημόκριτος,

καὶ Πολύκριτος διελέγοντο περὶ τῆς τῶν πλοίων ἀφέσεως, ὧν ἐναυάρχει Λεωδάμας. Καθόλου μὲν οὖν ἔμοιγε φαίνεσθε ἐν μεγάλῃ εὐηθείᾳ ἔσεσθαι, εἰ τοῦτ' οἴεσθέ με λανθάνειν, ὅτι ἐξαπεστάλη ταῦτα τὰ πλοῖα, πρόφασιν μὲν ὡς τὸν σῖτον παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς τοῖς ὑπ' ἐμοῦ μὲν πολιορκουμένοις, οὐ συμπεριειλημμένοις δὲ ἐν ταῖς τῆς φιλίας κοινῇ κειμέναις ἡμῖν συνθήκαις· καὶ ταῦτα συνετάχθη τῷ ναυάρχῳ ἄνευ μὲν τοῦ δήμου τῶν Ἀθηναίων, ὑπὸ δέ τινων ἀρχόντων, καὶ ἑτέρων ἰδιωτῶν μὲν νῦν ὄντων, ἐκ παντὸς δὲ τρόπου βουλομένων τὸν δῆμον ἀντὶ τῆς νῦν ὑπαρχούσης πρὸς ἐμὲ φιλίας τὸν πόλεμον ἀναλαβεῖν, πολλῷ μᾶλλον φιλοτιμουμένων τοῦτο συντελεῖσθαι, ἢ τοῖς Σηλυμβριανοῖς βοηθῆσαι· καὶ ὑπολαμβάνουσιν αὐτοῖς τὸ τοιοῦτον πρόσοδον ἔσεσθαι· οὐ μέντοι μοι δοκεῖ τοῦτο χρήσιμον ὑπάρχειν οὔθ' ὑμῖν, οὔτ' ἐμοί· διόπερ τά τε νῦν κατηχθέντα πλοῖα πρὸς ἡμᾶς ἀφίημι ὑμῖν· καὶ τοῦ λοιποῦ, ἐὰν βούλησθε μὴ ἐπιτρέπειν τοῖς προεστηκόσιν ὑμῶν κακοήθως πολιτεύεσθαι, ἀλλ' ἐπιτιμᾶτε, πειράσομαι κἀγὼ διαφυλάττειν τὴν εἰρήνην. Εὐτυχεῖτε.

Ἐνταῦθα οὐδαμοῦ Δημοσθένην γέγραφεν, οὐδ' αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ· τί ποτ' οὖν τοῖς ἄλλοις ἐγκαλῶν τῶν ἐμοὶ πεπραγμένων οὐχὶ μέμνηται; ὅτι τῶν ἀδικημάτων ἂν ἐμέμνητο τῶν ἑαυτοῦ, εἴ τι περὶ ἐμοῦ γέγραφε· τούτων γὰρ εἰχόμην ἐγὼ, καὶ τούτοις ἠναντιούμην· καὶ πρῶτον μὲν τὴν εἰς Πελοπόννησον πρεσβείαν ἔγραψα, ὅτε πρῶτον ἐκεῖνος εἰς Πελοπόννησον παρεδύετο, εἶτα τὴν εἰς Εὔβοιαν, ἡνίκα Εὐβοίας ἥπτετο, εἶτα τὴν ἐπ' Ὠρεὸν ἔξοδον, οὐκέτι πρεσβείαν, καὶ τὴν εἰς Ἐρέτριαν, ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσι κατέστησε. Μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους ἅπαντας ἀπέστειλα, καθ' οὓς Χερρόνησος ἐσώθη, καὶ Βυζάντιον, καὶ πάντες οἱ σύμμαχοι· ἐξ ὧν ὑμῖν μὲν τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαὶ, στέφανοι, χάριτες παρὰ τῶν εὖ πεπονθότων ἐγίγνοντο· τῶν δὲ ἀδικουμένων τοῖς μὲν ὑμῖν τότε πεισθεῖσιν, ἡ σωτηρία περιεγένετο, τοῖς δ' ὀλιγωρήσασι, τὸ πολλάκις ὧν ὑμεῖς προείπατε, μεμνῆσθαι καὶ νομίζειν ὑμᾶς μὴ μόνον εὔνους αὐτοῖς, ἀλλὰ καὶ φρονίμους ἀνθρώπους καὶ μάντεις εἶναι· πάντα γὰρ ἐκβέβηκεν, ἃ προείπατε αὐτοῖς·

τοῖς. Καὶ μὴν, ὅτι πολλὰ μὲν ἂν χρήματα ἔδωκε Φιλιστίδης, ὥστ' ἔχειν Ὠρεόν, πολλὰ δὲ Κλείταρχος, ὥστ' ἔχειν Ἐρέτριαν, πολλὰ δ' αὐτὸς ὁ Φίλιππος, ὥστε ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς αὐτῷ, καὶ περὶ τῶν ἄλλων μηδὲν ἐξελέγχεσθαι, μηδὲ ἃ ποιῶν ἠδίκει, μηδένα ἐξετάζειν πανταχοῦ, οὐδεὶς ἀγνοεῖ καὶ πάντων ἥκιστα σύ. Οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου καὶ τοῦ Φιλιστίδου τότε πρέσβεις δεῦρ' ἀφικνούμενοι παρὰ σοὶ κατέλυον, Αἰσχίνη, καὶ σὺ προὐξένεις αὐτῶν· οὓς ἡ μὲν πόλις ὡς ἐχθροὺς, καὶ οὔτε δίκαια, οὔτε συμφέροντα λέγοντας ἀπήλασε, σοὶ δ' ἦσαν φίλοι. Οὐ τοίνυν ἐπράχθη τούτων οὐδέν, ὦ βλασφημῶν περὶ ἐμοῦ, καὶ λέγων, ὡς σιωπῶ μὲν λαβὼν, βοῶ δ' ἀναλώσας· ἀλλ' οὐ σύ γε, ἀλλὰ βοᾷς μὲν ἔχων, παύσῃ δὲ οὐδέποτε, ἐὰν μή σε οὗτοι παύσωσιν ἀτιμώσαντες τήμερον. Στεφανωσάντων τοίνυν ὑμῶν ἐμὲ ἐπὶ τούτοις τότε, καὶ γράψαντος Ἀριστονίκου τὰς αὐτὰς συλλαβὰς, ἅσπερ οὑτοσὶ Κτησιφῶν νῦν γέγραφε, καὶ ἀναρρηθέντος ἐν τῷ θεάτρῳ τοῦ στεφάνου, καὶ δευτέρου κηρύγματος ἤδη μοι τούτου γιγνομένου, οὔτ' ἀντεῖπεν Αἰσχίνης παρὼν, οὔτε τὸν εἰπόντα ἐγράψατο· καί μοι λέγε καὶ τοῦτο τὸ ψήφισμα λαβών. λέγε.

Ψήφισμα. Ἐπὶ Χαιρωνίδου Ἡγεμόνος ἄρχοντος, Γαμηλιῶνος ἕκτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης Λεοντίδος, Ἀριστόνικος Φρεάρριος, εἶπεν· ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς πολλὰς καὶ μεγάλας χρείας παρέσχηται τῷ δήμῳ τῶν Ἀθηναίων, καὶ πολλοῖς τῶν συμμάχων, καὶ πρότερον, καὶ ἐν τῷ παρόντι καιρῷ βεβοήθηκε διὰ τῶν ψηφισμάτων, καί τινας τῶν ἐν τῇ Εὐβοίᾳ πόλεων ἠλευθέρωκε, καὶ διατελεῖ εὔνους ὢν τῷ δήμῳ τῶν Ἀθηναίων, καὶ λέγει, καὶ πράττει ὅ, τι ἂν δύνηται ἀγαθὸν ὑπέρ τε αὐτῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ, Διονυσίοις τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου ἐπιμεληθῆναι τὴν πρυτανεύουσαν φυλὴν, καὶ τὸν ἀγωνοθέτην, εἶπεν Ἀριστόνικος Φρεάρριος.

Ἔστιν οὖν ὅστις ὑμῶν οἶδέ τινα αἰσχύνην συμβᾶσαν τῇ πόλει διὰ τοῦτο τὸ ψήφισμα, ἢ χλευασμὸν, ἢ γέλωτα, ἃ νῦν οὗτος ἔφη συμβήσεσθαι, ἐὰν ἐγὼ

στεφα-

στεφανῶσθαι; καὶ μήν, ὅταν ἡ νέα καὶ γνώριμος πᾶσι τὰ πράγματα, ἐάν τε καλῶς ἔχῃ, χάριτος τυγχάνει, ἐάν θ' ὡς ἑτέρως, τιμωρίας· φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχηκὼς τότε, καὶ οὐ μέμψεως, οὐδὲ τιμωρίας· οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων, ἐν οἷς ταῦτ' ἐπράχθη, πάντας ἀνωμολόγημαι τοὺς χρόνους τὰ ἄριστα πράττειν τῇ πόλει, τῷ νικᾶν, ὅτ' ἐβουλεύεσθε, λέγων, καὶ γράφων· τῷ καταπραχθῆναι τὰ γραφέντα, καὶ στεφάνους ἐξ αὐτῶν τῇ πόλει, καὶ ἐμοί, καὶ πᾶσιν ἡμῖν γενέσθαι· τῷ θυσίας τοῖς θεοῖς, καὶ προσόδους, ὡς ἀγαθῶν τούτων ὄντων, ὑμᾶς πεποιῆσθαι. Ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας ὁ Φίλιππος ἐξηλάθη, τοῖς μὲν ὅπλοις ὑφ' ὑμῶν, τῇ δὲ πολιτείᾳ. καὶ τοῖς ψηφίσμασι, κἂν διαῤῥαγῶσί τινες τούτων, ὑπ' ἐμοῦ, ἕτερον κατὰ τῆς πόλεως ἐπιτειχισμὸν ἐζήτει· ὁρῶν δ' ὅτι σίτῳ πάντων ἀνθρώπων πλείστῳ χρώμεθα ἐπεισάκτῳ, βουλόμενος τῆς σιτοπομπείας κύριος γενέσθαι. Παρελθὼν ἐπὶ Θρᾴκης, Βυζαντίους συμμάχους ὄντας αὐτῷ, τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν τὸν πρὸς ὑμᾶς πόλεμον· ὡς δ' οὐκ ἤθελον, οὐδ' ἐπὶ τούτοις ἔφασαν τὴν συμμαχίαν πεποιῆσθαι, λέγοντες ἀληθῆ, χαρακώματα βαλόμενος πρὸς τῇ πόλει καὶ μηχανήματ' ἐπιστήσας, ἐπολιόρκει· τούτων δὲ γιγνομένων, ὅτι μὲν προσῆκε ποιεῖν ὑμᾶς, οὐκέτ' ἐρωτήσω· δῆλον γάρ ἐστιν ἅπασιν· ἀλλὰ τίς ἦν ὁ βοηθήσας τοῖς Βυζαντίοις, καὶ σώσας αὐτούς; τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον ἀλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους; ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι· τὸ δ' ὑμεῖς ὅταν εἴπω, τὴν πόλιν λέγω· τίς δ' ὁ τῇ πόλει λέγων, καὶ γράφων, καὶ πράττων, καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματα ἀφειδῶς δούς; ἐγώ· ἀλλὰ μήν, ἡλίκα ταῦτα ὠφέλησεν ἅπαντας, οὐκ ἔτ' ἐκ λόγου δεῖ μαθεῖν, ἀλλ' ἔργῳ πεπείρασθε· ὁ γὰρ τότε ἐνστὰς πόλεμος, ἄνευ τοῦ καλὴν δόξαν ἐνεγκεῖν, ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις, καὶ εὐωνοτέροις διήγαγεν ὑμᾶς τῆς νῦν εἰρήνης, ἣν οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν οἱ χρηστοὶ ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν ὧν διαμάρτοιεν, καὶ μὴ μετάσχοιεν, ὧν ὑμεῖς οἱ τὰ βέλτιστα βουλόμενοι τοὺς θεοὺς αἰτεῖτε, μὴ δὲ μεταδοῖεν ὑμῖν ὧν αὐτοὶ προῄρηνται· λέγε δ' αὐτοῖς καὶ τοὺς Βυζαντίων στεφάνους, καὶ τοὺς Περινθίων, οἷς ἐστεφάνουν ἐκ τούτων τὴν πόλιν.

Ψήφισμα Βυζαντίων.

Ἐπὶ ἱερομνάμονος Βοσπορίχω, Δαμάγητος ἐν Τεκαλίᾳ ἔλεξεν, ἐκ τᾶς βωλᾶς λαβὼν ῥήτραν· ἐπειδὴ ὁ δᾶμος ὁ Ἀθηναίων ἔν τε τοῖς προγεγενημένοις καιροῖς εὐνοέων διατελεῖ Βυζαντίοις, καὶ τοῖς συμμάχοις, καὶ συγγενέσι Περινθίοις, καὶ πολλὰς καὶ μεγάλας * χρείας παρέσχηται ἔν τε τῷ παρεστακότι καιρῷ, Φιλίππου τοῦ Μακεδόνος ἐπιστρατεύσαντος ἐπὶ τὰν χώραν, καὶ τὰν πόλιν, ἐπ' ἀναστάσει Βυζαντίων, καὶ Περινθίων, καὶ τὰν χώραν δαΐοντος, καὶ δενδροκοπέοντος, βοηθήσας πλοίοισι ἑκατὸν καὶ εἴκοσι, καὶ σίτῳ, καὶ βέλεσι, καὶ ὁπλίταις, ἐξείλετο ἅμε ἐκ τῶν μεγάλων κινδύνων καὶ ἀποκατέστασε τὰν πάτριαν πολιτείαν, καὶ τὼς νόμως καὶ τὼς τάφως, δεδόχθαι τῷ δάμῳ τῷ Βυζαντίων, καὶ Περινθίων, Ἀθηναίοις δόμεν ἐπιγαμίαν πολιτείαν, κτᾶσιν γᾶς, καὶ οἰκιᾶν προεδρίαν ἐν τοῖς ἀγῶσι ποτὶ τὰν Θόλον, ποτὶ τὰν βωλὰν, καὶ τὸν δᾶμον παρὰ τοῖς περὶ τὰ ἱερά, καὶ τοῖς κατοικεῦν ἐθέλουσι τὰν πόλιν, ἀλειτουργήτοις ἦμεν πᾶσαν πρὸς τὰν λειτουργίαν· στᾶσαι δὲ καὶ εἰκόνας τρεῖς ἑκκαιδεκαπήχεις ἐν τῷ Βοσπόρῳ, στεφανούμενον τὸν δᾶμον τῶν Ἀθηναίων ὑπὸ τῷ δάμῳ τῶν Βυζαντίων καὶ Περινθίων· ἀποστεῖλαι δὲ καὶ δωρεὰς ἐς τὰς ἐν τᾷ Ἑλλάδι πανηγύριας, Ἴσθμια, καὶ Νέμεα, καὶ Ὀλύμπια, καὶ Πύθια, καὶ ἀνακαρῦξαι τὸν στέφανον, ᾧ ἐστεφάνωται ὁ δᾶμος ὁ Ἀθηναίων ὑφ' ἡμῶν, ὅπως ἐπιστέωνται οἱ Ἕλλανες πάντες Ἀθηναίων ἀρετὰν, καὶ τὰν Βυζαντίων καὶ Περινθίων εὐχαριστίαν· λέγε καὶ τὰς παρὰ τῶν ἐν Χερρονήσῳ στεφάνους.

Ψήφισμα Χερρονησιτῶν.

Χερρονησιτῶν οἱ κατοικοῦντες Σηστὸν, Ἐλαιοῦντα, Μάδυτον, Ἀλωπεκόννησον, στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν δῆμον χρυσῷ στεφάνῳ, ἀπὸ ταλάντων ἑξήκοντα, καὶ Χάριτος βωμὸν ἱδρύονται καὶ δήμου Ἀθηναίων, ὅτι πάντων μέγιστον ἀγαθῶν πράττων αἴτιος γέγονε Χερρονησίταις, ἐξελόμενος ἐκ τοῦ Φιλίππου, καὶ ἀποδοὺς τὰς πατρίδας, τοὺς νόμους, τὴν ἐλευθερίαν, τὰ ἱερά· καὶ ἐν τῷ μετὰ ταῦτα αἰῶνι παντὶ οὐκ ἐλλείψει εὐχαριστῶν, καὶ ποιῶν ὅ, τι ἂν δύνηται ἀγαθόν· ταῦτα ἐψηφίσαντο κοινῷ βουλευτηρίῳ. Οὐκοῦν, οὐ μόνον τὸ Χερρόνησον, καὶ Βυζάντιον σῶσαι, οὐδὲ τὸ κωλῦσαι τὸν Ἑλλήσποντον ὑπὸ Φιλίππῳ γενέσθαι τότε, οὐδὲ τὸ τι-μηθῆναι

μαθεῖν τὴν πόλιν ἐκ τούτων, ἡ προαίρεσις ἡ ἐμὴ, καὶ ἡ πολιτεία διεπράξατο, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις ἔδειξε τήν τε τῆς πόλεως καλοκἀγαθίαν, καὶ τὴν Φιλίππου κακίαν. Ο' μὲν γε φίλος, καὶ σύμμαχος ὢν τοῖς Βυζαντίοις, πολιορκῶν αὐτοὺς ἑωρᾶτο ὑπὸ πάντων· οὗ τί γένοιτ' ἂν αἴσχιον, ἢ μιαρώτερον; ὑμεῖς δ' οἱ καὶ μεμψάμενοι πολλὰ, καὶ δίκαια ἂν ἐκείνοις εἰκότως περὶ ὧν ἠγνωμονήκεσαν εἰς ὑμᾶς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐ μόνον οὐ μνησικακοῦντες, οὐδὲ προϊέμενοι τοὺς ἀδικουμένους, ἀλλὰ καὶ σώζοντες ἐφαίνεσθε, ἐξ ὧν δόξαν, εὔνοιαν παρὰ πάντων ἐκτᾶσθε. Καὶ μὴν, ὅτι πολλοὺς μὲν ἐστεφανώκατε ἤδη τῶν πεπολιτευμένων, ἅπαντες ἴσασι· δι' ὅν τινα δὲ ἄλλον ἡ πόλις ἐστεφάνωται, σύμβουλον λέγω, καὶ ῥήτορα, πλὴν δι' ἐμὲ, οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι. Ἵνα τοίνυν καὶ τὰς βλασφημίας, ἃς κατὰ τῶν Εὐβοέων, καὶ τῶν Βυζαντίων ἐποιήσατο, ὅ,τι δυσχερὲς αὐτοῖς ἐπέπρακτο πρὸς ὑμᾶς ὑπομιμνήσκων, συκοφαντίας οὔσας ἐπιδείξω, μὴ μόνον τῷ ψευδεῖς εἶναι, τοῦτο μὲν γὰρ ὑπάρχειν ὑμᾶς εἰδότας ἡγοῦμαι, ἀλλὰ καὶ τῷ εἰ τὰ μάλιστ' ἦσαν ἀληθεῖς, οὕτως, ὡς ἐγὼ κέχρημαι τοῖς πράγμασι, συμφέρειν χρήσασθαι, ἓν, ἢ δύο βούλομαι τῶν καθ' ὑμᾶς πεπραγμένων καλῶν τῇ πόλει διεξελθεῖν, καὶ ταῦτ' ἐν βραχέσι· καὶ γὰρ ἄνδρα ἰδίᾳ, καὶ πόλιν κοινῇ πρὸς τὰ κάλλιστα τῶν ὑπαρχόντων ἀεὶ δεῖ τὰ λοιπὰ πειρᾶσθαι πράττειν. Ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Λακεδαιμονίων γῆς, καὶ θαλάττης ἀρχόντων, καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς, καὶ φρουραῖς, Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν ἅπασαν, Μέγαρα, Αἴγιναν, Κλεωνὰς, τὰς ἄλλας νήσους, οὐ ναῦς, οὐ τείχη τῆς πόλεως τότε κεκτημένης, ἐξήλθετε εἰς Ἁλίαρτον, καὶ πάλιν οὐ πολλαῖς ἡμέραις ὕστερον εἰς Κόρινθον, τῶν τότε Ἀθηναίων πολλὰ ἂν ἐχόντων μνησικακῆσαι, καὶ Κορινθίοις, καὶ Θηβαίοις τῶν περὶ τὸν Δεκελεικὸν πόλεμον πραχθέντων, ἀλλ' οὐκ ἐποίουν τοῦτο οὐδ' ἐγγύς· καίτοι τότε ταῦτα ἀμφότερα, Αἰσχίνη, οὔθ' ὑπὲρ εὐεργετῶν ἐποίουν, οὔτε ἀκίνδυνα ἑώρων· ἀλλ' οὐ διὰ ταῦτα προΐεντο τοὺς καταφεύγοντας ἐφ' ἑαυτοὺς, ἀλλ' ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἤθελον τοῖς δεινοῖς αὑτοὺς διδόναι, ὀρθῶς καὶ καλῶς βουλευόμενοι. Πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου ὁ θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὑτὸν καθεί-

ξας

ξας τιμῆς· δεῖ δὲ τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, φέρειν δ' ὅ, τι ἂν ὁ Θεὸς διδῷ, γενναίως· ταῦτ' ἐποίουν οἱ ἡμέτεροι πρόγονοι, ταῦθ' ὑμῶν οἱ πρεσβύτεροι, οἳ Λακεδαιμονίους οὐ φίλους ὄντας, οὐδ' εὐεργέτας, ἀλλὰ πολλὰ τὴν πόλιν ἡμῶν ἠδικηκότας καὶ μεγάλα, ἐπειδὴ Θηβαῖοι κρατήσαντες ἐν Λεύκτροις ἀνελεῖν ἐπεχείρουν, διεκωλύσατε, οὐ φοβηθέντες τὴν τότε Θηβαίοις ῥώμην, καὶ δόξαν ὑπάρχουσαν, οὐδ' ὑπὲρ οἷα πεποιηκότων ἀνθρώπων κινδυνεύσετε διαλογισάμενοι· Καὶ γάρ τοι πᾶσι τοῖς Ἕλλησιν ἐδείξατε ἐκ τούτων, ὅτι κἂν ὁτιοῦν τις εἰς ὑμᾶς ἐξαμάρτῃ, τούτῳ τὴν ὀργὴν εἰς τἆλλα ἔχετε· ἂν δ' ὑπὲρ σωτηρίας, ἢ ἐλευθερίας κίνδυνός τις αὐτοὺς καταλαμβάνῃ, οὔτε μνησικακήσετε, οὔτε ὑπολογιεῖσθε· Καὶ οὐκ ἐπὶ τούτων μόνον οὕτως ἐσχήκατε, ἀλλὰ πάλιν σφετεριζομένων Θηβαίων τὴν Εὔβοιαν, οὐ περιείδετε, οὐδ' ἂν ὑπὸ Θεμίσωνος, καὶ Θεοδώρου περὶ Ὠρωπὸν ἠδίκησθε, ἀνεμνήσθητε, ἀλλ' ἐβοηθήσατε καὶ τούτοις, τῶν ἐθελοντῶν τριηράρχων τότε πρῶτον γενομένων τῇ πόλει, ὧν εἷς ἦν ἐγώ· ἀλλ' οὔπω περὶ τούτων· Καίτοι, καλὸν μὲν ἐποιήσατε καὶ τὸ σῶσαι τὴν νῆσον, πολλῷ δ' ἔτι τούτου κάλλιον, τὸ καταστάντες κύριοι καὶ τῶν σωμάτων, καὶ τῶν πόλεων, ἀποδοῦναι ταῦτα δικαίως αὐτοῖς τοῖς ἐξημαρτηκόσιν εἰς ὑμᾶς, μηδὲν ὧν ἠδίκησθε, ἐν οἷς ἐπιστεύθητε, ὑπολογισάμενοι· Μυρία τοίνυν ἕτερα εἰπεῖν ἔχων παραλείπω, ναυμαχίας, ἐξόδους, πεζὰς στρατείας, καὶ πάλαι γεγονυίας, καὶ νῦν ἐφ' ὑμῶν αὐτῶν· ἃς ἁπάσας ἡ πόλις τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας καὶ σωτηρίας πεποίηται· εἶτα ἐγὼ τεθεωρηκὼς ἐν τοσούτοις, καὶ τοιούτοις τὴν πόλιν ὑπὲρ τῶν τοῖς ἄλλοις συμφερόντων ἐθέλουσαν ἀγωνίζεσθαι, ὑπὲρ αὐτῆς τρόπον τινὰ τῆς συμβουλῆς οὔσης, τί ἔμελλον κελεύσειν, ἢ τί συμβουλεύσειν αὐτῇ ποιεῖν; μνησικακεῖν νὴ Δία πρὸς τοὺς βουλομένους σώζεσθαι, καὶ προφάσεις ζητεῖν, δι' ἃς ἅπαντα προησόμεθα τὰ συμφέροντα; καὶ τίς οὐκ ἂν ἀπέκτεινέ με δικαίως, εἴ τι τῶν ὑπαρχόντων τῇ πόλει καλῶν λόγῳ μόνον καταισχύνειν ἐπεχείρησα; ἐπεὶ τό γε ἔργον, οὐκ ἂν ἐποιήσατε ὑμεῖς, ἀκριβῶς οἶδα ἐγώ· εἰ γὰρ ἠβούλεσθε, τί ἦν ἐμποδών; οὐκ ἐξῆν; οὐχ ὑπῆρχον οἱ ταῦτα ἐροῦντες οὗτοι; Βούλομαι

τοίνυν ἐπανελθεῖν ἐφ' ἃ τούτων ἑξῆς ἐπολιτευόμην· καὶ σκοπεῖτε ἐν τούτοις πάλιν αὖ, τί τὸ τῇ πόλει βέλτιστον ἦν· ὁρῶν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ναυτικὸν ὑμῶν καταλυόμενον, καὶ τοὺς μὲν πλουσίους ἀτελεῖς ἀπὸ μικρῶν ἀναλωμάτων γιγνομένους, τοὺς δὲ μέτρια, ἢ μικρὰ κεκτημένους τῶν πολιτῶν, τὰ ὄντα ἀπολλύντας, ἔτι δ' ὑστερίζουσαν ἐκ τούτων τὴν πόλιν τῶν καιρῶν, ἔθηκα νόμον, καθ' ὃν τοὺς μὲν τὰ δίκαια ποιεῖν ἠνάγκασα τοὺς πλουσίους, τοὺς δὲ πένητας ἔπαυσα ἀδικουμένους· τῇ πόλει δ' ὅπερ ἦν χρησιμώτατον ἐν καιρῷ γίγνεσθαι τὰς παρασκευὰς ἐποίησα· καὶ γραφεὶς τὸν ἀγῶνα τοῦτον παρανόμων, εἰς ὑμᾶς εἰσῆλθον, καὶ ἀπέφυγον, καὶ τὸ πέμπτον μέρος τῶν ψήφων ὁ διώκων οὐκ ἔλαβε· Καίτοι πόσα χρήματα τοὺς ἡγεμόνας τῶν συμμοριῶν, ἢ τοὺς δευτέρους, καὶ τρίτους οἴεσθέ μοι διδόναι, ὥστε μάλιστα μὲν μὴ θεῖναί με τὸν νόμον τοῦτον, εἰ δὲ μὴ, καταβαλόντα με ἐᾶν ἐν ὑπωμοσίᾳ; τοσαῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσα ὀκνήσαιμ' ἂν πρὸς ὑμᾶς εἰπεῖν, καὶ ταῦτ' εἰκότως ἔπραττον ἐκεῖνοι· ἦν γὰρ αὐτοῖς ἐκ μὲν τῶν προτέρων νόμων συνεκκαίδεκα λειτουργεῖν, αὐτοῖς μὲν μικρὰ, καὶ οὐδὲν ἀναλίσκουσι, τοὺς δ' ἀπόρους τῶν πολιτῶν ἐπιτρίβουσιν, ἐκ δὲ τοῦ ἐμοῦ νόμου, τὸ γιγνόμενον κατὰ τὴν οὐσίαν ἕκαστον τιθέναι. καὶ δυοῖν ἐφάνη τριήραρχος, ὁ τῆς μιᾶς ἕκτος καὶ δέκατος ὢν πρότερον συντελής· οὐδὲ γὰρ τριηράρχους ἐπωνόμαζον ἑαυτοὺς, ἀλλὰ συντελεῖς· ὥστε δὴ ταῦτα λυθῆναι, καὶ μὴ τὰ δίκαια ποιεῖν ἀναγκασθῆναι, οὐκ ἔσθ' ὅ, τι οὐκ ἐδίδοσαν· καί μοι λέγε πρῶτον μὲν τὸ ψήφισμα, καθ' ὃ εἰσῆλθον τὴν γραφὴν, εἶτα τοὺς καταλόγους τόν τε ἐκ τοῦ προτέρου νόμου, καὶ τὸν κατὰ τὸν ἐμόν. λέγε.

Ψήφισμα. Ἐπὶ Ἄρχοντος Πολυκλέους μηνὸς Βοηδρομιῶνος ἕκτῃ ἐπὶ δέκα, φυλῆς πρυτανευούσης Ἱπποθοωντίδος Δημοσθένης Δημοσθένους Παιανιεὺς εἰσήνεγκε νόμον εἰς τὸ τριηραρχικὸν ἀντὶ τοῦ προτέρου, καθ' ὃ αἱ συντέλειαι ἦσαν τῶν τριηράρχων, καὶ ἐπεχειροτόνησεν ἡ βουλὴ, καὶ ὁ δῆμος· καὶ ἀπήνεγκε παρανόμων γραφὴν Δημοσθένει Πατροκλῆς Φλυεὺς, καὶ τὸ μέρος τῶν ψήφων οὐ λαβὼν ἀπέτισε τὰς πεντακοσίας δραχμάς· Φέρε δὴ καὶ τὸν καλὸν κατάλογον.

Κατά

Κατάλογος. Τοὺς τριηράρχους καλεῖσθαι ἐπὶ τὴν τριήρη συνεκκαίδεκα ἐκ τῶν ἐν τοῖς λόχοις συντελειῶν, ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν εἰς τετταράκοντα, ἐπὶ ἴσον τῇ χορηγίᾳ χρωμένους· Φέρε δὴ παρὰ τοῦτον τὸν ἐκ τοῦ ἐμοῦ νόμου κατάλογον.

Κατάλογος. Τοὺς τριηράρχους αἱρεῖσθαι ἐπὶ τὴν τριήρη ἀπὸ τῆς οὐσίας κατὰ τίμησιν, ἀπὸ ταλάντων δέκα· ἐὰν δὲ πλειόνων ἡ οὐσία ἀποτετιμημένη ᾖ χρημάτων, κατὰ τὸν ἀναλογισμόν, ἕως τριῶν πλοίων, καὶ ὑπηρετικοῦ ἡ λειτουργία ἔστω· κατὰ τὴν αὐτὴν δὲ ἀναλογίαν ἔστω, καὶ οἷς ἐλάττων οὐσία ἐστὶ τῶν δέκα ταλάντων, εἰς συντέλειαν συναγομένοις εἰς τὰ δέκα τάλαντα. Ἀρά γε μικρὰ βοηθῆσαι τοῖς πένησιν ὑμῖν δοκῶ, ἢ μικρὰ ἀναλῶσαι ἄν, τοῦ μὴ τὰ δίκαια ποιεῖν ἐθέλειν οἱ πλούσιοι; οὐ τοίνυν μόνον τῷ μὴ καθυφεῖναι ταῦτα σεμνύνομαι, οὐδὲ τῷ γραφεὶς ἀποφυγεῖν, ἀλλὰ καὶ τῷ συμφέροντα θεῖναι τὸν νόμον, καὶ τῷ πεῖραν ἔργῳ δεδωκέναι· πάντα γὰρ τὸν πόλεμον τῶν ἀποστόλων γιγνομένων κατὰ τὸν νόμον τὸν ἐμόν, οὐχ ἱκετηρίαν ἔθηκε τριήραρχος οὐδεὶς πώποτε ὡς ἀδικούμενος παρ' ὑμῖν, ἐν Μουνυχίᾳ ἐκαθέζετο, οὐχ ὑπὸ τῶν ἀποστολέων ἐδέθη, οὐ τριήρης οὔτ' ἔξω καταλειφθεῖσα ἀπώλετο τῇ πόλει, οὔτ' αὐτοῦ ἀπελείφθη οὐ δυναμένη ἀνάγεσθαι· καί τοι κατὰ τοὺς προτέρους νόμους ἅπαντα ταῦτα ἐγίγνετο· τὸ δ' αἴτιον ἐν τοῖς πένησιν ἦν, τὸ λειτουργεῖν μὴ δύνασθαι· πολλὰ δὴ τὰ ἀδύνατα συνέβαινεν· ἐγὼ δ' ἐκ τῶν ἀπόρων εἰς τοὺς εὐπόρους μετήνεγκα τὰς τριηραρχίας· πάντ' οὖν τὰ δέοντα ἐγίγνετο. Καὶ μὴν καὶ κατ' αὐτὸ τοῦτο ἄξιός εἰμι ἐπαίνου τυχεῖν, ὅτι πάντα τὰ τοιαῦτα προῃρούμην πολιτεύματα, ἀφ' ὧν ἅμα δόξαι, καὶ τιμαί, καὶ δυνάμεις συνέβαινον τῇ πόλει· βάσκανον δὲ καὶ πικρὸν καὶ κακόηθες οὐδέν ἐστι πολίτευμα ἐμόν, οὐδὲ ταπεινόν, οὐδὲ τῆς πόλεως ἀνάξιον· ταὐτὸ τοίνυν ἦθος ἔχων ἔν τε τοῖς κατὰ τὴν πόλιν πολιτεύμασι, καὶ ἐν τοῖς ἑλληνικοῖς φανήσομαι· οὔτε γὰρ ἐν τῇ πόλει τὰς παρὰ τῶν πλουσίων χάριτας μᾶλλον, ἢ τὰ τῶν πολλῶν δίκαια εἱλόμην, οὔτ' ἐν τοῖς ἑλληνικοῖς τὰ Φιλίππου δῶρα καὶ τὴν ξενίαν ἠγάπησα, ἀντὶ τῶν κοινῇ πᾶσι τοῖς Ἕλλησι συμφερόντων· Ἡγοῦμαι τοίνυν λοιπὸν εἶναί μοι περὶ τοῦ κηρύγματος εἰπεῖν, καὶ τῶν εὐ-

θυνῶν· τὸ γὰρ ὡς τὰ ἄριστά τε ἔπραττον, καὶ διὰ παντὸς εὔνους εἰμὶ, καὶ πρόθυμος ὑμῖν, ἱκανῶς ἐκ τῶν εἰρημένων δεδηλῶσθαί μοι νομίζω· καίτοι τὰ μέγιστά γε τῶν πεπολιτευμένων, καὶ πεπραγμένων ἐμαυτῷ παραλείπω, ὑπολαμβάνων πρῶτον μὲν ἐφεξῆς τοὺς περὶ αὐτοῦ τοῦ παρανόμου λόγους ἀποδοῦναί με δεῖν· εἶτα κἂν μηδὲν εἴπω περὶ τῶν λοιπῶν πολιτευμάτων, ὁμοίως παρ᾽ ὑμῶν ἑκάστου τὸ συνειδὸς ὑπάρχειν μοι. Τῶν μὲν οὖν λόγων, οὓς οὗτος ἄνω καὶ κάτω διακυκῶν ἔλεγε περὶ τῶν παραγεγραμμένων νόμων, οὔτε μὰ τοὺς Θεοὺς οἶμαι ὑμᾶς μανθάνειν, οὔτ᾽ αὐτὸς ἠδυνάμην συνεῖναι τοὺς πολλούς· ἁπλῶς δὲ τὴν ὀρθὴν ὁδὸν περὶ τῶν δικαίων διαλέξομαι· τοσούτου γὰρ δέω λέγειν ὡς οὐκ εἰμὶ ὑπεύθυνος, ὃ νῦν οὗτος πολλάκις διέβαλλε καὶ διωρίζετο, ὥσθ᾽ ἅπαντα τὸν βίον ὑπεύθυνος εἶναι ὁμολογῶ, ὧν ἢ διακεχείρικα, ἢ πεπολίτευμαι παρ᾽ ὑμῖν· ὧν μέντοι γε ἐκ τῆς ἰδίας οὐσίας ἐπαγγειλάμενος δέδωκα τῷ δήμῳ, οὐδεμίαν ἡμέραν ὑπεύθυνος εἶναί φημι· ἀκούεις, Αἰσχίνη; οὐδὲ ἄλλον οὐδένα, οὐδ᾽ ἂν τῶν ἐννέα Ἀρχόντων τις ὢν τύχῃ· τίς γάρ ἐστι νόμος τοσαύτης ἀδικίας, καὶ μισανθρωπίας μεστὸς, ὥστε τὸν δόντα τι τῶν ἰδίων, καὶ ποιήσαντα πρᾶγμα φιλάνθρωπον, καὶ φιλόδωρον, τῆς χάριτος μὲν ἀποστερεῖν, εἰς δὲ τοὺς συκοφάντας ἄγειν, καὶ τούτους ἐπὶ τὰς εὐθύνας ὧν ἔδωκεν, ἐφιστάναι; οὐδὲ εἷς ὅπω· εἰ δέ φησιν οὗτος, δειξάτω, κἀγὼ στέρξω, καὶ σιωπήσομαι· ἀλλ᾽ οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ᾽ οὗτος συκοφαντῶν ὅτι ἐπὶ τῷ θεωρικῷ τότε ὢν ἐπέδωκα τὰ χρήματα, ἐπῄνεσεν αὐτὸν, φησὶν, ἡ βουλὴ ὑπεύθυνον ὄντα· οὐ περὶ τούτων γε οὐδενὸς ὧν ὑπεύθυνος ἦν, ἀλλ᾽ ἐφ᾽ οἷς ἐπέδωκα, ὦ συκοφάντα· ἀλλὰ καὶ τειχοποιὸς ἦσθα, φησί· καὶ διά γε τοῦτο ὀρθῶς ἐπῃνούμην, ὅτι τἀνηλωμένα ἐπέδωκα, καὶ οὐκ ἐλογιζόμην· ὁ μὲν γὰρ λογισμὸς εὐθυνῶν καὶ τῶν ἐξεταζόντων προσδεῖται· ἡ δὲ δωρεὰ χάριτος καὶ ἐπαίνου δικαία ἐστὶ τυγχάνειν· διόπερ ταῦτ᾽ ἔγραψα ἐγὼ περὶ ἐμοῦ· ὅτι δ᾽ οὕτω ταῦτα ἔχει, καὶ οὐ μόνον ἐν τοῖς νόμοις, ἀλλὰ καὶ ἐν τοῖς ἡμετέροις ἤθεσιν ὥρισται, ἐγὼ ῥᾳδίως πολλαχόθεν δείξω· Πρῶτον μὲν γὰρ Ναυσικλῆς στρατηγῶν, ἐφ᾽ οἷς ἀπὸ τῶν ἰδίων προεῖτο, πολλάκις ἐστεφάνωται ὑφ᾽ ὑμῶν· εἶθ᾽ ὅτε τὰς ἀσπίδας Διότιμος

τιμος ἔδωκε, καὶ πάλιν Χαρίδημος, ἐστεφανοῦντο· εἶθ' οὗτος Νεοπτόλεμος πολλῶν ἔργων ἐπιστάτης ὤν, ἐφ' οἷς ἐπέδωκε, τετίμηται· σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε, εἰ τῷ τινὰ ἀρχὴν ἄρχοντι ἢ διδόναι τὰ ἑαυτοῦ τῇ πόλει διὰ τὴν ἀρχὴν μὴ ἐξέσται, ἢ τῶν δοθέντων ἀντὶ τοῦ κομίσασθαι χάριν εὐθύνας ὑφέξει· ὅτι τοίνυν ταῦτ' ἀληθῆ λέγω, λέγε τὰ ψηφίσματά μοι τὰ τούτοις γεγενημένα, αὐτὰ λαβών· Λέγε.

Ψήφισμα· Ἄρχων ἦν Δημόνικος Φλυεὺς βοηδρομιῶνος ἕκτῃ μετ' εἰκάδα, ὅτε γνώμη βουλῆς, καὶ δήμου Καλλίας Φρεάῤῥιος εἶπεν· ὅτι δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Ναυσικλέα τὸν ἐπὶ τῶν ὅπλων, ὅτι ἀθηναίων ὁπλιτῶν δισχιλίων ὄντων ἐν Ἴμβρῳ, καὶ βοηθούντων τοῖς κατοικοῦσιν ἀθηναίων τὴν νῆσον, οὐ δυναμένου Φίλωνος τοῦ ἐπὶ τῆς διοικήσεως κεχειροτονημένου διὰ τοὺς χειμῶνας πλεῦσαι, καὶ μισθοδοτῆσαι τοὺς ὁπλίτας, ἐκ τῆς ἰδίας οὐσίας ἔδωκε, καὶ οὐκ εἰσέπραξε τὸν δῆμον, καὶ ἀναγορεῦσαι τὸν στέφανον διονυσίοις τραγῳδοῖς καινοῖς.

Ψήφισμα· Εἶπε Καλλίας Φρεάῤῥιος πρυτάνεων λεγόντων βουλῆς γνώμη. ἐπειδὴ Χαρίδημος ὁ ἐπὶ τῶν ὁπλιτῶν ἀποσταλεὶς εἰς Σαλαμῖνα, καὶ Διότιμος ὁ ἐπὶ τῶν ἱππέων ἐν τῇ ἐπὶ τοῦ ποταμοῦ μάχῃ τῶν στρατιωτῶν τινῶν ὑπὸ τῶν πολεμίων σκυλευθέντων, ἐκ τῶν ἰδίων ἀναλωμάτων καθώπλισαν τοὺς νεανίσκους ἀσπίσιν ὀκτακοσίαις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ στεφανῶσαι Χαρίδημον, καὶ Διότιμον χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι Παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ γυμνικῷ ἀγῶνι, καὶ διονυσίοις τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι θεσμοθέτας, πρυτάνεις, ἀγωνοθέτας. Τούτων ἕκαστος, Αἰσχίνη, τῆς μὲν ἀρχῆς ἧς ἦρχεν, ὑπεύθυνος ἦν, ἐφ' οἷς δ' ἐστεφανοῦτο, οὐχ ὑπεύθυνος· οὐκοῦν οὐδ' ἐγώ· ταὐτὰ γὰρ δίκαιά ἐστί μοι περὶ τῶν αὐτῶν τοῖς ἄλλοις δήπου· ἐπέδωκα, καὶ ἐπαινοῦμαι διὰ ταῦτα, οὐκ ὢν ὧν ἐπέδωκα ὑπεύθυνος· ἦρχον καὶ δέδωκά γε εὐθύνας ἐκείνων, οὐχ ὧν ἐπέδωκα νὴ δία· ἀλλ' ἀδίκως ἦρξα; εἶτα παρὼν ὅτε με εἰσῆγον οἱ λογισταί, διὰ τί οὐ κατηγόρεις; Ἵνα τοίνυν εἰδῆτε ὅτι αὐτὸς οὗτός μοι μαρτυρεῖ, ἐφ' οἷς οὐχ ὑπεύθυνος ἦν ἐστεφανοῦσθαι, λαβὼν ἀνάγνωθι τὸ ψήφισμα ὅλον τὸ γραφέν μοι· οἷς γὰρ οὐκ ἐγράψατο

τοῦ προβουλεύματος, τοῦτό τις ἃ διώκει, συκοφαντῶν φανήσεται. Λέγε.

Ψήφισμα. Ἐπὶ Ἄρχοντος Εὐθυκλέους πυανεψιῶνος ἐνάτῃ ἀπιόντος φυλῆς πρυτανευούσης Οἰνηΐδος Κτησιφῶν Λεωσθένους Ἀναφλύστιος εἶπεν· ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς γενόμενος ἐπιμελητὴς τῆς τῶν τειχῶν ἐπισκευῆς, καὶ προσαναλώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας τρία τάλαντα, ἐπέδωκε ταῦτα τῷ δήμῳ, καὶ ἐπὶ τοῦ θεωρικοῦ κατασταθεὶς ἐπέδωκε τοῖς ἐκ πασῶν τῶν φυλῶν θεωρικοῖς ἑκατὸν μνᾶς εἰς θυσίας, δεδόχθαι τῇ βουλῇ, καὶ τῷ δήμῳ τῶν Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα, ἀρετῆς ἕνεκα καὶ καλοκἀγαθίας, ἧς ἔχων διατελεῖ ἐν παντὶ καιρῷ εἰς τὸν δῆμον τῶν Ἀθηναίων, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις τραγῳδοῖς καινοῖς, τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι τὸν ἀγωνοθέτην. Οὐκοῦν ἃ μὲν ἐπέδωκα, ταῦτ' ἐστίν, ὧν οὐδὲν σὺ γέγραψαι· ἃ δέ φησιν ἡ βουλὴ δεῖν ἀντὶ τούτων γενέσθαι μοι, ταῦτ' ἔσθ' ἃ διώκεις. τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ; ὁ δὲ παμπόνηρος ἄνθρωπος, καὶ θεοῖς ἐχθρὸς καὶ βάσκανος ὄντως, ποῖός τις ἂν εἴη πρὸς θεῶν; οὐχ ὁ τοιοῦτος; καὶ μὴν περὶ τοῦ γε ἐν τῷ θεάτρῳ κηρύττεσθαι, τὸ μὲν μυριάκις μυρίας κεκηρῦχθαι παραλείπω, καὶ τὸ πολλάκις αὐτὸς ἐστεφανῶσθαι πρότερον, ἀλλὰ πρὸς θεῶν οὕτω σκαιὸς εἶ, καὶ ἀναίσθητος, Αἰσχίνη, ὥστε οὐ δύνασθαι λογίσασθαι, ὅτι τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, ὅπου ἂν ἀναῤῥηθῇ, τοῦ δὲ τῶν στεφανούντων ἕνεκα συμφέροντος ἐν τῷ θεάτρῳ γίγνεται τὸ κήρυγμα; οἱ γὰρ ἀκούσαντες ἅπαντες εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν προτρέπονται, καὶ τοὺς ἀποδιδόντας τὴν χάριν μᾶλλον ἐπαινοῦσι τῶν στεφανουμένων, διόπερ τὸν νόμον τοῦτον ἡ πόλις γέγραφε. Λέγε δ' αὐτόν μοι νόμον λαβών.

Νόμος. Ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις τῶν στεφάνων ποιεῖσθαι ἐν αὐτοῖς ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν μή τινας ὁ δῆμος ὁ τῶν Ἀθηναίων, ἢ ἡ βουλὴ στεφανοῖ, τούτους δὲ ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις ἀναγορεύεσθαι. Ἀκούεις, Αἰσχίνη, τοῦ νόμου λέγοντος σαφῶς, πλὴν ἐάν τινας ὁ δῆμος, ἢ

ἡ βου-

ἡ βουλὴ στεφανωσάτω, τούτους δὲ ἀναγορευέτω. τί οὖν ὦ ταλαίπωρε συκοφάντα; τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοις; ἀλλ' οὐδ' αἰσχύνῃ φθόνου δίκην εἰσάγων, οὐκ ἀδικήματος οὐδενός, καὶ νόμους τοὺς μὲν μεταποιῶν, τῶν δ' ἀφαιρῶν μέρη, οὓς ὅλους δίκαιον ἦν ἀναγινώσκεσθαι, τοῖς γε ὀμωμοκόσι κατὰ τοὺς νόμους ψηφιεῖσθαι; ἔπειτα τοιαῦτα ποιῶν λέγεις ἃ δεῖ προσεῖναι τῷ δημοτικῷ, ὥσπερ ἀνδριάντα ἐκδεδωκὼς κατὰ συγγραφήν, εἶτα οὐκ ἔχοντα ἃ προσῆκεν ἐκ τῆς συγγραφῆς κομιζόμενος, ἢ λόγῳ τοὺς δημοτικούς, ἀλλ' οὐ τοῖς πράγμασι, καὶ τοῖς πολιτεύμασι γινωσκομένους· καὶ βοᾷς ῥητὰ καὶ ἄρρητα ὀνομάζων, ὥσπερ ἐξ ἁμάξης, ἃ σοὶ καὶ τῷ σῷ γένει πρόσεστιν, οὐκ ἐμοί· καί τι καὶ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, ἐγὼ λοιδορίαν κατηγορίας τούτῳ διαφέρειν ἡγοῦμαι· τῷ τὴν μὲν κατηγορίαν ἀδικήματ' ἔχειν, ὧν ἐν τοῖς νόμοις εἰσὶν αἱ τιμωρίαι, τὴν δὲ λοιδορίαν, βλασφημίας, ἃς κατὰ τὴν αὐτῶν φύσιν τοῖς ἐχθροῖς περὶ ἀλλήλων συμβαίνοι λέγειν· οἰκοδομῆσαι δὲ τοὺς προγόνους ταυτὶ τὰ δικαστήρια ὑπείληφα, οὐχ ἵνα συλλέξαντες ὑμᾶς εἰς ταῦτα ἀπὸ τῶν ἰδίων, κακῶς τὰ ἀπόρρητα λέγωμεν ἀλλήλους, ἀλλ' ἵνα ἐξελέγχωμεν, ἐάν τις ἠδικηκώς τι τυγχάνῃ τὴν πόλιν· ταῦτα τοίνυν εἰδὼς Αἰσχίνης οὐδὲν ἧττον ἐμοῦ πομπεύειν ἀντὶ τοῦ κατηγορεῖν εἵλετο· οὐ μὴν οὐδ' ἐνταῦθα ἔλαττον ἔχων δίκαιός ἐστιν ἀπελθεῖν· Ἤδη δὲ ἐπὶ ταῦτα πορεύσομαι, τοσοῦτον αὐτὸν ἐρωτήσας, πότερόν σε τίς, Αἰσχίνη, τῆς πόλεως ἐχθρόν, ἢ ἐμὸν εἶναι φῇ; ἐμὸν δηλονότι· εἶτα οὗ μὲν ἦν παρ' ἐμοῦ δίκην κατὰ τοὺς νόμους ὑπὲρ τούτων λαβεῖν, εἴπερ ἠδίκουν, ἐξέλιπες ἐν ταῖς εὐθύναις, ἐν ταῖς γραφαῖς, ἐν ταῖς ἄλλαις κρίσεσιν· οὗ δ' ἐγὼ μὲν ἀθῷος ἅπασι, τοῖς νόμοις, τῷ χρόνῳ, τῇ προθεσμίᾳ, τῷ κεκρίσθαι περὶ πάντων πολλάκις τούτων πρότερον, τῷ μηδεπώποτε ἐξελεγχθῆναι μηδὲν ὑμᾶς ἀδικῶν, τῇ πόλει δ' ἢ πλεῖον ἢ ἔλαττον ἀνάγκη τῶν γε δημοσίᾳ πεπραγμένων μετεῖναι τῆς δόξης, ἐνταῦθα ἀπήντηκας; ὅρα, μὴ τούτων μὲν ἐχθρὸς ᾖς, ἐμοὶ δὲ προσποιῇ· ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος ἅπασι δέδεικται, δεῖ δέ με ὡς ἔοικε, καίπερ οὐ φιλολοίδορον ὄντα φύσει, διὰ τὰς ὑπὸ τούτου βλασφημίας εἰρημένας ἀντὶ πολλῶν καὶ ψευ-

ψελδῶν αὐτὰ τὰ ἀναγκαιότατα εἰπεῖν περὶ αὐτοῦ, καὶ δέξαι τίς ἂν, καὶ τίνα, ῥᾳδίως οὕτως ἄρχει τοῦ κακῶς λέγειν, καὶ λόγους τινὰς διασύρει, αὐτὸς εἰρηκὼς, ἃ τίς οὐκ ἂν ὤκνησε τῶν μετρίων ἀνθρώπων φθέγξασθαι; εἰ γὰρ Αἴακὸς, ἢ Ῥαδάμανθυς, ἢ Μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, ὄλεθρος γραμματεὺς, οὐκ ἂν αὐτὸν οἶμαι ταῦτ' εἰπεῖν, οὐδ' ἂν οὕτως ἐπαχθεῖς λόγους πορίσασθαι, ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα, ὦ γῆ καὶ ἥλιε καὶ ἀρετὴ, καὶ τὰ τοιαῦτα, καὶ πάλιν σύνεσιν καὶ παιδείαν ἐπικαλούμενον, ᾗ τὰ καλὰ καὶ τὰ αἰσχρὰ διαγιγνώσκεται· ταῦτα γὰρ δήπουθεν ἠκούετ' αὐτοῦ λέγοντος· σοὶ δὲ ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία; ἢ τῶν τοιούτων τίς διάγνωσις; πόθεν λαβόντι, ἢ πῶς ἀξιωθέντι; ποῦ δὲ παιδείας σοι θέμις μνησθῆναι, ἧς τῶν μὲν ὡς ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς εἴποι περὶ αὐτοῦ τοιοῦτον οὐδὲν, ἀλλὰ κἂν ἑτέρου λέγοντος ἐρυθριάσειε· τοῖς δὲ ἀπολειφθεῖσι μὲν, ὥσπερ σὺ, προσποιουμένοις δὲ ὑπ' ἀναισθησίας, τὸ τοὺς ἀκούοντας ἀλγεῖν ποιεῖν ὅταν λέγωσιν, οὐ τὸ δοκεῖν τοιούτοις εἶναι περίεστιν· Οὐκ ἀπορῶν δ' ὅ, τι χρὴ περὶ σοῦ, καὶ τῶν σῶν εἰπεῖν, ἀπορῶ τοῦ πρώτου μνησθῶ· πότερ' ὡς ὁ πατήρ σου Τρόμης Ἐδούλευε παρ' Ἐλπίᾳ τῷ πρὸς τῷ Θησείῳ διδάσκοντι γράμματα χοίνικας παχείας ἔχων καὶ ξύλον· ἢ ὡς ἡ μήτηρ σου τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ κλισίῳ τῷ πρὸς τῷ Καλαμίτῃ ἥρωι χρωμένη τὸν καλὸν ἀνδριάντα, καὶ τριταγωνιστὴν ἄκρον ἐξέθρεψέ σε· ἀλλὰ πάντες ἴσασι ταῦτα, κἂν ἐγὼ μὴ λέγω· ἀλλ' ὡς ὁ τριηραύλης Φορμίων ὁ Δίωνος τοῦ Φρεαρρίου δοῦλος ἀνέστησεν αὐτὴν ἀπὸ ταύτης τῆς καλῆς ἐργασίας; ἀλλὰ νὴ τὸν Δία, καὶ τοὺς θεοὺς, ὀκνῶ μὴ περὶ σοῦ τὰ προσήκοντα λέγων αὐτὸς οὐ προσήκοντας ἐμαυτῷ δόξω προῃρῆσθαι λόγους· ταῦτα μὲν οὖν ἐάσω· ἀπ' αὐτῶν δὲ ὧν αὐτὸς βεβίωκεν, ἄρξομαι· οὐδὲ γὰρ ὧν ἔτυχεν, ἦν, ἀλλ' οἷς ὁ δῆμος καταρᾶται· ὀψὲ γάρ ποτε, ὀψὲ λέγω, χθὲς μὲν οὖν καὶ πρώην ἅμα Ἀθηναῖος, καὶ ῥήτωρ γέγονε, καὶ δύο συλλαβὰς προσθεὶς τὸν μὲν πατέρα ἀντὶ Τρόμητος, ἐποίησεν Ἀτρόμητον· τὴν δὲ μητέρα σεμνῶς πάνυ Γλαυκοθέαν ὠνόμασεν, ἣν Ἔμπουσαν ἅπαντες ἴσασι καλουμένην ἐκ τοῦ πάντα ποιεῖν, καὶ πάσχειν δηλονότι, ταύτης τῆς ἐπωνυμίας τυχοῦσαν·

πόθεν

πόθεν γὰρ ἄλλοθεν; ἀλλ' ὅμως οὕτως ἀχάριστος ἦ καὶ πονηρὸς φύσει, ὥστε ἐλεύθερος ἐκ δούλου, καὶ πλούσιος ἐκ πτωχοῦ διὰ τουτουσὶ γεγονὼς, οὐχ ὅπως χάριν αὐτοῖς ἔχει, ἀλλὰ μισθώσας αὑτὸν κατὰ τουτωνὶ πολιτεύεται· καὶ περὶ ὧν μὲν ἐστί τις ἀμφισβήτησις ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω· ἃ δ' ὑπὲρ τῶν ἐχθρῶν φανερῶς ἀπεδείχθη πράττων, ταῦτα ἀναμνήσω· τίς γὰρ ὑμῶν οὐκ οἶδε τὸν ἀποψηφισθέντα Ἀντιφῶντα, ὃς ἐπαγγειλάμενος Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν τὰ ὑμέτερα, εἰς τὴν πόλιν ἦλθεν; ὃν λαβόντος ἐμοῦ κεκρυμμένον ἐν Πειραιεῖ, καὶ καταστήσαντος εἰς τὴν ἐκκλησίαν, βοῶν ὁ βάσκανος οὗτος καὶ κεκραγὼς, ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ, τοὺς ἠτυχηκότας τῶν πολιτῶν ὑβρίζων, καὶ ἐπ' οἰκίας βαδίζων, ἄνευ ψηφίσματος ἀφεθῆναι ἐποίησε. καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τὸ πρᾶγμα αἰσθομένη, καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ δέοντι συμβεβηκυῖαν ἰδοῦσα, ἐπεζήτησε τὸν ἄνθρωπον, καὶ συλλαβοῦσα ἐπανήγαγεν ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ τοιοῦτος, καὶ τὸ δίκην δοῦναι διαδὺς, ἐξεπέμπετ' ἂν ὑπὸ τοῦ σεμνολόγου τουτουί· νῦν δ' ὑμεῖς στρεβλώσαντες αὐτὸν ἀπεκτείνατε, ὡς ἔδει γε καὶ τοῦτον· τοιγαροῦν εἰδυῖα ταῦτα ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τὰ τότε τούτῳ πεπραγμένα, χειροτονησάντων αὐτὸν ὑμῶν σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ, ἀπὸ τῆς αὐτῆς ἀγνοίας, ἀφ' ἧς περ πολλὰ προΐεσθε τῶν κοινῶν, ὡς προσείλεσθε κἀκείνην, καὶ κυρίαν τοῦ πράγματος ἐποιήσατε, τοῦτον μὲν εὐθὺς ἀπήλασεν ὡς προδότην, Ὑπερείδην δὲ λέγειν προσέταξε, καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα τὴν ψῆφον ἔπραξε, καὶ οὐδεμία ψῆφος ἠνέχθη τῷ μιαρῷ τούτῳ. καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες. Μαρτυροῦσι Δημοσθένει ὑπὲρ ἁπάντων οἵδε· Καλλίας Σουνιεὺς, Ζήνων Φλυεὺς, Κλέων Φαληρεὺς, Δημόνικος Μαραθώνιος, ὅτι τοῦ δήμου ποτὲ χειροτονήσαντος Αἰσχίνην σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ εἰς τοὺς Ἀμφικτύονας, συνεδρεύσαντες ἡμεῖς ἐκρίναμεν Ὑπερείδην ἄξιον εἶναι μᾶλλον ὑπὲρ τῆς πόλεως λέγειν, καὶ ἀπεστάλη Ὑπερείδης. Οὐκοῦν ὅτε τούτου μέλλοντος λέγειν, ἀπήλασεν αὐτὸν ἡ βουλὴ, καὶ προσέταξεν ἑτέρῳ, τότε μὲν προδότην εἶναι, καὶ κακόνουν ὑμῖν ἀπέφηνεν· ἓν μὲν τοίνυν τοῦτο τοιοῦτο πολίτευμα τοῦ

νεανίᾳ τούτῳ, ὅμοιόν γε· οὐ γὰρ οἷς ἐμοῦ κατηγορεῖ· ἕτερον δὲ ἀναμιμνήσκεσθε. Ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον, καὶ παρὰ τῶν αὐτοῦ συμμάχων ἁπάντων συνέπεμψε πρέσβεις, ὡς ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν, καὶ δείξων ἀδικοῦσαν· τότε ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ, καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐκ εἶξα, οὐδ' ὑπεχώρησα· ἀλλ' ἀναστὰς ἀντεῖπον, καὶ τὰ τῆς πόλεως δίκαια οὐχὶ προὔδωκα· ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς οὕτως, ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν· οὗτος δὲ συνηγωνίζετο, καὶ τἀναντία ἐμαρτύρει τῇ πατρίδι, καὶ ταῦτα ψευδῆ. Καὶ οὐκ ἀπέχρη ταῦτα· ἀλλὰ καὶ πάλιν μετὰ ταῦθ' ὕστερον Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη· καίτοι ὅστις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνῄει, καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος, καὶ πολέμιος τῇ πατρίδι. Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

Μάρτυρες. Κελέδημος Κλέωνος, Ὑπερίδης Καλλαίσχρου, Νικόμαχος Διοφάντου, μαρτυροῦσι Δημοσθένει, καὶ ἐπωμόσαντο ἐπὶ τῶν στρατηγῶν, εἰδέναι Αἰσχίνην Ἀτρομήτου Κοθωκίδην συνερχόμενον νυκτὸς εἰς τὴν Θράσωνος οἰκίαν, καὶ κοινολογούμενον Ἀναξίνῳ, ὃς ἐκρίθη εἶναι κατάσκοπος παρὰ Φιλίππου. Αὗται ἀπεδόθησαν αἱ μαρτυρίαι ἐπὶ Νικίου ἑκατομβαιῶνος τρίτῃ ἱσταμένου. Μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ παραλείπω· καὶ γὰρ οὕτω πως ἔχει· πολλὰ ἂν ἐγὼ νῦν ἔτι τούτων ἔχοιμι δεῖξαι, ὧν οὗτος κατ' ἐκείνους τοὺς χρόνους τοῖς μὲν ἐχθροῖς ὑπηρετῶν, ἐμοὶ δ' ἐπηρεάζων εὑρέθη· ἀλλ' οὐ τίθεται ταῦτα παρ' ὑμῖν εἰς ἀκριβῆ μνήμην, οὐδ' ἣν προσῆκεν ὀργήν, ἀλλὰ δεδώκατε ἔθει τινὶ φαύλῳ πολλὴν ἐξουσίαν τῷ βουλομένῳ τὸν λέγοντά τι τῶν ὑμῖν συμφερόντων ὑποσκελίζειν, καὶ συκοφαντεῖν, τῆς ἐπὶ ταῖς λοιδορίαις ἡδονῆς καὶ χάριτος τὸ τῆς πόλεως συμφέρον ἀνταλλαττόμενοι· διόπερ ῥᾷόν ἐστι, καὶ ἀσφαλέστερον ἀεὶ τοῖς ἐχθροῖς ὑπηρετοῦντα μισθαρνεῖν, ἢ τὴν ὑπὲρ ὑμῶν ἑλόμενον τάξιν πολιτεύεσθαι. Καὶ τὸ μὲν δὴ πρὸ τοῦ πολεμεῖν φανερῶς συναγωνίζεσθαι Φιλίππῳ, δεινὸν μέν, ὦ γῆ καὶ θεοί· πῶς γὰρ οὔ, κατὰ τῆς πατρίδος; δότε δέ, εἰ βούλεσθε,

ὅτε αὐτῷ τοῦτο· ἀλλ' ἐπειδὴ φανερῶς ἤδη τὰ πλοῖα ἐσεσύλητο, Χερρόνησος ἐπορθεῖτο, ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετ' ἄνθρωπος, οὐκέτ' ἐν ἀμφισβητησίμῳ τὰ πράγματα ἦν, ἀλλ' ἐνειστήκει πόλεμος· ὅ, τι μὲν πώποτ' ἔπραξεν ὑπὲρ ὑμῶν ὁ βάσκανος οὑτοσὶ ἰαμβειογράφος, οὐκ ἂν ἔχοι δεῖξαι· οὐδ' ἔστιν οὔτε μεῖζον, οὔτ' ἔλαττον ψήφισμα οὐδὲν Αἰσχίνῃ περὶ τῶν συμφερόντων τῇ πόλει· εἰ δέ φησι, νῦν δειξάτω ἐπὶ τῷ ἐμῷ ὕδατι· ἀλλ' οὐκ ἔστιν οὐδέν· καί τοι δυοῖν αὐτὸν ἀνάγκη θάτερον, ἢ μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντα ἐγκαλεῖν, μὴ γράφειν παρὰ ταῦθ' ἕτερα, ἢ τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα, μὴ φέρειν εἰς μέσον τὰ τούτων ἀμείνω· ἆρ' οὖν οὐδ' ἔλεγεν, ὥσπερ οὐδ' ἔγραφεν, ἡνίκα ἐργάσασθαί τι δέοι κακὸν ὑμᾶς; οὐ μὲν οὖν ἦν εἰπεῖν ἑτέρῳ. Καὶ τὰ μὲν ἄλλα καὶ φέρειν ἠδύνατο ὡς ἔοικεν ἡ πόλις, ἃ ποιῶν οὗτος ἐλάνθανεν· ἓν δ' ἐπεξειργάσατο, ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ὃ πᾶσι τοῖς προτέροις ἐπέθηκε τέλος, περὶ οὗ τοὺς πολλοὺς ἀνήλωσε λόγους τὰ τῶν Ἀμφισσέων τῶν Λοκρῶν διεξιὼν δόγματα, ὡς διαστρέψων τἀληθές· τὸ δ' οὐ τοιοῦτόν ἐστι· πόθεν; πολλοῦ γε καὶ δεῖ· οὐδέ ποτ' ἐκνίψῃ σὺ τὰ πεπραγμένα σαυτῷ, οὐχ οὕτω πολλὰ ἐρεῖς. Καλῶ δὲ ἐναντίον ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς ἅπαντας, καὶ πάσας, ὅσοι τὴν χώραν ἔχουσι τὴν Ἀττικήν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον, ὃς πατρῷός ἐστι πόλει, καὶ ἐπεύχομαι πᾶσι τούτοις· εἰ μὲν ἀληθῆ πρὸς ὑμᾶς εἴποιμι, καὶ εἶπον τότ' εὐθὺς ἐν τῷ δήμῳ, ὅτε πρῶτον εἶδον τουτονὶ τὸν μιαρὸν τούτου τοῦ πράγματος ἁπτόμενον (ἔγνων γὰρ εὐθέως ἔγνων) εὐτυχίαν μοι δοῦναι, καὶ σωτηρίαν· εἰ δὲ πρὸς ἔχθραν, ἢ φιλονεικίας ἰδίας ἕνεκα αἰτίαν ἐπάγω τούτῳ ψευδῆ, πάντων τῶν ἀγαθῶν ἀνόνητόν με ποιῆσαι. τί οὖν ταῦτ' ἐπεύχομαι, καὶ διατείνομαι οὑτωσὶ σφοδρῶς; ὅτι καὶ γράμματ' ἔχων ἐν τῷ δημοσίῳ κείμενα, ἐξ ὧν ταῦτ' ἐπιδείξω σαφῶς, καὶ ὑμᾶς εἰδὼς τὰ πεπραγμένα μνημονεύοντας, ἐκεῖνο φοβοῦμαι, μὴ τῶν εἰργασμένων αὐτῷ κακῶν οὗτος ἐλάττων ὑποληφθῇ· ὅπερ πρότερον συνέβη, ὅτε τοὺς ταλαιπώρους Φωκέας ἐποίησεν ἀπολέσθαι, τὰ ψευδῆ δεῦρ' ἀπαγγείλας· τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν ἦλθε Φίλιππος, καὶ δι' ὃν ᾑρέθη τῶν Ἀμφικτυόνων ἡγεμών, ὃς ἅπαντ' ἀνέτρε-

ψε τὴν ἡλικίαν, οὗτός ἐστιν ὁ συγκατασκευάσας, καὶ πάντων εἷς ἀνὴρ τῶν μεγίστων αἴτιος κακῶν· καὶ τότ' εὐθὺς ἐμοῦ διαμαρτυρομένου, καὶ βοῶντος ἐν τῇ ἐκκλησίᾳ, πόλεμον εἰς τὴν Ἀττικὴν εἰσάγεις, Αἰσχίνη, πόλεμον Ἀμφικτυονικὸν, οἱ μὲν ἐκ παρακλήσεως συγκαθήμενοι, οὐκ εἴων με λέγειν· οἱ δὲ ἐθαύμαζον, καὶ κενὴν αἰτίαν διὰ τὴν ἰδίαν ἔχθραν ἐπάγειν με ὑπελάμβανον αὐτῷ· ἥτις δὲ ἡ φύσις, ὦ ἄνδρες Ἀθηναῖοι, γέγονε τούτων τῶν πραγμάτων, καὶ τίνος ἕνεκα ταῦτα συνεσκευάσθη, καὶ πῶς ἐπράχθη, νῦν ἀκούσατε, ἐπειδὴ τότε ἐκωλύθητε· καὶ γὰρ εὖ πρᾶγμα συντεθὲν ὄψεσθε, καὶ μεγάλα ὠφελήσεσθε πρὸς ἱστορίαν τῶν κοινῶν. καὶ ὅση δεινότης ἦν ἐν τῷ Φιλίππῳ, θεάσασθε· Οὐκ ἦν τοῦ πρὸς ὑμᾶς πολέμου πέρας, οὐδ' ἀπαλλαγὴ Φιλίππῳ, εἰ μὴ Θηβαίους καὶ Θετταλοὺς ἐχθροὺς ποιήσειε τῇ πόλει· ἀλλὰ καίπερ ἀθλίως καὶ κακῶς τῶν στρατηγῶν τῶν ὑμετέρων πολεμούντων αὐτῷ, ὅμως ὑπ' αὐτοῦ τοῦ πολέμου καὶ τῶν λῃστῶν μυρία ἔπασχε κακά· οὔτε γὰρ ἐξήγετο τῶν ἐκ τῆς χώρας γιγνομένων οὐδὲν, οὔτ' εἰσήγετο, ὧν ἐδεῖτο αὐτῷ· ἦν δὲ οὔτε ἐν τῇ θαλάττῃ κρείττων τότε ὑμῶν, οὔτε εἰς τὴν Ἀττικὴν ἐλθεῖν δυνατὸς, μήτε Θετταλῶν ἀκολουθούντων, μήτε Θηβαίων διιέντων· συνέβαινε δὲ αὐτῷ τῷ πολέμῳ κρατοῦντι τοὺς ὁποίους δήποθ' ὑμεῖς ἐξεπέμπετε στρατηγοὺς, ἐῶ γὰρ τοῦτό γε, αὐτῇ τῇ φύσει τοῦ τόπου καὶ τῶν ὑπαρχόντων ἑκατέροις κακοπαθεῖν· εἰ μὲν οὖν τῆς ἰδίας ἕνεκεν ἔχθρας ἢ τοὺς Θετταλοὺς, ἢ τοὺς Θηβαίους συμπείθοι βαδίζειν ἐφ' ὑμᾶς, οὐδὲν ἂν ἡγεῖτο προσέξειν αὐτῷ τὸν νοῦν· ἂν δὲ τὰς ἐκείνων κοινὰς προφάσεις λαβὼν, ἡγεμὼν αἱρεθῇ, ῥᾷον ἤλπιζε τὰ μὲν παρακρούσεσθαι, τὰ δὲ πείσειν· τί οὖν ἐπιχειρεῖ, θεάσασθε ὡς εὖ· πόλεμον ποιῆσαι τοῖς Ἀμφικτύοσι, καὶ περὶ τὴν Πυλαίαν ταραχήν· εἰς γὰρ ταῦτ' εὐθὺς αὐτοὺς ὑπελάμβανεν αὐτοῦ δεήσεσθαι· εἰ μὲν τοίνυν τοῦτον ἢ τῶν παρ' ἑαυτοῦ πεμπομένων ἱερομνημόνων ἢ τῶν ἐκείνου συμμάχων εἰσηγοῖτό τις, ὑπόψεσθαι τὸ πρᾶγμα ἐνόμιζε καὶ τοὺς Θηβαίους καὶ τοὺς Θετταλοὺς, καὶ πάντας φυλάξεσθαι· ἂν δὲ Ἀθηναῖος ᾖ, καὶ παρ' ὑμῶν τῶν ὑπεναντίων ὁ τοῦτο ποιῶν, εὐπόρως λήσειν, ὅπερ συνέβη· πῶς οὖν ταῦτ' ἐποίησε; μισθοῦται τουτονί· οὐδενὸς δὲ προειδότος, οἶμαι, τὸ πρᾶγμα οὐδὲ φυλατ-

λάτ-

λαθόντος, ὥσπερ εἴωθε τὰ τοιαῦτα παρ' ὑμῖν γίγνεσθαι, προβληθεὶς Πυλαγόρας οὗτος, καὶ τριῶν ἢ τεττάρων χειροτονησάντων αὐτὸν, ἀνερρήθη· ὡς δὲ τὸ τῆς πόλεως ἀξίωμα λαβὼν ἀφίκετο εἰς τοὺς Ἀμφικτύονας, πάντα τἄλλ' ἀφεὶς καὶ παριδὼν, ἐπέραινεν ἐφ' οἷς ἐμισθώθη· καὶ λόγους εὐπροσώπους καὶ μύθους, ὅθεν ἡ Κιρραία χώρα καθιερώθη, συνθεὶς καὶ διεξελθὼν, ἀνθρώπους ἀπείρους λόγων, καὶ τὸ μέλλον οὐ προορωμένους τοὺς ἱερομνήμονας, πείθει ψηφίσασθαι περιελθεῖν τὴν χώραν, ἣν οἱ μὲν Ἀμφισσεῖς σφῶν αὐτῶν οὖσαν γεωργεῖν ἔφασαν· οὗτος δὲ τῆς ἱερᾶς χώρας ᾐτιᾶτο εἶναι οὐδεμίαν δίκην τῶν Λοκρῶν ἐπαγόντων ἡμῖν, οὐδ' ἃ νῦν οὗτος λέγων προφασίζεται οὐκ ἀληθῆ· γνώσεσθε δ' ἐκεῖθεν· οὐκ ἐνῆν ἄνευ τοῦ προσκαλέσασθαι δήπου τοῖς Λοκροῖς δίκην κατὰ τῆς πόλεως συντελέσασθαι· τίς οὖν ἐκλήτευσεν ὑμᾶς; ἀπὸ ποίας ἀρχῆς; εἰπὲ τὸν εἰδότα, δεῖξον. ἀλλ' οὐκ ἂν ἔχοις, ἀλλὰ κενῇ προφάσει ταύτῃ κατεχρῶ καὶ ψευδεῖ· Περιιόντων τοίνυν τὴν χώραν τῶν Ἀμφικτυόνων κατὰ τὴν ὑφήγησιν τὴν τούτου, προσπεσόντες οἱ Λοκροὶ, μικροῦ μὲν ἅπαντας κατηκόντισαν· τινὰς δὲ καὶ συνήρπασαν τῶν ἱερομνημόνων· ὡς δ' ἅπαξ ἐκ τούτων ἐγκλήματα καὶ πόλεμος πρὸς τοὺς Ἀμφισσεῖς ἐταράχθη, τὸ μὲν πρῶτον, ὁ Κόττυφος αὐτῶν τῶν Ἀμφικτυόνων ἤγαγε στρατιάν· ὡς δὲ οἱ μὲν οὐκ ἦλθον, οἱ δ' ἐλθόντες οὐδὲν ἐποίουν, εἰς τὴν ἐπιοῦσαν πυλαίαν ἐπὶ τὸν φίλιππον εὐθὺς ἡγεμόνα ἦγον οἱ κατεσκευασμένοι, καὶ πάλαι πονηροὶ τῶν Θετταλῶν, καὶ τῶν ἐν ταῖς ἄλλαις πόλεσι, καὶ προφάσεις εὐλόγους εἰλήφεσαν· ἢ γὰρ αὐτοὺς εἰσφέρειν καὶ ξένους τρέφειν ἔφασαν δεῖν, καὶ ζημιοῦν τοὺς μὴ ταῦτα ποιοῦντας, ἢ ἐκεῖνον αἱρεῖσθαι· τί δεῖ τὰ πολλὰ λέγειν; ᾑρέθη γὰρ ἐκ τούτων ἡγεμὼν, καὶ μετὰ ταῦτ' εὐθὺς δύναμιν συλλέξας, καὶ παρελθὼν ὡς ἐπὶ τὴν Κιρραίαν, ἐρρῶσθαι φράσας πολλὰ καὶ Κιρραίοις καὶ Λοκροῖς, τὴν Ἐλάτειαν καταλαμβάνει· εἰ μὲν οὖν μὴ μετέγνωσαν εὐθὺς Θηβαῖοι καὶ μεθ' ἡμῶν ἐγένοντο, ὥσπερ χειμάρρους ἂν ἅπαν τοῦτο τὸ πρᾶγμα εἰς τὴν πόλιν εἰσέπεσε· νῦν δὲ τό γε ἐξαίφνης ἐπέσχον αὐτὸν ἐκεῖνοι· μάλιστα μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, θεῶν τινὸς εὐνοίᾳ πρὸς ὑμᾶς· εἶτα μέντοι, καὶ ὅσον καθ' ἕνα ἄνδρα, καὶ δι' ἐμέ. Δός δέ μοι τὰ δόγματα ταῦτα, καὶ τοὺς χρό-

νους, ἐν οἷς ἕκαστα πέπρακται· ἵν' εἰδῆτε ἡλίκα πράγματα ἡ μικρὰ κεφαλὴ παρέξασα αὕτη δίκην οὐκ ἔδωκε, λέγε μοι τὰ δόγματα·

Δόγμα Ἀμφικτυόνων· Ἐπὶ ἱερέως Κλειναγόρου ἐαρινῆς πυλαίας, ἔδοξε τοῖς Πυλαγόραις καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων, ἐπειδὴ Ἀμφισσεῖς ἐπιβαίνουσιν ἐπὶ τὴν ἱερὰν χώραν, καὶ σπείρουσι, καὶ βοσκήμασι κατανέμουσιν, ἐπελθεῖν τοὺς Πυλαγόρας, καὶ τοὺς συνέδρους, καὶ στήλαις διαλαβεῖν τοὺς ὅρους, καὶ ἀπειπεῖν τοῖς Ἀμφισσεῦσι τοῦ λοιποῦ μὴ ἐπιβαίνειν.

Ἕτερον δόγμα. Ἐπὶ ἱερέως Κλειναγόρου ἐαρινῆς πυλαίας ἔδοξε τοῖς Πυλαγόραις, καὶ τοῖς συνέδροις τῶν Ἀμφικτυόνων, καὶ τῷ κοινῷ τῶν Ἀμφικτυόνων, ἐπειδὴ οἱ ἐξ Ἀμφίσσης τὴν ἱερὰν χώραν κατανειμάμενοι γεωργοῦσι, καὶ βοσκήματα νέμουσι, καὶ κωλυόμενοι τοῦτο ποιεῖν ἐν τοῖς ὅπλοις παραγενόμενοι τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον κεκωλύκασι μετὰ βίας, τινὰς δὲ καὶ τετραυματίκασι, καὶ τὸν στρατηγὸν τὸν ᾑρημένον τῶν Ἀμφικτυόνων Κόττυφον τὸν Ἀρκάδα, πρεσβεῦσαι πρὸς Φίλιππον τὸν Μακεδόνα, καὶ ἀξιοῦν, ἵνα βοηθήσῃ τῷ τε Ἀπόλλωνι καὶ τοῖς Ἀμφικτυόσιν, ὅπως μὴ περιΐδῃ ὑπὸ τῶν ἀσεβῶν Ἀμφισσέων τὸν θεὸν πλημμελούμενον, καὶ διότι αὐτὸν στρατηγὸν αὐτοκράτορα αἱροῦνται οἱ Ἕλληνες οἱ μετέχοντες τοῦ συνεδρίου τῶν Ἀμφικτυόνων· Λέγε δὴ καὶ τοὺς χρόνους, ἐν οἷς ταῦτ' ἐγίγνετο· εἰσὶ γὰρ, καθ' οὓς ἐπυλαγόρησεν οὗτος. Λέγε.

Χρόνοι. Ἄρχων Μνησιθείδης μηνὸς Ἀνθεστηριῶνος ἕκτῃ ἐπιδεκάτῃ. Δὸς δή μοι τὴν ἐπιστολὴν, ἣν ὡς οὐχ ὑπήκουον οἱ Θηβαῖοι, πέμπει πρὸς τοὺς ἐν Πελοποννήσῳ συμμάχους ὁ Φίλιππος, ἵν' εἰδῆτε καὶ ἐκ ταύτης σαφῶς, ὅτι τὴν μὲν ἀληθῆ πρόφασιν τῶν πραγμάτων, τὸ ταῦτ' ἐπὶ τὴν Ἑλλάδα, καὶ τοὺς Θηβαίους, καὶ ὑμᾶς πράττειν, ἀπεκρύπτετο, κοινὰ δὲ καὶ τοῖς Ἀμφικτυόσι δόξαντα ποιεῖν προσεποιεῖτο· ὁ δὲ τὰς ἀφορμὰς ταύτας καὶ τὰς προφάσεις παραδοὺς αὐτῷ, οὗτος ἦν. Λέγε.

Ἐπιστολὴ Φιλίππου.

Βασιλεὺς Μακεδόνων Φίλιππος, Πελοποννησίων τῶν ἐν τῇ συμμαχίᾳ τοῖς δημιουργοῖς, καὶ τοῖς συνέδροις, καὶ τοῖς ἄλλοις συμμάχοις πᾶσι χαίρειν· Ἐπειδὴ Λοκροὶ,

οἱ

οἱ καλούμενοι Ὀζόλαι κατοικοῦντες ἐν Ἀμφίσσῃ πλημμελοῦσιν εἰς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Δελφοῖς, καὶ τὴν ἱερὰν χώραν ἐρχόμενοι μεθ' ὅπλων λεηλατοῦσι, βούλομαι τῷ θεῷ μεθ' ὑμῶν βοηθεῖν, καὶ ἀμύνασθαι τοὺς παραβαίνοντάς τι τῶν ἐν ἀνθρώποις εὐσεβῶν· ὥστε συναντᾶτε μετὰ τῶν ὅπλων εἰς τὴν Φωκίδα ἔχοντες ἐπισιτισμὸν ἡμερῶν τετταράκοντα, τοῦ ἐνεστῶτος μηνὸς Λώου, ὡς ἡμεῖς ἄγομεν· ὡς δὲ Ἀθηναῖοι, Βοηδρομιῶνος· ὡς δὲ Κορίνθιοι, Πανέμου· τοῖς δὲ ἡμῖν συναντήσασι πανδημεὶ χρησόμεθα συμβούλοις, τοῖς δὲ μὴ προσθεμένοις, ἐπιζημίοις. Εὐτυχεῖτε.

Ὁρᾶθ' ὅτι φεύγει μὲν τὰς ἰδίας προφάσεις, εἰς δὲ τὰς Ἀμφικτυονικὰς καταφεύγει; τίς οὖν ὁ ταῦτα συμπαρασκευάσας αὐτῷ; τίς ὁ τὰς προφάσεις ταύτας ἐνδούς; τίς ὁ τῶν κακῶν τῶν γεγενημένων μάλιστα αἴτιος; οὐχ οὗτος; μὴ τοίνυν λέγετε, ὦ ἄνδρες Ἀθηναῖοι, περιιόντες, ὡς ὑφ' ἑνὸς τοιαῦτα πέπονθεν ἡ Ἑλλὰς ἀνθρώπου· οὐχ ὑφ' ἑνός, ἀλλ' ὑπὸ πολλῶν καὶ πονηρῶν τῶν παρ' ἑκάστοις, ὦ γῆ καὶ θεοί· ὧν εἷς οὑτοσὶ ἐστίν, ὃν εἰ μηδὲν εὐλαβηθέντα τἀληθὲς εἰπεῖν δέοι, οὐκ ἂν ὀκνήσαιμι ἔγωγε κοινὸν ἀλιτήριον τῶν μετὰ ταῦτα ἀπολωλότων ἁπάντων εἰπεῖν, ἀνθρώπων, τόπων, πόλεων· ὁ γὰρ τὸ σπέρμα παρασχών, οὗτος τῶν φύντων κακῶν αἴτιος· ὃν ὅπως ποτὲ οὐκ εὐθὺς ἰδόντες ἀπεστράφητε, θαυμάζω· πλὴν πολύ τι σκότος, ὡς ἔοικεν, ἐστὶ παρ' ὑμῖν πρὸ τῆς ἀληθείας. Συμβέβηκε τοίνυν μοι τῶν κατὰ τῆς πατρίδος τούτῳ πεπραγμένων ἐφαψαμένῳ, εἰς ἃ τούτοις ἐναντιούμενος αὐτὸς πεπολίτευμαι, ἀφῖχθαι· ἃ πολλῶν μὲν ἕνεκα εἰκότως ἀκούσετέ μου, μάλιστα δ' ὅτι αἰσχρόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ μὲν τὰ ἔργα τῶν ὑπὲρ ὑμῶν πόνων ὑπέμεινα, ὑμεῖς δὲ μηδὲ τοὺς λόγους αὐτῶν ἀνέξεσθε· ὁρῶν γὰρ ἐγὼ Θηβαίους, σχεδὸν δὲ καὶ ὑμᾶς ὑπὸ τῶν τὰ Φιλίππου πραττόντων, καὶ διεφθαρμένων παρ' ἑκατέροις, ὃ μὲν ἦν ἀμφοτέροις φοβερόν, καὶ φυλακῆς πολλῆς δεόμενον, τὸ τὸν Φίλιππον ἐᾶν αὐξάνεσθαι παρορῶντας, καὶ οὐδὲ καθ' ἓν φυλαττομένους, εἰς ἔχθραν δὲ καὶ τὸ προσκρούειν ἀλλήλοις ἑτοίμως ἔχοντας, ὅπως τοῦτο μὴ γένηται, παρατηρῶν διετέλουν, οὐκ ἀπὸ τῆς ἐμαυτοῦ γνώμης μόνον ταῦτα συμφέρειν ὑπολαμβάνων, ἀλλ' εἰδὼς Ἀριστοφῶντα,

φῶντα, καὶ πάλιν Εὔβουλον, πάντα τὸν χρόνον βουλομένους πρᾶξαι ταύτην τὴν φιλίαν, καὶ περὶ τῶν ἄλλων πολλάκις ἀντιλέγοντας ἑαυτοῖς, τοῦτο ὁμογνωμονοῦντας ἀεί, οὓς σὺ ζῶντας μὲν, ὦ κίναδος, κολακεύων παρηκολούθεις· τεθνεώτων δ' οὐκ αἰσχύνῃ κατηγορῶν· ἃ γὰρ περὶ Θηβαίων ἐπιτιμᾷς ἐμοί, ἐκείνων πολὺ μᾶλλον, ἢ ἐμοῦ κατηγορεῖς, τῶν πρότερον ἢ ἐγὼ ταύτην τὴν συμμαχίαν δοκιμασάντων· Ἀλλ' ἐκεῖσε ἐπάνειμι· ὅτι τὸν ἐν Ἀμφίσσῃ πόλεμον τούτου μὲν ποιήσαντος, συμπεραναμένων δὲ τῶν ἄλλων τῶν συνεργῶν αὐτῷ τὴν πρὸς τοὺς Θηβαίους ἔχθραν, συνέβη τὸν Φίλιππον ἐλθεῖν ἐφ' ἡμᾶς, οὗπερ ἕνεκα τὰς πόλεις οὗτοι συνέκρουον. καὶ εἰ μὴ προεξανέστημεν μικρὸν, οὐδ' ἀναλαβεῖν αὐτοὺς ἂν ἠδυνήθημεν· οὕτω μέχρι πόῤῥω προήγαγον οὗτοι τὸ πρᾶγμα· ἐν οἷς δὲ ἦτε ἤδη τὰ πρὸς ἀλλήλους τουτωνὶ τῶν ψηφισμάτων ἀκούσαντες καὶ τῶν ἀποκρίσεων, εἴσεσθε· Καί μοι λέγε ταῦτα λαβών.

Ψήφισμα. Ἐπὶ Ἄρχοντος Ἡροπύθου μηνὸς ἐλαφηβολιῶνος ἕκτῃ φθίνοντος φυλῆς πρυτανευούσης Ἐρεχθηΐδος, βουλῆς, καὶ στρατηγῶν γνώμη, ἐπειδὴ Φίλιππος τινὰς μὲν κατείληφε πόλεις τῶν ἀστυγειτόνων, τινὰς δὲ πορθεῖ, κεφαλαίῳ δὲ ἐπὶ τὴν Ἀττικὴν παρασκευάζεται παραγίγνεσθαι, παρ' οὐδὲν ἡγούμενος τὰς ἡμετέρας συνθήκας, καὶ τοὺς ὅρκους λύειν ἐπιβάλλεται, καὶ τὴν εἰρήνην παραβαίνων τὰς κοινὰς πίστεις, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ, πέμπειν πρὸς αὐτὸν πρέσβεις, οἵτινες αὐτῷ διαλέξονται, καὶ παρακαλέσουσιν αὐτὸν μάλιστα μὲν τὴν πρὸς ἡμᾶς ὁμόνοιαν διατηρεῖν καὶ τὰς συνθήκας· εἰ δὲ μή, πρὸς τὸ βουλεύσασθαι δοῦναι χρόνον τῇ πόλει, καὶ τὰς ἀνοχὰς ποιήσασθαι μέχρι τοῦ Θαργηλιῶνος μηνός· ᾑρέθησαν ἐκ τῆς βουλῆς Σῖμος Ἀναγυῤῥάσιος, Εὐθύδημος Φλιάσιος, Βουλαγόρας ἀλωπεκῆθεν.

Ἕτερον Ψήφισμα. Ἐπὶ Ἄρχοντος Ἡροπύθου μηνὸς μουνυχιῶνος ἕνῃ καὶ νέᾳ, πολεμάρχου γνώμη, ἐπειδὴ Φίλιππος εἰς ἀλλοτριότητα Θηβαίους πρὸς ὑμᾶς ἐπιβάλλεται καταστῆσαι, παρεσκευάσαι δὲ καὶ παντὶ τῷ στρατεύματι πρὸς τοὺς ἔγγιστα τῆς Ἀττικῆς παραγίγνεσθαι τόπους, παραβαίνων τὰς πρὸς ἡμᾶς ὑπαρχούσας αὐτῷ συνθήκας, δεδόχθαι τῇ βουλῇ, καὶ

τῷ

τῷ δήμῳ, πέμψαι πρὸς αὐτὸν κήρυκα, καὶ πρέσβεις, οἵτινες ἀξιώσουσι, καὶ παρακαλέσουσιν αὐτὸν ποιήσασθαι τὰς ἀνοχάς, ὅπως ἐνδεχομένως ὁ δῆμος βουλεύσηται· καὶ γὰρ νῦν οὐ κέκρικε βοηθεῖν ἐν οὐδενὶ τῶν μετρίων, ἡρέθησαν ἐκ τῆς βουλῆς Νέαρχος Σωσινόμου, Πολυκράτης ἐπίφρονος, καὶ κήρυξ Εὔνομος Ἀναφλύστιος ἐκ τοῦ δήμου. Λέγε δὴ καὶ τὰς ἀποκρίσεις.

Ἀπόκρισις ἀθηναίοις. Βασιλεὺς Μακεδόνων φίλιππος ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ, χαίρειν· Ἣν μὲν ἀπ' ἀρχῆς εἴχετε πρὸς ἡμᾶς αἵρεσιν, οὐκ ἀγνοῶ, καὶ τίνα σπουδὴν ποιεῖσθε, προσκαλέσασθαι βουλόμενοι Θετταλοὺς, καὶ Θηβαίους, ἔτι δὲ καὶ Βοιωτούς· βέλτιον δ' αὐτῶν φρονούντων, καὶ μὴ βουλομένων ἐφ' ὑμῖν ποιήσασθαι τὴν ἑαυτῶν αἵρεσιν, ἀλλὰ κατὰ τὸ συμφέρον ἱσταμένων, νῦν ἐξ ὑποστροφῆς ἀποστείλαντες ὑμεῖς πρός με πρέσβεις καὶ κήρυκας συνθηκῶν μνημονεύετε, καὶ τὰς ἀνοχὰς αἰτεῖσθε, κατ' οὐδὲν ὑφ' ἡμῶν πεπληγμένοι· ἐγὼ μέν τοι ἀκούσας τῶν πρεσβευτῶν συγκατατίθεμαι τοῖς παρακαλουμένοις, καὶ ἕτοιμός εἰμι ποιεῖσθαι τὰς ἀνοχάς, ἄνπερ τοὺς οὐκ ὀρθῶς συμβουλεύοντας ὑμῖν παραπέμψαντες, τῆς προσηκούσης ἀτιμίας ἀξιώσητε· ἔρρωσθε.

Ἀπόκρισις Θηβαίοις. Βασιλεὺς Μακεδόνων φίλιππος Θηβαίων τῇ βουλῇ καὶ τῷ δήμῳ, χαίρειν. Ἐκομισάμην τὴν παρ' ὑμῶν ἐπιστολήν, δι' ἧς μοι τὴν ὁμόνοιαν καὶ τὴν εἰρήνην ἀνανεοῦσθε· πυνθάνομαι μέντοι, διότι πᾶσαν ὑμῖν ἀθηναῖοι προσφέρονται φιλοτιμίαν βουλόμενοι ὑμᾶς συγκαταίνους γενέσθαι τοῖς ὑπ' αὐτῶν παρακαλουμένοις· πρότερον μὲν οὖν ὑμῶν κατεγίγνωσκον ἐπὶ τῷ μέλλειν πείθεσθαι ταῖς ἐκείνων ἐλπίσι, καὶ ἐπακολουθεῖν αὐτῶν τῇ προαιρέσει· νῦν δ' ἐπιγνοὺς ὑμᾶς τὰ πρὸς ἡμᾶς ἐζητηκότας ἔχειν εἰρήνην μᾶλλον, ἢ ταῖς ἑτέρων ἐπακολουθεῖν γνώμαις, ἥσθην· καὶ μᾶλλον ὑμᾶς ἐπαινῶ, κατὰ πολλά, μάλιστα δ' ἐπὶ τῷ βουλεύσασθαι περὶ τούτων ἀσφαλέστερον, καὶ τὰ πρὸς ἡμᾶς ἔχειν ἐν εὐνοίᾳ. ὅπερ οὐ μικρὰν ὑμῖν οἴσειν ἐλπίζω ῥοπήν, ἐάνπερ ἐπὶ ταύτης μένητε τῆς προθέσεως. Ἔρρωσθε.

Οὕτω διαθεὶς ὁ φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρίσεσιν, ἧκεν ἔχων τὴν

δυνά-

δυνάμιν, καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ' ἂν εἴ τι γένοιτο, ἔτι συμπνευσάντων ὑμῶν καὶ τῶν Θηβαίων· ἀλλὰ μὴν τὸν τότε συμβάντα ἐν τῇ πόλει θόρυβον ἴστε μὲν ἅπαντες· μικρὰ δ' ἀκούσατε ὅμως, αὐτὰ τὰ ἀναγκαιότατα· ἑσπέρα μὲν γὰρ ἦν· ἧκε δ' ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια κατείληπται· καὶ μετὰ ταῦτα οἱ μὲν, εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες τούς τε ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον, καὶ τὰ γέρρα ἐνεπίμπρασαν, οἱ δὲ τοὺς στρατηγοὺς μετεπέμποντο, καὶ τὸν σαλπιγκτὴν ἐκάλουν, καὶ θορύβου πλήρης ἦν ἡ πόλις· τῇ δ' ὑστεραίᾳ, ἅμα τῇ ἡμέρᾳ, οἱ μὲν πρυτάνεις τὴν βουλὴν ἐκάλουν εἰς τὸ βουλευτήριον· ὑμεῖς δ' εἰς τὴν ἐκκλησίαν ἐπορεύεσθε· καὶ πρὶν ἐκείνην χρηματίσαι καὶ προβουλεῦσαι, πᾶς ὁ δῆμος ἄνω καθῆτο, καὶ μετὰ ταῦτα ὡς εἰσῆλθεν ἡ βουλὴ, καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προσηγγελμένα ἑαυτοῖς, καὶ τὸν ἥκοντα παρήγαγον, κἀκεῖνος εἶπεν, ἠρώτα μὲν ὁ κήρυξ, τίς ἀγορεύειν βούλεται; παρῄει δ' οὐδείς· πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶντος οὐδὲν μᾶλλον ἀνίστατο οὐδεὶς, ἁπάντων μὲν τῶν στρατηγῶν παρόντων, ἁπάντων δὲ τῶν ῥητόρων, καλούσης δὲ τῆς κοινῆς τῆς πατρίδος φωνῆς τὸν ἐροῦνθ' ὑπὲρ σωτηρίας· ἣν γὰρ ὁ κήρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιόν ἐστιν ἡγεῖσθαι· καί τοι, εἰ μὲν τοὺς σωθῆναι τὴν πόλιν βουλομένους παρελθεῖν ἔδει, πάντες ἂν ὑμεῖς καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἀναστάντες ἐπὶ τὸ βῆμα ἐβαδίζετε· πάντες γὰρ, οἶδ', ὅτι σωθῆναι αὐτὴν ἐβούλεσθε· εἰ δὲ τοὺς πλουσιωτάτους, οἱ τριακόσιοι· εἰ δὲ τοὺς ἀμφότερα ταῦτα, καὶ εὔνους τῇ πόλει καὶ πλουσίους, οἱ μετὰ ταῦτα τὰς μεγάλας ἐπιδόσεις ἐπιδόντες· καὶ γὰρ εὐνοίᾳ καὶ πλούτῳ τοῦτ' ἐποίησαν. ἀλλ' ὡς ἔοικεν, ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη οὐ μόνον εὔνουν, καὶ πλούσιον ἄνδρα ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς, καὶ συλλελογισμένον ὀρθῶς, τίνος ἕνεκα ταῦτ' ἔπραττεν ὁ φίλιππος, καὶ τί βουλόμενος· ὁ γὰρ μὴ ταῦτ' εἰδὼς, μήτ' ἐξητακὼς πόῤῥωθεν ἐπιμελῶς, οὔτ' εἰ εὔνους ἦν, οὔτ' εἰ πλούσιος, οὐδὲν μᾶλλον ἔμελλεν ὅ, τι χρὴ ποιεῖν εἴσεσθαι, οὐδ' ὑμῖν ἕξειν συμβουλεύειν· Ἐφάνην τοίνυν οὗτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγὼ, καὶ παρελθὼν εἶπον εἰς ὑμᾶς, ἅ με δυοῖν

ἕνεκα

ἕνεκ' ἀκούσατε προσέχοντες τὸν νοῦν. ἑνὸς μὲν, ἵν' εἰδῆτε ὅτι μόνος τῶν λεγόντων, καὶ πολιτευομένων ἐγὼ, τὴν τῆς εὐνοίας τάξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον. ἀλλὰ καὶ λέγων καὶ γράφων ἐξεταζόμην τὰ δέοντα ὑπὲρ ὑμῶν ἐν αὐτοῖς τοῖς φοβεροῖς· ἑτέρου δὲ, ὅτι μικρὸν ἀναλώσαντες χρόνον, πολλῷ πρὸς τὰ λοιπὰ τῆς πάσης πολιτείας ἔσεσθε ἐμπειρότεροι. Εἶπον τοίνυν ὅτι τοὺς μὲν ὡς ὑπαρχόντων Θηβαίων φίλων φιλίππῳ λίαν θορυβουμένους, ἀγνοεῖν τὰ παρόντα πράγματα ἡγοῦμαι· εὖ γὰρ οἶδ' ὅτι, εἰ τοῦθ' οὕτως ἐτύγχανεν ἔχον, οὐκ ἂν αὐτὸν ἠκούομεν ἐν Ἐλατείᾳ ὄντα, ἀλλ' ἐπὶ τοῖς ἡμετέροις ὁρίοις· ὅτι μέντοι, ἐὰν ἕτοιμα ποιήσηται τὰ ἐν Θηβαίοις, ἥκει, σαφῶς ἐπίσταμαι· ὡς δ' ἔχει ταῦτα, ἔφην, ἀκούσατέ μου· Ἐκεῖνος ὅσους ἢ πεῖσαι χρήμασι Θηβαίων, ἢ ἐξαπατῆσαι ἐνῆν, ἅπαντας ηὐτρέπισαι· τοὺς δ' ἀπ' ἀρχῆς ἀνθεστηκότας αὐτῷ, καὶ νῦν ἐναντιουμένους οὐδαμῶς πεῖσαι δύναται. τί οὖν βούλεται, καὶ τίνος ἕνεκα τὴν Ἐλάτειαν κατείληφε; πλησίον δύναμιν δείξας καὶ παραστήσας τὰ ὅπλα, τοὺς μὲν ἑαυτοῦ φίλους θρασεῖς ποιῆσαι καὶ ἐπᾶραι, τοὺς δ' ἐναντιουμένους καταπλῆξαι, ἵν' ἢ συγχωρήσωσι φοβηθέντες, ἃ νῦν οὐκ ἐθέλουσιν, ἢ βιασθῶσιν· εἰ μὲν οὖν προαιρησόμεθα ἡμεῖς, ἔφην, ἐν τῷ παρόντι, εἴ τι δύσκολον πέπρακται Θηβαίοις πρὸς ὑμᾶς, τούτου μεμνῆσθαι, καὶ ἀπιστεῖν αὐτοῖς ὡς ἐν τῇ τῶν ἐχθρῶν οὖσι μερίδι, πρῶτον μὲν ἃ ἂν εὔξαιτο φίλιππος, ποιήσομεν· εἶτα φοβοῦμαι μὴ προσδεξαμένων τῶν νῦν ἀνθεστηκότων αὐτῷ, καὶ μιᾷ γνώμῃ πάντων φιλιππισάντων, εἰς τὴν Ἀττικὴν ἔλθωσιν ἀμφότεροι· ἂν μέντοι πεισθῆτέ μοι, καὶ πρὸς τῷ σκοπεῖν, ἀλλὰ μὴ φιλονεικεῖν περὶ ὧν ἂν λέγω, γένησθε· οἶμαι καὶ τὰ δέοντα λέγειν δόξειν, καὶ τὸν ἐφεστηκότα κίνδυνον τῇ πόλει διαλύσειν· τί οὖν φημὶ δεῖν; πρῶτον μὲν τὸν παρόντα ἐπανεῖναι φόβον· εἶτα μετατίθεσθαι καὶ φοβεῖσθαι πάντας ὑπὲρ Θηβαίων· πολὺ γὰρ τῶν δεινῶν εἰσιν ἐγγυτέρω, καὶ προτέροις αὐτοῖς ὁ κίνδυνος· ἔπειτα ἐξελθόντας Ἐλευσῖνάδε τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας, δεῖξαι πᾶσιν ὑμᾶς αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας, ἵνα τοῖς ἐν Θήβαις φρονοῦσι τὰ ὑμέτερα ἐξ ἴσου γένηται τὸ παρρησιάζεσθαι περὶ τῶν δικαίων, ἰδοῦσιν, ὅτι ὥσπερ τοῖς πωλοῦσι φιλίππῳ τὴν πατρίδα πάρεσθ' ἡ βοηθήσουσα δύναμις ἐν Ἐλα-

τέως· οὕτω τοῖς ὑπὲρ τῆς ἐλευθερίας ἀγωνίζεσθαι βουλομένοις ὑπάρχεθ' ὑμεῖς ἕτοιμοι, καὶ βοηθήσετε, ἄν τις ἐπ' αὐτοὺς ἴῃ· μετὰ ταῦτα χειροτονῆσαι κελεύω δέκα πρέσβεις, καὶ ποιῆσαι τούτους κυρίους μετὰ τῶν στρατηγῶν, καὶ τοῦ, πότε δεῖ, ἐκεῖσε βαδίζειν, καὶ τῆς ἐξόδου· ἐπειδὰν δ' ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρήσεσθε τῷ πράγματι τούτῳ; παραινῶ, πάνυ μοι προσέχετε τὸν νοῦν, μὴ δεῖσθε Θηβαίων μηδέν· αἰσχρὸς γὰρ ὁ καιρός· ἀλλ' ἐπαγγέλλεσθε βοηθήσειν, ἐὰν κελεύωσιν, ὡς ἐκείνων ὄντων ἐν τοῖς ἐσχάτοις κινδύνοις, ἡμῶν δὲ ἄμεινον ἢ ἐκεῖνοι τὸ μέλλον προορωμένων, ἵν', ἐὰν μὲν δέξωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διῳκημένοι, καὶ μετὰ προσχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν· ἐὰν δ' ἄρα μὴ συμβῇ κατατυχεῖν, ἐκεῖνοι μὲν ἑαυτοῖς ἐγκαλῶσιν, ἄν τι νῦν ἐξαμάρτωσιν, ἡμῖν δὲ μηδὲν αἰσχρὸν, μηδὲ ταπεινὸν ᾖ πεπραγμένον. Ταῦτα καὶ παραπλήσια τούτοις εἰπὼν, κατέβην· συνεπαινεσάντων δὲ πάντων, καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐδὲν, οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδὲ ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δέ· οὐδ' ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους· ἀλλ' ἀπὸ τῆς ἀρχῆς διὰ πάντων ἄχρι τῆς τελευτῆς διεξῆλθον, καὶ ἔδωκα ἐμαυτὸν ὑμῖν ἁπλῶς εἰς τοὺς περιεστηκότας τῇ πόλει κινδύνους· καί μοι φέρε τὸ ψήφισμα τὸ τότε γενόμενον· καίτοι τίνα βούλει σε, Αἰσχίνη, καὶ τίνα ἐμαυτὸν ἐκείνην τὴν ἡμέραν εἶναι θῶ; βούλει ἐμαυτὸν μὲν ὃν ἂν σὺ λοιδορούμενος καὶ διασύρων καλέσαις Βάταλον; σὲ δὲ μηδὲ ἥρωα τὸν τυχόντα, ἀλλὰ τούτων τινὰ τῶν ἀπὸ τῆς σκηνῆς Κρεσφόντην, ἢ Κρέοντα, ἢ ὃν ἐν Κολυττῷ ποτε Οἰνόμαον κακῶς ὑποκρινόμενος ἐπέτριψας; τότε τοίνυν κατ' ἐκεῖνον τὸν καιρὸν, ὁ Παιανιεὺς ἐγὼ Βάταλος Οἰνομάου τοῦ Κοθωκίδου σοῦ, πλείονος ἄξιος ὢν ἐφάνην τῇ πατρίδι· σὺ μέν γε οὐδὲν οὐδαμοῦ χρήσιμος ἦσθα· ἐγὼ δὲ πάντα ὅσα προσῆκε τὸν ἀγαθὸν πολίτην ἔπραττον· λέγε τὸ ψήφισμα.

Ψήφισμα Δημοσθένους.

Ἐπὶ Ἄρχοντος Ναυσικλέους φυλῆς πρυτανευούσης Αἰαντίδος σκιροφοριῶνος ἕκτῃ ἐπὶ δέκα Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν· ἐπειδὴ Φίλιππος ὁ Μακεδόνων βασιλεὺς ἔν τε τῷ παρεληλυθότι χρόνῳ παραβαίνων φαίνεται τὰς γεγενημένας αὐτῷ συνθήκας πρὸς

τὸν

τῷ Ἀθηναίων δῆμον περὶ τῆς εἰρήνης, ὑπερβαίνων τοὺς ὅρκους, καὶ τὰ παρὰ πᾶσι τοῖς Ἕλλησι νομιζόμενα εἶναι δίκαια, καὶ πόλεις παραιρεῖται οὐδὲν αὐτῷ προσηκούσας, τινὰς δὲ καὶ Ἀθηναίων οὔσας δορυαλώτους πεποίηκεν οὐδὲν προαδικηθεὶς ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων, ἔν τε τῷ παρόντι ἐπὶ πολὺ προάγει, τῇ τε βίᾳ καὶ τῇ ὠμότητι· καὶ γὰρ ἑλληνίδας πόλεις τινὰς μὲν ἐμφρούρους ποιεῖ, καὶ τὰς πολιτείας καταλύει, τινὰς δὲ καὶ ἐξανδραποδιζόμενος κατασκάπτει, εἰς ἐνίας δὲ καὶ ἀντὶ ἑλλήνων βαρβάρους κατοικίζει, ἐπὶ τὰ ἱερὰ, καὶ τοὺς τάφους ἐπάγων, οὐδὲν ἀλλότριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος, οὔτε τοῦ τρόπου, καὶ τῇ νῦν αὐτῷ παρούσῃ τύχῃ κατακόρως χρώμενος, ἐπιλελησμένος ἑαυτοῦ, ὅτι ἐκ μικροῦ καὶ τοῦ τυχόντος γέγονεν ἀνελπίστως μέγας, καὶ ἕως μὲν πόλεις ἑώρα παραιρούμενον αὐτὸν βαρβάρους καὶ ἰδίας, ὑπελάμβανεν ἔλαττον εἶναι ὁ δῆμος ὁ ἀθηναίων τὸ εἰς αὐτὸν πλημμελεῖσθαι· νῦν δὲ ὁρῶν ἑλληνίδας πόλεις, τὰς μὲν ὑβριζομένας, τὰς δὲ ἀναστάτους γιγνομένας, δεινὸν ἡγεῖται εἶναι καὶ ἀνάξιον τῆς τῶν προγόνων δόξης, τὸ περιορᾷν τοὺς ἕλληνας καταδεδουλωμένους· διὸ δέδοκται τῇ βουλῇ, καὶ τῷ δήμῳ τῶν ἀθηναίων εὐξαμένους καὶ θύσαντας τοῖς θεοῖς καὶ ἥρωσι τοῖς κατέχουσι τὴν πόλιν, καὶ τὴν χώραν τῶν ἀθηναίων, καὶ ἐνθυμηθεῖσι τῆς τῶν προγόνων ἀρετῆς, διότι περὶ πλείονος ἐποιοῦντο τὴν τῶν ἑλλήνων ἐλευθερίαν διατηρεῖν, ἢ τὴν ἰδίαν πατρίδα, διακοσίας ναῦς καθέλκειν εἰς τὴν θάλατταν, καὶ τὸν ναύαρχον ἀναπλεῖν ἐντὸς Πυλῶν, καὶ τὸν στρατηγὸν, καὶ τὸν ἵππαρχον τὰς πεζὰς, καὶ τὰς ἱππικὰς δυνάμεις Ἐλευσινάδε ἐξάγειν, πέμψαι δὲ καὶ πρέσβεις πρὸς τοὺς ἄλλους ἕλληνας· πρῶτον δὲ πάντων πρὸς Θηβαίους, διὰ τὸ ἐγγυτάτω εἶναι τὸν φίλιππον τῆς ἐκείνων χώρας· παρακαλεῖν δὲ αὐτοὺς μηδὲν καταπλαγέντας τὸν φίλιππον ἀντέχεσθαι τῆς ἑαυτῶν, καὶ τῆς τῶν ἄλλων ἑλλήνων ἐλευθερίας, καὶ ὅτι ὁ ἀθηναίων δῆμος, οὐδὲν μνησικακῶν, εἴ τι πρότερον γέγονεν ἀλλότριον ταῖς πόλεσι πρὸς ἀλλήλας, βοηθήσει, καὶ δυνάμεσι, καὶ χρήμασι, καὶ βέλεσι, καὶ ὅπλοις, εἰδὼς ὅτι καὶ αὐτοῖς μὲν πρὸς ἀλλήλους διαμφισβητεῖν περὶ τῆς ἡγεμονίας οὖσιν ἕλλησι, καλόν· ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι, καὶ τῆς ἡγεμονίας ἀποστερεῖσθαι, ἀνάξιον εἶναι τῆς τῶν ἑλλή-

των δόξης, καὶ τῆς τῶν προγόνων ἀρετῆς· ἔτι δὲ, οὐδὲ ἀλλότριον ἡγεῖται εἶναι, ὁ Ἀθηναίων δῆμος τὸν Θηβαίων δῆμον, οὔτε τῇ συγγενείᾳ, οὔτε τῷ ὁμοφύλῳ· ἀναμιμνήσκεται δὲ καὶ τὰς τῶν προγόνων τῶν ἑαυτοῦ εἰς τοὺς Θηβαίων προγόνους εὐεργεσίας· καὶ γὰρ τοὺς Ἡρακλέους παῖδας ἀποστερουμένους ὑπὸ τῶν Πελοποννησίων τῆς πατρῴας ἀρχῆς, κατήγαγον, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειρωμένους τοῖς Ἡρακλέους ἐγγόνοις, καὶ τὸν Οἰδίπουν καὶ τοὺς μετ' ἐκείνου ἐκπεσόντας ὑπεδεξάμεθα, καὶ ἕτερα πολλὰ ἡμῖν ὑπάρχει φιλάνθρωπα καὶ ἔνδοξα πρὸς Θηβαίους· διόπερ οὐδὲ νῦν ἀποστήσεται ὁ Ἀθηναίων δῆμος τῶν Θηβαίοις τε καὶ ἄλλοις Ἕλλησι συμφερόντων, συνθέσθαι δὲ πρὸς αὐτοὺς, καὶ συμμαχίαν καὶ ἐπιγαμίαν ποιήσασθαι, καὶ ὅρκους δοῦναι, καὶ λαβεῖν.

Πρέσβεις. Δημοσθένης Δημοσθένους Παιανιεὺς, Ὑπερείδης Κλεάνδρου Σφήττιος, Μνησιθείδης Ἀντιφάνους Φρεάρριος, Δημοκράτης Σωφίλου Φλυεὺς, Κάλλαισχρος Διοτίμου Κοθωκίδης. Αὕτη τῶν περὶ Θήβας ἐγίγνετο πραγμάτων ἀρχὴ, καὶ κατάστασις πρώτη, τὰ πρὸ τούτου, εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων· τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον παρελθεῖν ἐποίησεν ὥσπερ νέφος· ἦν μὲν τοίνυν τοῦ δικαίου πολίτου τότε δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμεινον, μὴ νῦν ἐπιτιμᾶν· ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης οὐδὲ τῶν ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν· ὁ μὲν γὰρ, πρὸ τῶν πραγμάτων γνώμην ἀποφαίνεται, καὶ δίδωσιν αὐτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ, τοῖς καιροῖς, τῷ βουλομένῳ· ὁ δὲ, σιγήσας ἡνίκ' ἔδει λέγειν, ἄν τι δύσκολον συμβῇ, τοῦτο βασκαίνει· ἦν μὲν οὖν, ὅπερ εἶπον, ἐκεῖνος ὁ καιρὸς τοῦ γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως, καὶ τῶν δικαίων λόγων· ἐγὼ δὲ τοσαύτην ὑπερβολὴν ποιοῦμαι, ὥστε ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον, ἢ ὅλως εἴ τι ἄλλο ἐνῆν πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ· εἰ γὰρ ἔσθ' ὅ, τι τις νῦν ἑώρακεν ὃ συνήνεγκεν ἂν τότε πραχθὲν, τοῦτ' ἐγὼ φημι δεῖν ἐμὲ μὴ λαθεῖν· εἰ δὲ μήτ' ἔστι, μήτε ἦν, μήτ' ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω καὶ τήμερον, τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινομένων καὶ ἐνόντων τὰ κράτιστα ἑλέσθαι; τοῦτο τοίνυν ἐποίησα, τοῦ κήρυκος ἐρωτῶντος, Αἰσχίνη, τίς

ἀγο-

ἀγορεύειν βούλεται; οὐ τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων; οὐδὲ τίς ἐγγυᾶσθαι τὰ μέλλοντα ἔσεσθαι; σοῦ δ' ἀφώνου κατ' ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου, ἐγὼ παρελθὼν ἔλεγον· Ἐπειδὴ δὲ οὐ τότε, ἀλλὰ νῦν δεῖξον, εἰπέ, τίς ἢ λόγος ὅν τινα ἐχρῆν εὑρεῖν, ἢ καιρὸς συμφέρων ὑπ' ἐμοῦ παρελείφθη τῇ πόλει; τίς δὲ συμμαχία; τίς πρᾶξις; ἐφ' ἣν μᾶλλον ἔδει με ἀγαγεῖν τουτουσί; ἀλλὰ μὴν τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ οὐδεὶς περὶ τούτου προτίθησιν οὐδαμοῦ βουλήν, τὸ δὲ μέλλον ἢ τὸ παρόν, τὴν τοῦ συμβούλου τάξιν ἀπαιτεῖ· τότε τοίνυν τὰ μὲν ἔμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δ' ἤδη παρῆν· ἐν οἷς τὴν προαίρεσίν μου σκόπει τῆς πολιτείας, μὴ τὰ συμβαίνοντα συκοφάντει· τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, πάντων γίγνεται· ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δηλοῖ· μὴ δὴ τοῦτο ὡς ἀδίκημα ἐμὸν θῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ τῇ μάχῃ· ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐν ἐμοί, ἀλλ' ὡς οὐχ ἅπαντα ὅσα ἐνῆν κατ' ἀνθρώπινον λογισμὸν εἱλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα, καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματα ἐνεστησάμην καὶ ἀναγκαῖα· ταῦτά μοι δεῖξον, καὶ τότ' ἤδη κατηγόρει μου· εἰ δ' ὁ συμβὰς σκηπτός, ἢ χειμών, μὴ μόνον ἡμῶν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων Ἑλλήνων μείζων γέγονε, τί χρὴ ποιεῖν; ὥσπερ ἂν εἴ τις ναύκληρον πάντ' ἐπὶ σωτηρίᾳ πράξαντα, καὶ πᾶσι κατασκευάσαντα τὸ πλοῖον, ἀφ' ὧν ὑπελάμβανε σωθήσεσθαι· εἶτα χειμῶνι χρησάμενον, καὶ πονησάντων αὐτῷ τῶν σκευῶν, ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο· ἀλλ' οὔτε ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν, ὥσπερ οὐδ' ἐστρατήγουν ἐγώ, οὔτε τῆς τύχης κύριος ἦν, ἀλλ' ἐκείνη τῶν πάντων· Ἀλλ' ἐκεῖνο λογίζου, καὶ ὅρα εἰ μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι, τί χρὴ προσδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους, ἀλλὰ Φιλίππῳ προσέθεντο; ὑπὲρ οὗ τότ' ἐκεῖνος πάσας ἀφῆκε φωνάς· καὶ εἰ νῦν τριῶν ἡμερῶν ὁδὸν ἀπὸ τῆς Ἀττικῆς τῆς μάχης γεγενημένης, τοσοῦτος κίνδυνος καὶ φόβος περιέστη τὴν πόλιν· τί ἂν εἴ που τῆς χώρας ταὐτὸ τοῦτο πάθος συνέβη, προσδοκῆσαι χρῆν; ἆρ' οἶσθα, ὅτι νῦν μὲν στῆναι, συνελθεῖν, ἀναπνεῦσαι; πολλὰ

μία

μία ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν τὴν εἰς σωτηρίαν τῇ πόλει· τότε δὲ οὐκ ἄξιον εἰπεῖν, εἴ γε μηδὲ πεῖραν ἔδωκε θεῶν τινος εὐνοίᾳ, καὶ τῷ προβαλέσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς· ἔστι δὲ ταυτὶ πάντα μοι τὰ πολλὰ πρὸς ὑμᾶς, ἄνδρες δικασταί, καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμένους· ἐπεὶ πρός γε τοῦτον αὐτὸν τὸν κατάπτυστον βραχὺς καὶ σαφὴς ἐξήρκει λόγος· εἰ μὲν γὰρ ἦν σοι πρόδηλα τὰ μέλλοντα, Αἰσχίνη, μόνῳ τῶν ἄλλων, ὅτε ἐβουλεύετο ἡ πόλις περὶ τούτων, τότε ἔδει προλέγειν· εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύθυνος εἶ τοῖς ἄλλοις· ὥστε τί μᾶλλον ἐμοῦ σὺ ταῦτα κατηγορεῖς, ἢ ἐγὼ σοῦ; τοσοῦτον γὰρ ἀμείνων ἐγὼ σοῦ πολίτης γέγονα εἰς αὐτὰ ταῦτα ἃ λέγω, καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι, ὅσον ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον, οὐδ' ὑπολογισάμενος· σὺ δὲ οὔτε ἕτερα εἶπες βελτίω τούτων (οὐ γὰρ ἂν τούτοις ἐχρῶντο) οὔτε εἰς ταῦτα χρήσιμον οὐδὲν σεαυτὸν παρέσχες· ὅπερ δ' ἂν ὁ φαυλότατος, καὶ δυσμενέστατος ἄνθρωπος ποιήσειε τῇ πόλει, τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι, καὶ ἅμα Ἀρίστρατος ἐν Νάξῳ, καὶ Ἀριστόλαος ἐν Θάσῳ οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως τοὺς Ἀθηναίων κρίνουσι φίλους, καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ· Καί τοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχήματα ἐνευδοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστι δίκαιος, ἢ κατηγορεῖν ἑτέρου, καὶ ὅτῳ συνενηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι· δηλοῖς δὲ ἐξ ὧν ζῇς, καὶ ποιεῖς, καὶ πολιτεύῃ, καὶ πάλιν οὐ πολιτεύῃ· πράττεταί τι τῶν ὑμῖν δοκούντων συμφέρειν; ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει; πάρεστιν Αἰσχίνης· ὥσπερ τὰ ῥήγματα, καὶ τὰ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται· Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν· καί μου πρὸς Διὸς καὶ θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας ὃ λέγω θεωρησάτω· εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ προῄδεσαν πάντες, καὶ σὺ προὔλεγες, Αἰσχίνη, καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς οὐδ' ἐφθέγξω· οὐδ' οὕτως ἀποστατέον τῇ πόλει τούτων ἦν, εἴπερ ἢ δόξης, ἢ προγόνων, ἢ τοῦ

μέλ-

μέλλοντος αἰῶνος εἶχε λόγον· καὶ μὲν γὰρ ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ· τότε δ' ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτα ἀποστᾶσα τούτου Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν· εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτί, περὶ ὧν οὐδένα κίνδυνον ὅντιν' οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς οὐχὶ κατέπτυσεν ἂν σοῦ; μὴ γὰρ τῆς πόλεώς γε, μὴ δ' ἐμοῦ· τίσι δ' ὀφθαλμοῖς πρὸς Διὸς ἑωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν πράγματα εἰς ὅπερ νυνὶ περιέστη, ἡγεμὼν δὲ καὶ κύριος ᾑρέθη Φίλιππος ἁπάντων, τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτα ἀγῶνα, ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι; καὶ ταῦτα μηδεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον, ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ᾑρημένης· τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίων, καὶ παρὰ τῶν ἔτι τούτων πρότερον ἰσχυρῶν γενομένων Λακεδαιμονίων, καὶ παρὰ τοῦ Περσῶν βασιλέως, μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ, τι βούλεται λαβούσῃ, καὶ τὰ ἑαυτῆς ἐχούσῃ, τὸ κελευόμενον ποιεῖν, καὶ ἐᾶν ἕτερον τῶν Ἑλλήνων προεστάναι· ἀλλ' οὐκ ἦν ταῦτα, ὡς ἔοικε, τοῖς Ἀθηναίοις πάτρια, οὐδ' ἀνεκτὰ, οὐδ' ἔμφυτα, οὐδ' ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοῖς ἰσχύουσι μὲν, μὴ δίκαια δὲ πράττουσι προσθεμένην ἀσφαλῶς δουλεύειν· ἀλλ' ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης κινδυνεύουσα πάντα τὸν αἰῶνα διατετέλεκε, καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσήκοντα τοῖς ἡμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμβάνετε εἶναι, ὥστε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε, εἰκότως· τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν, καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν εἰς τὰς τριήρεις ἐμβάντες ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι; τὸν μὲν ταῦτα συμβουλεύσαντα Θεμιστοκλέα στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν τοῖς ἐπιταττομένοις ἀποφηνάμενον Κυρσίλον καταλιθώσαντες οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ· οὐ γὰρ ἐζήτουν οἱ τότε Ἀθηναῖοι οὔτε ῥήτορα, οὔτε στρατηγὸν, δι' ὅτου δουλεύσουσιν εὐτυχῶς, ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' ἐλευθερίας αὐτοῖς ἐξέσται τοῦτο ποιεῖν· ἡγεῖτο γὰρ αὐτῶν ἕ-

κασος, ἐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι· διαφέρει δὲ τί; ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων, τὸν τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον περιμένει, ὁ δὲ καὶ τῇ πατρίδι, ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη, τοῦ θανάτου· Εἰ μὲν τοίνυν τοῦτ᾽ ἐπεχείρουν λέγειν, ὡς ἐγὼ προήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔστιν ὅστις, οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι· νῦν δ᾽ ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ᾽ εἶχε τὸ φρόνημα ἡ πόλις, τῆς μέντοι διακονίας τῆς ἐφ᾽ ἑκάστοις τῶν πεπραγμένων, καὶ ἐμαυτῷ μετεῖναί φημι· οὗτος δὲ τῶν ὅλων κατηγορῶν, καὶ κελεύων, ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν, ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει γεγενημένῳ, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀποστερῆσαι γλίχεται, τὰ δ᾽ εἰς ἅπαντα τὸν λοιπὸν χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται· εἰ γὰρ ὡς οὐ τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν· ἀλλ᾽ οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι· οὐ μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας, καὶ τοὺς ἐπ᾽ Ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς, ἔθαψεν Αἰσχίνη· οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν, οὐδὲ τοὺς κρατήσαντας μόνους, δικαίως· ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρακται, τῇ τύχῃ δὲ, ἣν ὁ δαίμων ἀπένειμεν ἑκάστοις, ταύτῃ κέχρηνται· ἔπειτ᾽ ὦ κατάρατε, καὶ γραμματοκύφων, σὺ μὲν τῆς παρὰ τουτωνὶ τιμῆς καὶ φιλανθρωπίας ἐμὲ ἀποστερῆσαι βουλόμενος, τρόπαια καὶ μάχας, καὶ παλαιὰ ἔργα ἔλεγες, ὧν τίνος προσεδεῖτο ὁ παρὼν ἀγὼν οὑτοσί; ἐμὲ δὲ, ὦ τριταγωνιστὰ, τὸν περὶ τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόντα, τὸ τίνος φρόνημα λαβόντα ἀναβαίνειν ἐπὶ τὸ βῆμα ἔδει; τὸ τούτων ἀνάξια ἐροῦντος; δικαίως μέντ᾽ ἂν ἀπέθανον· ἐπει-

τα:

τα, οὐδ' ὑμᾶς, ἄνδρες ἀθηναῖοι, ἀπὸ τῆς αὐτῆς διανοίας δεῖ τάς τε ἰδίας δίκας, καὶ τὰς δημοσίας κρίνειν· ἀλλὰ τὰ μὲν τοῦ καθ' ἡμέραν βίου συμβόλαια ἐπὶ τῶν ἰδίων νόμων καὶ ἔργων σκοποῦντας, τὰς δὲ κοινὰς προαιρέσεις εἰς τὰ τῶν προγόνων ἀξιώματα ἀποβλέποντας, καὶ παραλαμβάνειν γε ἅμα τῇ βακτηρίᾳ καὶ τῷ συμβόλῳ τὸ φρόνημα τὸ τῆς πόλεως νομίζειν ἕκαστον ὑμῶν, ὅταν τὰ δημόσια εἰσίητε κρινοῦντες, εἴπερ ἄξια ἐκείνων πράττειν οἴεσθε χρῆναι. Ἀλλὰ γὰρ ἐμπεσὼν εἰς τὰ πεπραγμένα τοῖς προγόνοις ὑμῶν, ἔςιν ἃ τῶν ψηφισμάτων παρέβην καὶ τῶν πραχθέντων· ἐπανελθεῖν οὖν ὅθεν εἰς ταῦτα ἐξέβην, βούλομαι· ὡς γὰρ ἀφικόμεθα εἰς τὰς Θήβας, καταλαμβάνομεν φιλίππου καὶ Θετταλῶν, καὶ τῶν ἄλλων συμμάχων παρόντας πρέσβεις, καὶ τοὺς μὲν ἡμετέρους φίλους, ἐν φόβῳ, τοὺς δ' ἐκείνου, θρασεῖς· ὅτι δ' οὐ νῦν ταῦτα λέγω τοῦ συμφέροντος ἕνεκα ἐμαυτῷ, λέγε μοι τὴν ἐπιςολὴν, ἣν τότ' ἐπέμψαμεν εὐθὺς οἱ πρέσβεις· καίτοι τοσαύτῃ γε ὑπερβολῇ συκοφαντίας οὗτος κέχρηται, ὥστ' εἰ μέν τι τῶν δεόντων ἐπράχθη, τὸν καιρὸν οὐκ ἐμέ φησιν αἴτιον γεγενῆσθαι· τῶν δ' ὡς ἑτέρως συμβάντων ἁπάντων ἐμὲ καὶ τὴν ἐμὴν τύχην αἰτίαν εἶναι· καὶ ὡς ἔοικεν ὁ σύμβουλος καὶ ῥήτωρ ἐγὼ, τῶν μὲν ἐκ λόγου καὶ τοῦ βουλεύσασθαι πραχθέντων οὐδενὸς αὐτῷ συναίτιος εἶναι δοκῶ· τῶν δ' ἐν τοῖς ὅπλοις καὶ κατὰ τὴν ςρατηγίαν ἀτυχηθέντων μόνος αἴτιος εἶναι· πῶς ἂν ὠμότερος συκοφάντης γένοιτ' ἂν, ἢ καταρατότερος τούτου; λέγε τὴν ἐπιςολήν.

Ἐπιςολή. Ἐπειδὴ τοίνυν ἐποιήσαντο τὴν ἐκκλησίαν, προσῆγον ἐκείνους προτέρους διὰ τὸ τὴν τῶν συμμάχων τάξιν ἐκείνους ἔχειν, καὶ παρελθόντες ἐδημηγόρουν, πολλὰ μὲν φίλιππον ἐγκωμιάζοντες, πολλὰ δ' ὑμῶν κατηγοροῦντες, ἅπανθ' ὅσα πώποτε ἐναντία ἐπράξατε Θηβαίοις, ἀναμιμνήσκοντες· τὸ δ' οὖν κεφάλαιον, ἠξίουν, ὧν μὲν εὖ πεπόνθεσαν ὑπὸ φιλίππου, χάριν αὐτοὺς ἀποδοῦναι· ὧν δ' ὑφ' ὑμῶν ἠδίκηνται, δίκην λαβεῖν ὁποτέρως βούλονται· ἢ διέντας αὐτοὺς ἐφ' ὑμᾶς ἢ συνεμβαλόντας εἰς τὴν Ἀττικὴν, καὶ ἐδείκνυσαν ὡς ᾤοντο, ἐκ μὲν ὧν αὐτοὶ συνεβούλευον, τὰ ἐκ τῆς Ἀττικῆς βοσκήματα καὶ ἀνδράποδα καὶ τἄλλα ἀγαθὰ εἰς τὴν Βοιωτίαν ἥξοντα, ἐκ δὲ ὧν ὑμᾶς ἐρεῖν

ἔφασκεν, τὰ ἐν τῇ Βοιωτίᾳ διαφορηθησόμενα ὑπὸ τοῦ πολέμου, καὶ ἄλλα πολλὰ πρὸς τούτοις, εἰς ταὐτὰ δὲ πάντα συντείνοντα, ἔλεγον· ἃ δ' ἡμεῖς πρὸς ταῦτα ἀντείπομεν, τὰ μὲν καθ' ἕκαστα, ἐγὼ μὲν ἀντὶ παντὸς ἂν τιμησαίμην εἰπεῖν τοῦ βίου· ὑμᾶς δὲ δέδοικα, μὴ παρεληλυθότων τῶν καιρῶν, ὥσπερανεὶ κατακλυσμὸν γεγενῆσθαι τῶν πραγμάτων ἡγούμενοι, μάταιον ὄχλον τοὺς περὶ τούτων λόγους νομίσητε· ἃ δ' οὖν ἐπείσαμεν ἡμεῖς, καὶ ἃ ἡμῖν ἀπεκρίναντο, ἀκούσατε· Λέγε ταυτὶ λαβών.

Ἀπόκρισις Θηβαίων.

Μετὰ ταῦτα τοίνυν ἐκάλει ὑμᾶς, καὶ μετεπέμπετο, ἐξῆτε, ἐβοηθεῖτε· ἵνα τὰ ἐν μέσῳ παραλείπω, οὕτως οἰκείως ὑμᾶς ἐδέχοντο, ὥστ' ἔξω τῶν ὁπλιτῶν καὶ τῶν ἱππέων ὄντων, εἰς τὰς οἰκίας, καὶ τὸ ἄστυ δέχεσθαι τὴν στρατιὰν, ἐπὶ παῖδας, καὶ γυναῖκας, καὶ τὰ τιμιώτατα· καί τοι τρία ἐν ἐκείνῃ τῇ ἡμέρᾳ πᾶσιν ἀνθρώποις ἔδειξαν ἐγκώμια Θηβαῖοι καθ' ὑμῶν τὰ κάλλιστα· ἓν μὲν, ἀνδρείας, ἕτερον δὲ, δικαιοσύνης, τρίτον δὲ, σωφροσύνης. καὶ γὰρ τὸν ἀγῶνα μεθ' ὑμῶν μᾶλλον, ἢ πρὸς ὑμᾶς ἑλόμενοι ποιήσασθαι, καὶ ἀμείνους εἶναι, καὶ δικαιότερα ἀξιοῦν ὑμᾶς ἔκριναν ἢ Φίλιππον, καὶ τὰ παρ' αὐτοῖς, καὶ τὰ παρὰ πᾶσι δὲ ἐν πλείστῃ φυλακῇ παῖδας καὶ γυναῖκας ἐφ' ὑμῖν ποιήσαντες σωφροσύνης πίστιν περὶ ὑμῶν ἔχοντες ἔδειξαν· ἐν οἷς ἅπασιν, ἄνδρες Ἀθηναῖοι, κατά γε ὑμᾶς ὀρθῶς ἐφάνησαν ἐγνωκότες· ἔτι γὰρ εἰς τὴν πόλιν εἰσελθόντος τοῦ στρατοπέδου, οὐδεὶς οὐδὲν οὐδὲ ἀδίκως ὑμῖν ἐνεκάλεσεν, οὕτω σώφρονας παρέχεσθαι ὑμᾶς αὐτούς· δίς τε συμπαραταξάμενοι τὰς πρώτας μάχας, τὴν ἐπὶ τοῦ ποταμοῦ, καὶ τὴν χειμερινὴν, οὐκ ἀμέμπτους μόνον ὑμᾶς αὐτοὺς, ἀλλὰ καὶ θαυμαστοὺς ἐδείξατε, τῷ κόσμῳ, ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ· ἐφ' οἷς παρὰ μὲν τῶν ἄλλων ὑμῖν ἐγίγνοντο ἔπαινοι, παρὰ δὲ ὑμῶν, θυσίαι καὶ πομπαὶ τοῖς θεοῖς· καὶ ἔγωγε ἡδέως ἂν ἐροίμην Αἰσχίνην, ὅτε ταῦτ' ἐπράττετο, καὶ ζήλου, καὶ χαρᾶς, καὶ ἐπαίνων ἡ πόλις μεστὴ, πότερον συνέθυε καὶ συνευφραίνετο τοῖς πολλοῖς, ἢ λυπούμενος, καὶ στένων καὶ δυσμεναίνων ἐπὶ τοῖς κοινοῖς ἀγαθοῖς, οἴκοι καθῆτο· εἰ μὲν γὰρ παρῆν, καὶ μετὰ τῶν ἄλλων ἐξητάζετο, πῶς οὐ δεινὰ ποιεῖ, μᾶλλον δ' οὐδ' ὅσια, εἰ ὧν ὡς ἀρίστων αὐτὸς τοὺς

θεοὺς ἐποιήσατο μάρτυρας, ταῦθ' ὡς οὐκ ἄξια τοῦ ὑμᾶς ἀξιοῖ ψηφίσασθαι τοὺς ὀμωμοκότας τοὺς θεούς· εἰ δὲ μὴ παρῆν πῶς οὐκ ἀπολωλέναι πολλάκις ἐστὶ δίκαιος, εἰ ἐφ' οἷς ἔχαιρον οἱ ἄλλοι, ταῦτα ἐλυπεῖτο ὁρῶν; Λέγε δὴ καὶ ταῦτα τὰ ψηφίσματά μοι.

Ψηφίσματα θυσιῶν.

Οὐκοῦν, ἡμεῖς μὲν ἐν θυσίαις ἦμεν τότε, Θηβαῖοι δὲ, ἐν τῷ δι' ἡμᾶς σεσῶσθαι νομίζειν, καὶ περιειστήκει τοῦ βοηθείας δεήσεσθαι δοκοῦσιν, ἀφ' ὧν ἔπραττον οὗτοι, αὐτοῖς βοηθεῖν ἑτέροις, ἐξ ὧν ἐπείθεσθέ μοι· ἀλλὰ μὴν οἵας τότε ἠφίει φωνὰς ὁ Φίλιππος, καὶ ἐν οἵαις ἦν ταραχαῖς ἐπὶ τούτοις, ἐκ τῶν ἐπιστολῶν τῶν ἐκείνου μαθήσεσθε, ὧν εἰς Πελοπόννησον ἔπεμψε· καί μοι λέγε ταύτας λαβών· ἵν' εἰδῆτε ὅτι ἡ ἐμὴ συνέχεια καὶ πλάνη καὶ ταλαιπωρία, καὶ τὰ πολλὰ ψηφίσματα, ἃ νῦν οὗτος διέσυρε, τί ἀπειργάσατο· καί τοι πολλοὶ παρ' ὑμῖν, ἄνδρες Ἀθηναῖοι, γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι, ἀλλ' ὅμως οὐδεὶς τούτων πώποτε διὰ παντὸς ἔδωκεν ἑαυτὸν εἰς οὐδὲν τῇ πόλει· ἀλλ' ὁ μὲν γράφων, οὐκ ἂν ἐπρέσβευσεν, ὁ δὲ πρεσβεύων, οὐκ ἂν ἔγραψεν· ὑπελείπετο γὰρ αὐτῶν ἕκαστος ἑαυτῷ ἅμα μὲν ῥᾳστώνην, ἅμα δ' εἴ τι γίγνοιτο, ἀναφοράν· τί οὖν εἴποι τις ἄν, σὺ τοσοῦτον ὑπερῆρας ῥώμῃ καὶ τόλμῃ τοὺς ἄλλους, ὥστε πάντα ποιεῖν αὐτός; οὐ λέγω ταῦτα· ἀλλ' οὕτως ἐπεπείσμην μέγαν εἶναι τὸν κατειληφότα κίνδυνον τὴν πόλιν, ὥστ' οὐκ ἐδόκει μοι χώραν, οὐδὲ πρόνοιαν οὐδεμίαν τῆς ἰδίας ἀσφαλείας διδόναι, ἀλλ' ἀγαπητὸν εἶναι, εἰ μηδὲν παραλείπων τις, ἃ δεῖ, πράξειεν· ἐπεπείσμην δ' ὑπὲρ ἐμαυτοῦ, τυχὸν μὲν ἀναισθητῶν, ὅμως δ' ἐπεπείσμην, μήτε γράφοντ' ἂν ἐμοῦ γράψαι βέλτιον μηδένα, μήτε πράττοντά τι πρᾶξαι, μήτε πρεσβεύοντα πρεσβεῦσαι προθυμότερον, μηδὲ δικαιότερον· διὰ ταῦτα ἐν ἅπασιν ἐμαυτὸν ἔταττον· Λέγε δὴ τὰς ἐπιστολὰς Φιλίππου.

Ἐπιστολαί. Εἰς ταῦτα κατέστησε Φίλιππον ἡ ἐμὴ πολιτεία Αἰσχίνη· ταύτην τὴν φωνὴν ἐκεῖνος ἀφῆκε δι' ἐμὲ, πολλοὺς καὶ θρασεῖς τὰ πρὸ τούτων τῇ πόλει ἐπαιρόμενος λόγους, ἀνθ' ὧν δικαίως ἐστεφανώμην ὑπὸ τουτωνί, καὶ σὺ παρὼν οὐκ ἀντέλεγες· ὁ δὲ γρα-

ψάμενος διώκας τὸ πέμπτον μέρος τῶν ψήφων οὐκ ἔλαβε. Καί μοι λέγε ταῦτα τὰ ψηφίσματα, τὰ τότε μὲν ἀποπεφευγότα, ὑπὸ τούτου δὲ οὐδὲ γραφέντα.

Ψηφίσματα. Ταυτὶ τὰ ψηφίσματα, ὦ ἄνδρες Ἀθηναῖοι, τὰς αὐτὰς συλλαβὰς, καὶ τὰ αὐτὰ ῥήματα ἔχει, ἅπερ πρότερον μὲν Ἀριστόνικος, νῦν δὲ Κτησιφῶν γέγραφεν οὑτοσί, καὶ ταῦτ' Αἰσχίνης οὔτ' ἐδίωξεν αὐτὸς, οὔτε τῷ γραψαμένῳ συγκατηγόρησε· καίτοι τότε τὸν Δημομέλην τὸν ταῦτα γράφοντα, καὶ τὸν Ὑπερείδην, εἴπερ ἀληθῆ μου νῦν κατηγορεῖ, μᾶλλον ἂν εἰκότως ἢ τόνδ' ἐδίωκε. Διατί; ὅτι τῷ μὲν, ἔστ' ἀνενεγκεῖν ἐπ' ἐκείνους, καὶ τὰς τῶν δικαστηρίων γνώσεις, καὶ τὸ, τοῦτον αὐτὸν ἐκείνων μὴ κατηγορηκέναι, ταῦτα γραψάντων ἅπερ οὗτος νυνὶ, καὶ τὸ, τοὺς νόμους μηκέτι ἐᾶν περὶ τῶν οὕτω πραχθέντων κατηγορεῖν, καὶ πολλὰ ἕτερα· τότε δ' αὐτὸ τὸ πρᾶγμα ἐκρίνετο, ἐφ' ἑαυτοῦ, πρίν τι τούτων προλαβεῖν· ἀλλ' οὐκ ἦν οἶμαι τότε, ὃ καὶ ποιεῖ, ἐκ παλαιῶν χρόνων, καὶ ψηφισμάτων πολλῶν ἐκλέξαντα· ἃ μήτε προῄδει μηδεὶς, μήτ' ἂν ᾠήθη τήμερον ῥηθῆναι, διαβάλλειν, καὶ μετενεγκόντα τοὺς χρόνους, καὶ προφάσεις ἀντὶ τῶν ἀληθῶν ψευδεῖς μεταθέντα τοῖς πεπραγμένοις, δοκεῖν τι λέγειν· Οὐκ ἦν τότε ταῦτα, ἀλλ' ἐπὶ τῆς ἀληθείας ἐγγὺς οὔσης, τῶν ἔργων ἔτι μεμνημένων ὑμῶν, καὶ μόνον οὐκ ἐν ταῖς χερσὶν ἕκαστα ἐχόντων, πάντες ἐγίγνοντ' ἂν οἱ λόγοι, διόπερ τοὺς παρ' αὐτὰ τὰ πράγματα ἐλέγχους φυγὼν, νῦν ὕστερον ἥκει, ῥητόρων ἀγῶνα νομίζων, ὥς γέ μοι δοκεῖ, καὶ οὐχὶ τῶν πεπολιτευμένων ἐξέτασιν ποιήσειν ὑμᾶς ὑπολαμβάνων, καὶ λόγων κρίσιν, οὐ τοῦ τῇ πόλει συμφέροντος ἔσεσθαι· εἶτα σοφίζεται, καὶ φησὶ προσήκειν, ἧς μὲν οἴκοθεν ἥκετ' ἔχοντες δόξης περὶ ἡμῶν, ἀμελῆσαι· ὥσπερ δὲ ὅταν οἰόμενοι περιεῖναι χρήματά τῳ λογίζησθε, κἂν καθαραὶ ὦσιν αἱ ψῆφοι, καὶ μηδὲν περιῇ, συγχωρεῖτε, οὕτω καὶ νῦν τοῖς ἐκ τοῦ λόγου φαινομένοις προσθέσθαι· Θεάσασθε τοίνυν ὡς σαθρὸν ὡς ἔοικεν ἐστὶ φύσει, πᾶν ὅ,τι ἂν μὴ δικαίως ᾖ πεπραγμένον. Ἐκ γὰρ αὐτοῦ τοῦ σοφοῦ τούτου παραδείγματος ὡμολόγηκε νυνὶ ὑμᾶς ὑπάρχειν ἐγνωσμένους, ἐμὲ μὲν λέγειν ὑπὲρ τῆς πατρίδος, αὐτὸν δ' ὑπὲρ Φιλίππου. οὐ γὰρ ἂν μεταπείθειν ὑμᾶς ἐζήτει, μὴ τοιαύτης οὔσης τῆς ὑπαρχούσης ὑπολήψεως περὶ ἑκατέρου. Καὶ

μὴν

μὴν ὅτι γε οὐ δίκαια λέγει, μεταθέσθαι ταύτην τὴν δόξαν ἀξιῶν ὑμᾶς, ἐγὼ διδάξω ῥαδίως, οὐ τιθεὶς ψήφους, οὐ γάρ ἐστιν ὁ τῶν πραγμάτων οὗτος λογισμὸς, ἀλλ' ἀναμιμνήσκων ἕκαστα ἐν βραχέσι, λογισταῖς ἅμα καὶ μάρτυσι τοῖς ἀκούουσιν ὑμῖν χρώμενος· ἡ γὰρ ἐμὴ πολιτεία, ἧς οὗτος κατηγορεῖ, ἀντὶ μὲν τοῦ Θηβαίους μετὰ φιλίππου συνεμβαλεῖν εἰς τὴν χώραν, ὃ πάντες ᾤοντο ἔσεσθαι, μεθ' ἡμῶν παραταξαμένους, ἐκεῖνον κωλύειν ἐποίησεν· ἀντὶ δὲ τοῦ, ἐν τῇ Ἀττικῇ τὸν πόλεμον εἶναι, ἑπτακόσια στάδια ἀπὸ τῆς πόλεως ἐπὶ τοῖς Βοιωτῶν ὁρίοις γενέσθαι· ἀντὶ δὲ τοῦ, τοὺς λῃστὰς ἡμᾶς φέρειν καὶ ἄγειν ἐκ τῆς Εὐβοίας, ἐν εἰρήνῃ τὴν Ἀττικὴν, ἐκ θαλάττης εἶναι πάντα τὸν πόλεμον· ἀντὶ δὲ τοῦ, τὸν Ἑλλήσποντον ἔχειν φίλιππον λαβόντα Βυζάντιον, συμπολεμεῖν τοὺς Βυζαντίους μεθ' ἡμῶν πρὸς ἐκεῖνον· ἆρά σοι ψήφοις ὅμοιος ὁ τῶν ἔργων λογισμὸς φαίνεται; ἢ δεῖν ἀνταναιρεῖν ταῦτα, ἀλλ' οὐχ ὅπως τὸν ἅπαντα χρόνον μνημονευθήσεται σκέψασθαι; καὶ οὐκέτι προστίθημι, ὅτι τῆς μὲν ὠμότητος, ἣν ἐν οἷς καθάπαξ τινῶν κύριος κατέστη φίλιππος, ἔστιν ἰδεῖν, ἑτέροις πειραθῆναι συνέβη, τῆς δὲ φιλανθρωπίας, ἣν τὰ λοιπὰ τῶν πραγμάτων ἐκεῖνος περιβαλλόμενος πρὸς ὑμᾶς ἐπλάττετο, ὑμεῖς καλῶς ποιοῦντες τοὺς καρποὺς κεκόμισθε· ἀλλ' ἐῶ ταῦτα, καὶ μὴν, οὐδὲ τοῦτ' εἰπεῖν ὀκνήσω, ὅτι ὁ τὸν ῥήτορα βουλόμενος δικαίως ἐξετάζειν, καὶ μὴ συκοφαντεῖν, οὐκ ἂν οἷα σὺ νῦν ἔλεγες, τοιαῦτα κατηγόρει, παραδείγματα πλάττων, καὶ ῥήματα, καὶ σχήματα μιμούμενος· πάνυ γὰρ παρὰ τοῦτο, οὐχ ὁρᾷς; γέγονε τὰ τῶν ἑλλήνων πράγματα, εἰ τουτὶ τὸ ῥῆμα, ἀλλὰ μὴ τουτὶ διελέχθην ἐγώ· ἢ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ παρήνεγκα· ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων ἂν ἐσκόπει, τίνας εἶχεν ἀφορμὰς ἡ πόλις, καὶ τίνας δυνάμεις, ὅτ' εἰς τὰ πράγματα εἰσῄειν, καὶ τίνας συνήγαγον αὐτῇ μετὰ ταῦτ' ἐπιστὰς ἐγώ· καὶ πῶς εἶχε τὰ τῶν ἐναντίων, εἶτ' εἰ μὲν ἐλάττους ἐποίησα τὰς δυνάμεις, παρ' ἐμοὶ τἀδίκημ' ἂν ἐδείκνυες ὄν· εἰ δὲ πολλῷ μείζους, οὐκ ἂν ἐσυκοφάντεις· ἐπειδὴ δὲ σὺ τοῦτο πέφευγας, ἐγὼ ποιήσω, καὶ σκοπεῖτε εἰ δικαίως χρήσομαι τῷ λόγῳ. Δύναμιν μὲν τοίνυν εἶχεν ἡ πόλις τοὺς νησιώτας, οὐχ ἅπαντας, ἀλλὰ τοὺς ἀσθενεστάτους·

οὔτε γὰρ Χῖος, οὔτε Ῥόδιος, οὔτε Κέρκυρα μεθ᾽ ἡμῶν ἦν, χρημάτων δὲ σύνταξιν εἰς πέντε καὶ τετταράκοντα τάλαντα, καὶ ταῦτ᾽ ἦν προεξηλεγμένα, ὁπλίτην δὲ, ἢ ἱππέα, πλὴν τῶν οἰκείων, οὐδένα· ὃ δὲ πάντων καὶ φοβερώτατον καὶ μάλισθ᾽ ὑπὲρ τῶν ἐχθρῶν, οὗτοι παρεσκευάκεσαν τοὺς περιχώρους πάντας ἔχθρας ἢ φιλίας ἐγγυτέρω, Μεγαρέας, Θηβαίους, Εὐβοέας· τὰ μὲν τῆς πόλεως οὕτως ὑπῆρχεν ἔχοντα, καὶ οὐδεὶς ἂν ἔχοι παρὰ ταῦτ᾽ εἰπεῖν ἄλλο οὐδέν· τὰ δὲ τοῦ Φιλίππου πρὸς ὃν ἦν ἡμῖν ὁ ἀγὼν, σκέψασθε, πῶς. πρῶτον μὲν ἦρχε τῶν ἀκολουθούντων αὐτὸς αὐτοκράτωρ, ὃ τῶν εἰς τὸν πόλεμον μέγιστόν ἐστιν ἁπάντων· εἶθ᾽ οὗτοι τὰ ὅπλα εἶχον ἐν ταῖς χερσὶν ἀεί· ἔπειτα χρημάτων εὐπόρει, καὶ ἔπραττεν ἃ δόξειεν αὐτῷ οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν, οὐδ᾽ ἐν τῷ φανερῷ βουλευόμενος, οὐδ᾽ ὑπὸ τῶν συκοφαντούντων κρινόμενος, οὐδὲ γραφὰς φεύγων παρανόμων, οὐδ᾽ ὑπεύθυνος ὢν οὐδενί· ἀλλ᾽ ἁπλῶς αὐτὸς δεσπότης, ἡγεμὼν, κύριος πάντων· ἐγὼ δ᾽ ὁ πρὸς τοῦτον ἀντιτεταγμένος, καὶ γὰρ τοῦτ᾽ ἐξετάσαι δίκαιον, τίνος κύριος ἦν; οὐδενός· αὐτὸ γὰρ τὸ δημηγορεῖν πρῶτον, οὗ μόνου μετεῖχον ἐγὼ, ἐξ ἴσου προὐτίθετε ὑμεῖς τοῖς παρ᾽ ἐκείνου μισθαρνοῦσι καὶ ἐμοί· καὶ ὅσα οὗτοι περιγένοιντο ἐμοῦ, πολλὰ δ᾽ ἐγίγνετο τοιαῦτα, δι᾽ ἣν ἕκαστον τύχοι πρόφασιν, ταῦθ᾽ ὑπὲρ τῶν ἐχθρῶν ἀπῄειτε βεβουλευμένοι· ἀλλ᾽ ὅμως ἐκ τοιούτων ἐγὼ ἐλαττωμάτων συμμάχους μὲν ὑμῖν ἐποίησα, Εὐβοέας, Ἀχαιοὺς, Κορινθίους, Θηβαίους, Μεγαρέας, Λευκαδίους, Κερκυραίους, ἀφ᾽ ὧν μύριοι μὲν καὶ πεντακισχίλιοι ξένοι, δισχίλιοι δὲ ἱππεῖς ἄνευ τῶν πολιτικῶν δυνάμεων συνήχθησαν· χρημάτων δὲ ὅσην ἐδυνήθην, ἐγὼ πλείστην συντέλειαν ἐποίησα· εἰ δὲ λέγεις ἢ τὰ πρὸς Θηβαίους δίκαια Αἰσχίνη, ἢ τὰ πρὸς Βυζαντίους, ἢ τὰ πρὸς Εὐβοέας, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγει, πρῶτον μὲν ἀγνοεῖς, ὅτι καὶ πρότερον τῶν ὑπὲρ τῶν ἑλλήνων ἐκείνων ἀγωνισαμένων τριήρεων τριακοσίων οὐσῶν τῶν πασῶν, τὰς διακοσίας ἡ πόλις παρέσχετο, καὶ οὐκ ἐλαττοῦσθαι νομίζουσα, οὐδὲ κρίνουσα τοὺς ταῦτα συμβουλεύσαντας, οὐδὲ ἀγανακτοῦσα ἐπὶ τούτοις ἑωρᾶτο· αἰσχρὸν γάρ· ἀλλὰ τοῖς θεοῖς ἔχουσα χάριν, εἰ κοινοῦ κινδύνου τοῖς ἕλλησι περιστάντος αὐτὴ διπλάσια τῶν ἄλλων εἰς τὴν ἁπάντων σωτηρίαν παρέσχετο·

χετο· εἶτα κενὰς χαρίζῃ χάριτας τουτοισὶ συκοφαν-
τῶν ἐμέ. τί γὰρ νῦν λέγεις οἷα ἐχρῆν πράττειν,
ἀλλ' οὐ τότ' ὢν τῇ πόλει, καὶ παρὼν ταῦτ' ἔγραφες;
εἴπερ ἐνεδέχετο διὰ τοὺς παρόντας καιροὺς, ἐν οἷς
οὐχ ὅσα ἂν * βουλώμεθα, ἀλλ' ὅσα δοίη τὰ πράγμα-
τα, ἔδει δέχεσθαι. ὁ γὰρ ἀντωνούμενος καὶ ταχὺ τοὺς
παρ' ἡμῶν ἀπελαυνομένους προσδεξόμενος καὶ χρήματα
προσθήσων, ὑπῆρχεν ἕτοιμος. ἀλλ' εἰ νῦν ἐπὶ τοῖς
πεπραγμένοις κατηγορίας ἔχω, τί ἂν οἴεσθε, * εἰ
τότ' ἐμοῦ περὶ τούτων ἀκριβολογουμένου, ἀπῆλθον αἱ
πόλεις καὶ προσέθεντο φιλίππῳ, καὶ ἅμα Εὐβοίας, καὶ
Θηβῶν, καὶ Βυζαντίου κύριος κατέστη; τί ποιεῖν ἂν,
ἢ τί οἴεσθε λέγειν τοὺς ἀσεβεῖς ἀνθρώπους τουτουσί; οὐχ
ὡς ἐξεδόθησαν; οὐχ ὡς ἀπηλάθησαν βουλόμενοι μεθ'
ἡμῶν εἶναι; εἶτα τοῦ μὲν Ἑλλησπόντου διὰ Βυζαντίων ἐγ-
κρατὴς καθέστηκε, καὶ τῆς σιτοπομπείας τῆς τῶν ἑλλήνων
κύριος γέγονε; πόλεμος δ' ὅμορος καὶ βαρὺς εἰς τὴν
Ἀττικὴν διὰ Θηβαίων κεκόμισται; ἄπλους δ' ἡ θά-
λαττα ὑπὸ τῶν ἐκ τῆς Εὐβοίας ὁρμωμένων λῃστῶν γέ-
γονεν; οὐκ ἂν ταῦτ' ἔλεγον, καὶ πολλά γε πρὸς τούτοις
ἕτερα; πονηρὸν, ὦ ἄνδρες ἀθηναῖοι, πονηρὸν ὁ συκο-
φάντης ἀεὶ, καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιον·
τοῦτο δὲ καὶ φύσει κίναδος ἀνθρώπιόν ἐστιν, οὐδὲν ἐξ ἀρ-
χῆς ὑγιὲς πεποιηκὸς, οὐδ' ἐλεύθερον· αὐτοτραγικὸς
πίθηκος, ἀρουραῖος Οἰνόμαος, παράσημος ῥήτωρ·
τί γὰρ ἡ σὴ δεινότης εἰς ὄνησιν ἥκει τῇ πατρίδι; νῦν
ἡμῖν λέγεις ὑπὲρ τῶν παρεληλυθότων; ὥσπερ ἂν εἴ τις
ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν μὴ λέγοι,
μηδὲ δεικνύοι δι' ὧν ἀποφεύξονται τὴν νόσον· ἐπειδὴ
δὲ τελευτήσειέ τις αὐτῶν, καὶ τὰ νομιζόμενα αὐτῷ
φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα, διεξίοι, εἰ τὸ, καὶ
τὸ ἐποίησεν ἄνθρωπος οὑτοσὶ, οὐκ ἂν ἀπέθανεν.
ἐμβρόντητε, εἶτα νῦν λέγεις; οὐ τοίνυν οὐδὲ τὴν ἧτταν
ἣ ταύτῃ γαυριᾷς, ἐφ' ᾗ στένειν σε ὦ κατάρατε προ-
σῆκεν, ἐν οὐδενὶ τῶν παρ' ἐμοὶ γεγονυῖαν εὑρήσετε τῇ
πόλει. οὑτωσὶ δὲ λογίζεσθε· οὐδαμοῦ πώποτε * ὅποι
πρεσβευτὴς ἐπέμφθην ὑφ' ὑμῶν ἐγὼ, ἡττηθεὶς ἀπῆλ-
θον τῶν παρὰ φιλίππου πρέσβεων, οὐκ ἐκ Θετταλίας,
οὐδ' ἐξ Ἀμβρακίας, οὐκ ἐξ Ἰλλυριῶν, οὐ παρὰ τῶν Θρᾳ-
κῶν βασιλέων, οὐκ ἐκ Βυζαντίου, οὐκ ἄλλοθεν οὐδαμό-
θεν, οὐ τὰ τελευταῖα πρώην, ἐκ Θηβῶν· ἀλλ' ἐν οἷς

κρατηθεῖεν οἱ πρέσβεις ὑπὸ τῷ λόγῳ, ταῦτα τοῖς ὅπλοις ἐπιὼν κατεστρέφετο· ταῦτ' ἐν ἀπαιτεῖς παρ' ἐμοῦ, καὶ οὐκ αἰσχύνῃ τὸν αὐτὸν εἴς τε μαλακίαν σκώπτων, καὶ τῆς φιλίππου δυνάμεως ἀξιῶν ἐμὲ ὄντα κρείττω γενέσθαι; καὶ ταῦτα τοῖς λόγοις· τίνος γὰρ ἄλλου κύριος ἦν ἐγώ; οὐ γὰρ τῆς γε ἑκάστου ψυχῆς, οὐδὲ τῆς τύχης τῶν παραταξαμένων, οὐδὲ τῆς στρατηγίας, ἧς ἐμὲ ἀπαιτεῖς εὐθύνας· οὕτω σκαιὸς εἶ· ἀλλὰ μὴν, ὧν γ' ἂν ὁ ῥήτωρ ὑπεύθυνος εἴη, πᾶσαν ἐξέτασιν λαμβάνετε, οὐ παραιτοῦμαι· τίνα οὖν ἐστι ταῦτα; ἰδεῖν τὰ πράγματα ἀρχόμενα, καὶ προαισθέσθαι, καὶ προειπεῖν τοῖς ἄλλοις, ταῦτα πέπρακταί μοι· καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας, ὄκνους, ἀγνοίας φιλονεικίας, ἃ πολιτικὰ ταῖς πόλεσι πρόσεστιν ἁπάσαις, καὶ ἀναγκαῖα ἁμαρτήματα, ταῦθ' ὡς εἰς ἐλάχιστον συστεῖλαι, καὶ τοὐναντίον εἰς ὁμόνοιαν καὶ φιλίαν, καὶ τοῦ τὰ δέοντα ποιεῖν ὁρμὴν προτρέψαι· καὶ ταῦτά μοι πάντα πεποίηται. καὶ οὐδεὶς μή ποτε ἀνθρώπων εὕροι τὸ κατ' ἐμὲ οὐδὲν ἐλλειφθέν· εἰ τοίνυν τις ὁντινοῦν ἔροιτο, τίσι τὰ πλεῖστα φίλιππος ὧν κατέπραξε διῳκήσατο, πάντες ἂν εἴποιεν τῷ στρατοπέδῳ, καὶ τῷ διδόναι, καὶ διαφθείρειν τοὺς ἐπὶ τῶν πραγμάτων· οὐκοῦν τῶν μὲν δυνάμεων οὔτε κύριος, οὔθ' ἡγεμὼν ἦν ἐγώ· ὥστε οὐδὲ ὁ λόγος τῶν κατὰ ταῦτα πραχθέντων, πρὸς ἐμέ· καὶ μὴν, τῷ γε μὴ διαφθαρῆναι χρήμασι κεκράτηκα φιλίππου· ὥσπερ γὰρ ὁ ὠνούμενος νενίκηκε τὸν λαβόντα, ἐὰν πρίηται, οὕτως ὁ μὴ λαβὼν μηδὲ διαφθαρεὶς νενίκηκε τὸν ὠνούμενον· ὥστε ἀήττητος ἡ πόλις τὸ κατ' ἐμέ· ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαίως τοιαῦτα γράφειν τοῦτον περὶ ἐμοῦ, πρὸς πολλοῖς ἑτέροις, ταῦτα καὶ παραπλήσια τούτοις ἐστίν· ἃ δ' οἱ πάντες ὑμεῖς ἴστε, ταῦτ' ἤδη λέξω· μετὰ γὰρ τὴν μάχην εὐθὺς ὁ δῆμος εἰδὼς καὶ ἑορακὼς πάντα ὅσα ἔπραττον ἐγὼ, ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκὼς, ἡνίκα οὐδ' ἀγνωμονῆσαί τι θαυμαστὸν ἦν τοὺς πολλοὺς πρὸς ἐμὲ, πρῶτον μὲν περὶ σωτηρίας τῆς πόλεως, τὰς ἐμὰς γνώμας ἐχειροτόνει, καὶ πάνθ' ὅσα τῆς φυλακῆς ἕνεκα ἐπράττετο, ἡ διάταξις τῶν φυλάκων, αἱ τάφροι, τὰ εἰς τὰ τείχη χρήματα, διὰ τῶν ἐμῶν ψηφισμάτων ἐγίνετο· ἔπειτα αἱρούμενος σιτώνην ἐκ πάντων ἐμὲ ἐχειροτόνησεν ὁ δῆμος· καὶ μετὰ ταῦτα συ-

σάντων

πάντων οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, καὶ γραφάς, εὐθύνας, εἰσαγγελίας, πάντα ταῦτα ἐπαγόντων μοι, οὐ δι' ἑαυτῶν τόγε πρῶτον, ἀλλὰ δι' ὧν μάλιστα ὑπελάμβανον ἀγνοηθήσεσθαι· ἴστε γὰρ δήπου καὶ μέμνησθε, ὅτι τοὺς πρώτους χρόνους, καθ' ἑκάστην ἡμέραν ἐκρινόμην ἐγώ, καὶ οὔτ' ἀπόνοια Σωσικλέους, οὔτε συκοφαντία Φιλοκράτους, οὔτε Διώνδου, καὶ Μελάντου μανία, οὔτ' ἄλλο οὐδὲν ἀπείρατον ἦν τούτοις κατ' ἐμοῦ· ἐν τοίνυν τούτοις πᾶσι μάλιστα μὲν διὰ τοὺς θεούς, δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς ἄλλους ἅπαντας Ἀθηναίους ἐσωζόμην δικαίως· τοῦτο γὰρ καὶ ἀληθές ἐστι, καὶ ὑπὲρ τῶν ὀμωμοκότων, καὶ ὑπὲρ τῶν τὰ εὔορκα γνόντων δικαστῶν· οὐκοῦν ἐν μὲν οἷς εἰσηγγελλόμην, ὅτε ἀπεψηφίζεσθέ με, καὶ τὸ πέμπτον μέρος τῶν ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε, τότ' ἐψηφίζεσθε τὰ ἄριστά με πράττειν· ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφυγον, ἔννομα καὶ γράφειν καὶ λέγειν ἀπεδεικνύμην· ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε, δικαίως καὶ ἀδωροδοκήτως πάντα πεπρᾶχθαί μοι προσωμολογεῖτε· Τούτων οὖν οὕτως ἐχόντων τί προσῆκον ἢ τί δίκαιον ἦν τοῖς ὑπ' ἐμοῦ πεπραγμένοις θέσθαι τὸν Κτησιφῶντα ὄνομα; οὐχ ὃ τὸν δῆμον ἑώρα τιθέμενον; οὐχ ὃ τοὺς ὀμωμοκότας δικαστάς; οὐχ ὃ τὴν ἀλήθειαν παρὰ πᾶσι βεβαιοῦσαν; Ναί φησιν· ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν, τὸ μηδεμίαν γραφὴν φυγεῖν. καὶ νὴ Δί' εὔδαιμόν γε· ἀλλὰ τί μᾶλλον, ὁ πολλάκις μὲν φυγών, μηδεπώποτε δ' ἐξελεγχθεὶς ἀδικῶν, ἐν ἐγκλήματι γίγνοιτ' ἂν διὰ τοῦτο δικαίως· Καί τοι πρός γε τοῦτον, ἄνδρες Ἀθηναῖοι, καὶ τὸ τοῦ Κεφάλου καλὸν εἰπεῖν ἐστί μοι· οὐδεμίαν γὰρ πώποτ' ἐγράψατό με, οὐδ' ἐδίωξε γραφήν· ὥστε ὑπὸ σοῦ γε ὡμολόγημαι μηδὲν εἶναι τοῦ Κεφάλου χείρων πολίτης· πανταχόθεν μὲν τοίνυν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην αὐτοῦ καὶ τὴν βασκανίαν, οὐχ ἥκιστα δ' ἀφ' ὧν περὶ τῆς τύχης διελέχθη· ἐγὼ δ' ὅλως μὲν ὅς τις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει, παντελῶς ἀνόητον ἡγοῦμαι· ἣν γὰρ ὁ τὰ βέλτιστα πράττειν νομίζων, καὶ ἀρίστην ἔχειν οἰόμενος, οὐκ οἶδεν εἰ μενεῖ τοιαύτη μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; ἐπειδὴ δ' οὗτος πρὸς πολλοῖς ἄλλοις, καὶ περὶ τούτων ὑπερηφάνως κέχρηται τῷ λόγῳ, σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρήσατε, ὅσῳ

καὶ ἀληθέστερον καὶ ἀνθρωπινώτερον ἐγὼ περὶ τῆς τύχης τούτου διαλεχθήσομαι· ἐγὼ τὴν μὲν τῆς πόλεως τύχην ἀγαθὴν ἡγοῦμαι, καὶ ταῦθ' ὁρῶ καὶ τὸν Δία τὸν Δωδωναῖον ὑμῖν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον μαντευομένους, τὴν μέντοι τῶν πάντων ἀνθρώπων ἣ νῦν ἐπέχει, χαλεπὴν καὶ δεινήν· τίς γὰρ Ἑλλήνων, ἢ τίς βαρβάρων οὐ πολλῶν κακῶν ἐν τῷ παρόντι πεπείραται κυρῷ; τὸ μὲν τοίνυν προελέσθαι τὰ κάλλιστα, καὶ τὸ τῶν οἰηθέντων Ἑλλήνων εἰ πρόοιντο ἡμᾶς, ἐν εὐδαιμονίᾳ διάξειν, αὐτῶν ἐκείνων ἄμεινον πράττειν, τῆς ἀγαθῆς τύχης τῆς πόλεως εἶναι τίθημι· τὸ δὲ προσκροῦσαι, καὶ μὴ πάνθ' ὅσ' ἐβουλόμεθ' ἡμῖν συμβῆναι, τῆς τῶν ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον ἐφ' ἡμᾶς μέρος μετειληφέναι νομίζω τὴν πόλιν· τὴν δ' ἰδίαν τύχην τὴν ἐμὴν, καὶ τὴν ἑνὸς ἡμῶν ἑκάστου ἐν τοῖς ἰδίοις ἐξετάζειν δίκαιον εἶναι νομίζω· ἐγὼ μὲν ἂν οὑτωσὶ περὶ τῆς τύχης ἐξετάζειν ἀξιῶ, ὀρθῶς, καὶ δικαίως ὡς ἐμαυτῷ δοκῶ, νομίζω δὲ καὶ ὑμῖν συνδοκεῖν· ὁ δὲ, τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς πόλεως κυριωτέραν εἶναί φησι, τὴν μικρὰν καὶ φαύλην τῆς ἀγαθῆς καὶ μεγάλης· καὶ πῶς ἔνι τοῦτο γενέσθαι; καὶ μὴν εἴ γε τὴν ἐμὴν τύχην πάντως ἐξετάζειν, Αἰσχίνη, προαιρῇ, πρὸς τὴν σαυτοῦ σκόπει, κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ· Σκόπει τοίνυν εὐθὺς ἐξ ἀρχῆς, καί μου πρὸς Διὸς καὶ θεῶν, μηδεμίαν ψυχρότητα καταγνῷ μηδείς· ἐγὼ γὰρ οὔτ' εἴ τις πενίαν προπηλακίζει, νοῦν ἔχειν ἡγοῦμαι, οὔτ' εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται· ἀλλ' ὑπὸ τῆς τουτουῒ τοῦ χαλεποῦ βλασφημίας καὶ συκοφαντίας εἰς τοιούτους λόγους ἐμπίπτειν ἀναγκάζομαι, οἷς ἐκ τῶν ἐνόντων ὡς ἂν δύνωμαι μετριώτατα χρήσομαι· ἐμοὶ μὲν τοίνυν ὑπῆρξεν, Αἰσχίνη, παιδὶ μὲν ὄντι φοιτᾶν εἰς τὰ προσήκοντα διδασκαλεῖα, καὶ ἔχειν, ὅσα χρὴ τὸν μηδὲν αἰσχρὸν ποιήσοντα δι' ἔνδειαν· ἐξελθόντι δὲ ἐκ παίδων ἀκόλουθα τούτοις πράττειν, χορηγεῖν, τριηραρχεῖν, εἰσφέρειν, μηδεμιᾶς φιλοτιμίας μήτε ἰδίας, μήτε δημοσίας ἀπολείπεσθαι, ἀλλὰ καὶ τῇ πόλει, καὶ τοῖς φίλοις χρήσιμον εἶναι· ἐπειδὴ δὲ πρὸς τὰ κοινὰ προσελθεῖν, ἔδοξέ μοι τοιαῦτα πολιτεύματα ἑλέσθαι, ὥστε καὶ ὑπὸ τῆς πατρίδος, καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων πολλάκις ἐστεφανῶσθαι, καὶ μηδὲ τοὺς ἐχ-

θρὲς ὑμᾶς, ὡς οὐ καλά γε ἦν ἃ προῃρούμην, ἐπιχειρῶν λέγειν· ἐγὼ μὲν δὴ τοιαύτῃ συμβεβίωκα τύχῃ, καὶ πόλλ' ἂν ἔχων ἕτερ' εἰπεῖν περὶ αὐτῆς παραλείπω, φυλαττόμενος τὸ λυπῆσαί τινα ἐν οἷς σεμνύνομαι· σὺ δ' ὁ σεμνὸς ἀνὴρ, καὶ διαπτύων τοὺς ἄλλους, σκόπει πρὸς ταύτην ποίᾳ τινὶ κέχρησαι τύχῃ, δι' ἣν, παῖς μὲν ὤν, μετὰ πολλῆς ἐνδείας ἐτράφης, ἅμα τῷ πατρὶ πρὸς τῷ διδασκαλείῳ προσεδρεύων, τὸ μέλαν τρίβων, καὶ τὰ βάθρα σπογγίζων, καὶ τὸ παιδαγωγεῖον κορῶν, οἰκέτου τάξιν, οὐκ ἐλευθέρου παιδὸς ἔχων· ἀνὴρ δὲ γενόμενος τῇ μητρὶ τελούσῃ τὰς βίβλους ἀνεγίνωσκες, καὶ τἆλλα συνεσκευωροῦ, τὴν μὲν νύκτα νεβρίζων, καὶ κρατηρίζων, καὶ καθαίρων τοὺς τελουμένους, καὶ ἀπομάττων τῷ πηλῷ, καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ, καὶ κελεύων λέγειν, ἔφυγον κακὸν, εὗρον ἄμεινον, ἐπὶ τὸ μηδένα πώποτε τηλικοῦτον ὀλολύξαι σεμνυνόμενος, καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ' αὐτὸν φθέγγεσθαι μὲν οὕτω μέγα, ὀλολύζειν δ' οὐχ ὑπέρλαμπρον· ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς παρείας θλίβων, καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶν, Εὐοῖ Σαβοῖ, καὶ ἐπορχούμενος * Ὑῆς Ἄττης, Ἄττης Ὑῆς, ἔξαρχος καὶ προηγεμὼν, καὶ κιττοφόρος, καὶ λικνοφόρος, καὶ τὰ τοιαῦτα ὑπὸ τῶν γραϊδίων προσαγορευόμενος, μισθὸν λαμβάνων τούτων ἔνθρυπτα καὶ στρεπτοὺς καὶ νεήλατα, ἐφ' οἷς τίς οὐκ ἂν ὡς ἀληθῶς αὐτὸν εὐδαιμονήσειε, καὶ τὴν αὐτοῦ τύχην; ἐπειδὴ δ' εἰς τοὺς δημότας ἐνεγράφης, ὅπως δήποτε, ἐῶ γὰρ τοῦτο, ἐπειδή γ' ἐνεγράφης, εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων, ὑπογραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις· ὡς δ' ἀπηλλάγης ποτὲ καὶ τούτου, πάνθ' ἃ τῶν ἄλλων κατηγορεῖς, αὐτὸς ποιήσας, οὐ κατῄσχυνας μὰ Δί' οὐδὲν τῶν προϋπηργμένων τῷ μετὰ ταῦτα βίῳ, ἀλλὰ μισθώσας σαυτὸν τοῖς βαρυστόνοις ἐπικαλουμένοις ἐκείνοις ὑποκριταῖς * Σιμμύκᾳ καὶ Σωκράτει ἐτριταγωνίστεις, σῦκα καὶ βότρυς καὶ ἐλαίας συλλέγων, ὥσπερ ὀπωρώνης ἐκ τῶν ἀλλοτρίων χωρίων, πλείω λαμβάνων ἀπὸ τούτων τραυμάτων, ἢ τῶν ἀγώνων, οὓς ὑμεῖς περὶ τῆς ψυχῆς ἠγωνίζεσθε· ἦν γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ὑμῖν ὁ πρὸς τοὺς θεατὰς πόλεμος, ὑφ' ὧν τὰ πολλὰ τραύματα εἰληφώς.

φῶς, εἰκότως τὰς ἀπάρχας τῶν τοιούτων κινδύνων, ὡς δειλὸς σκώπτεις. Ἀλλὰ γὰρ παρεὶς ἐξ ὧν τὴν πενίαν αἰτιάσαιτ' ἄν τις, πρὸς αὐτὰ τὰ τοῦ τρόπου σου βαδιοῦμαι κατηγορήματα· τοιαύτην γὰρ εἵλου πολιτείαν, ἐπειδή ποτε καὶ τοῦτ' ἐπῆλθέ σοι ποιῆσαι, δι' ἣν εὐτυχούσης μὲν τῆς πατρίδος, λαγὼ βίον ἔζης, δεδιὼς καὶ τρέμων, καὶ ἀεὶ πληγήσεσθαι προσδοκῶν, ἐφ' οἷς σαυτῷ συνῄδεις ἀδικοῦντι· ἐν οἷς δ' ἠτύχησαν οἱ ἄλλοι, θρασὺς ὢν ὑφ' ἁπάντων ὦψαι· καί τοι, ὅς τις χιλίων πολιτῶν ἀποθανόντων ἐθάῤῥησε, τί οὗτος παθεῖν ὑπὸ τῶν ζώντων δίκαιός ἐστι; Πολλὰ τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ, παραλείψω· οὐ γὰρ ὅσ' ἂν δείξαιμι προσόντ' αἰσχρὰ τούτῳ καὶ ὀνείδη, πάντ' οἶμαι δεῖν εὐχερῶς λέγειν, ἀλλ' ὅσα μηδὲν αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί· ἐξέτασον τοίνυν παρ' ἄλληλα, τὰ σοὶ καὶ ἐμοὶ βεβιωμένα πράως καὶ μὴ πικρῶς Αἰσχίνη· εἶτ' ἐρώτησον τουτουσί, τὴν ὁποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν· ἐδίδασκες γράμματα, ἐγὼ δ' ἐφοίτων· ἐτέλεις, ἐγὼ δ' ἐτελούμην· ἐχόρευες, ἐγὼ δ' ἐχορήγουν· ἐγραμμάτευες, ἐγὼ δ' ἐκκλησίαζον· ἐτριταγωνίστεις, ἐγὼ δ' ἐθεώρουν· ἐξέπιπτες, ἐγὼ δ' ἐσύριττον· ὑπὲρ τῶν ἐχθρῶν πεπολίτευσαι πάντα, ἐγὼ δὲ ὑπὲρ τῆς πατρίδος· ἐῶ τἆλλα· ἀλλὰ νυνὶ τήμερον, ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι, τὸ δὲ μηδοτιοῦν ἀδικεῖν, ἀνωμολόγημαι· σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει· κινδυνεύεις δὲ, εἴτε δεῖ σε ἔτι τοῦτο ποιεῖν, εἴτε ἤδη πεπαῦσθαι, μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων· ἀγαθῇ δὲ, οὐχ ὁρᾷς, τύχῃ συμβεβιωκὼς, τῆς ἐμῆς ὡς φαύλης κατηγορεῖς· φέρε δὴ καὶ τὰς τῶν λειτουργιῶν μαρτυρίας, ὧν λελειτούργηκα, ὑμῖν ἀναγνῶ πάσας· παραναγνῶθι δὴ ὑμῖν καὶ σὺ τὰς ῥήσεις ἃς ἐλυμαίνου· ἥκω λιπὼν κευθμῶνα καὶ σκότου πύλας, καὶ κακ' ἀγγελεῖν μὲν ἴσθι μὴ θέλοντά με, καὶ κακὸν κακῶς σε μάλιστα μὲν οἱ θεοὶ, ἔπειτα δὲ οὗτοι πάντες ἀπολέσειαν, πονηρὸν ὄντα πολίτην καὶ προδότην καὶ τριταγωνιστήν. Λέγε τὰς μαρτυρίας. Μαρτυρίαι.

Ἐν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν, τοιοῦτος· ἐν δὲ τοῖς ἰδίοις, εἰ μὴ πάντες ἴστε ὅτι κοινὸς καὶ φιλάνθρωπος, καὶ τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ· καὶ οὐδὲν ἂν εἴποιμι, οὐδὲ παρασχοίμην ἂν περὶ τούτων οὐδεμίαν μαρ-

μαρτυρίαν, εἴτ' εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, εἴτ' εἴ τισι θυγατέρας συνεξέδωκα, ἢ τι τῶν τοιούτων οὐδέν· καὶ γὰρ οὕτω πως ὑπείληφα· ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον, τὸν δὲ εὖ ποιήσαντα, εὐθὺς ἐπιλελῆσθαι· εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ, μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου· τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν, καὶ λέγειν, μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν· οὐ δὴ ποιήσω τοιοῦτον οὐδὲν, οὐδὲ προαχθήσομαι, ἀλλ' ὅπως ποθ' ὑπείλημμαι περὶ τούτων, ἀρκεῖ μοι· βούλομαι δὲ τῶν ἰδίων ἀπαλλαγεὶς, ἔτι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν περὶ τῶν κοινῶν· εἰ μὲν γὰρ ἔχεις Αἰσχίνη, τῶν ὑπὸ τουτονὶ τὸν ἥλιον εἰπεῖν ἀνθρώπων, ὅς τις ἀθῷος τῆς Φιλίππου πρότερον, καὶ νῦν τῆς Ἀλεξάνδρου δυναστείας γέγονεν, ἢ τῶν Ἑλλήνων, ἢ τῶν βαρβάρων, ἔστω· συγχωρῶ σοι, τὴν ἐμὴν εἴτε τύχην, εἴτε δυστυχίαν ὀνομάζειν βούλει, πάντων αἰτίαν γεγενῆσθαι· εἰ δὲ καὶ τῶν μηδὲ πώποτ' ἰδόντων ἐμὲ, μηδὲ φωνὴν ἀκηκοότων ἐμοῦ, πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον κατ' ἄνδρα, ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη· πόσῳ δικαιότερον καὶ ἀληθέστερον, τὴν ἁπάντων, ὡς ἔοικεν, ἀνθρώπων τύχην κοινὴν, καὶ φοράν τινα πραγμάτων χαλεπὴν, καὶ οὐχ οἵαν ἔδει, τούτων αἰτίαν ἡγεῖσθαι; σὺ τοίνυν ταῦτα ἀφεὶς, ἐμὲ τὸν παρὰ τουτοισὶ πολιτευόμενον αἰτιᾷ, καὶ ταῦτ' εἰδὼς ὅτι καὶ εἰ μὴ τὸ ὅλον, μέρος γ' ἐπιβάλλει τῆς βλασφημίας ἅπασι, καὶ μάλιστα σοί· εἰ μὲν γὰρ ἐγὼ κατ' ἐμαυτὸν αὐτοκράτωρ ὢν περὶ τῶν πραγμάτων ἐβουλευόμην, ἦν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἐμὲ αἰτιᾶσθαι· εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις ἀεὶ, ἐν κοινῷ δὲ τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν, πᾶσι δὲ ταῦτ' ἐδόκει τότε ἄριστα εἶναι, καὶ μάλιστα σοί· οὐ γὰρ ἐπ' εὐνοίᾳ γ' ἐμοὶ παρεχώρεις ἐλπίδων, καὶ ζήλου, καὶ τιμῶν, ἃ πάντα προσῆν τοῖς τότε πραττομένοις ὑπ' ἐμοῦ, ἀλλὰ τῆς ἀληθείας ἡττώμενος δηλονότι, καὶ τῷ μηδὲν ἔχειν εἰπεῖν βέλτιον· πῶς οὐκ ἀδικεῖς, καὶ δεινὰ ποιεῖς, τούτοις νῦν ἐγκαλῶν, ὧν τότε οὐκ εἶχες λέγειν βελτίω; παρὰ μὲν τοίνυν τοῖς ἄλλοις, ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα πως τὰ τοιαῦτα· ἀδικεῖ τις ἑκών; ὀργὴ καὶ τιμωρία κατ' αὐτοῦ· ἐξήμαρτέ τις ἄκων; συγγνώμη ἀντὶ τῆς τιμωρίας τούτῳ

ἔστι.

οὔτε ἀδικῶν τις, οὔτ' ἐξαμαρτάνων εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν ἑαυτὸν δοὺς οὐ κατώρθωσε μεθ' ἁπάντων· οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον, ἀλλὰ συνάχθεσθαι· φανήσεται τοίνυν ταῦτα πάντα οὕτως οὐ μόνον ἐν τοῖς νόμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νομίμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν· Αἰσχίνης τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι, καὶ συκοφαντίᾳ, ὥστε καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ, καὶ πρὸς τοῖς ἄλλοις ὥσπερ αὐτὸς ἁπλῶς καὶ μετ' εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ τηρεῖν ἐκέλευεν, ὅπως μὴ παρακρούσωμαι, μηδὲ ἐξαπατήσω, δεινὸν, καὶ γόητα, καὶ σοφιστὴν, καὶ τὰ τοιαῦτα ὀνομάζων. ὡς ἐὰν πρότερός τις εἴπῃ τὰ προσόνθ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα, καὶ οὐκέτι τοὺς ἀκούοντας σκεψομένους, τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα λέγων· ἐγὼ δὲ οἶδ' ὅτι γιγνώσκετε τοῦτον ἅπαντες, καὶ πολὺ τούτῳ μᾶλλον, ἢ ἐμοὶ νομίζετε ταῦτα προσεῖναι, καὶ ἐκεῖνο δ' εὖ οἶδ' ὅτι τὴν ἐμὴν δεινότητα· ἔστω γὰρ, καίτοι ἔγωγε ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον μέρος κυρίους ὄντας· ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε, καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν· εἰ δ' οὖν ἐστὶ καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, ταύτην μὲν εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην ὑπὲρ ὑμῶν ἀεὶ, καὶ οὐδαμοῦ καθ' ὑμῶν, οὐδ' ἰδίᾳ· τὴν δὲ τούτου τοὐναντίον οὐ μόνον τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον, ἢ προσέκρουσέ που, κατὰ τούτων· οὐ γὰρ αὐτῇ δικαίως οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει χρῆται· οὔτε γὰρ τὴν ὀργὴν, οὔτε τὴν ἔχθραν, οὔτε ἄλλο οὐδὲν τῶν τοιούτων, τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰσεληλυθότας δικαστὰς ἀξιοῦν αὐτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰσιέναι, ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει, εἰ δ' ἄρα ἀνάγκη, πρᾴως καὶ μετρίως διακείμενον ἔχειν· ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἐστί τι τῷ δήμῳ, ἐν τούτοις· ταῦτα γὰρ γενναίου καὶ ἀγαθοῦ πολίτου, μηδενὸς δὲ ἀδικήματος πώποτε δημοσίου, προσθήσω δὲ μηδ' ἰδίου δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ, μήθ' ὑπὲρ τῆς πόλεως,

μήθ'

μήθ' ὑπὲρ αὐτοῦ στεφάνου καὶ ἐπαίνου κατηγορίαν νῦν ἥκειν συνεσκευασμένον, καὶ τοσουτουσὶ λόγους ἀνηλωκέναι, ἰδίας ἔχθρας, καὶ φθόνου, καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ· τὸ δὲ δὴ καὶ τοὺς πρὸς ἐμὲ αὐτὸν ἀγῶνας ἐάσαντα, νῦν ἐπὶ τόνδ' ἥκειν, πᾶσαν ἔχει κακίαν· καὶ ἐμοί γε δοκεῖς ἐκ τούτων Αἰσχίνη τῶν λόγων ἐπίδειξίν τινα φωνασκίας βουλόμενος ποιήσασθαι, τοῦτον προελέσθαι τὸν ἀγῶνα, οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν· ἔστι δ' οὐχ ὁ λόγος τοῦ ῥήτορος Αἰσχίνη * τίμιος, οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς, καὶ τὸ, τοὺς αὐτοὺς μισεῖν καὶ φιλεῖν, οὕς περ ἂν ἡ πατρίς· ὁ γὰρ οὕτως ἔχων τὴν ψυχὴν, οὗτος ἐπ' εὐνοίᾳ πάντ' ἐρεῖ· ὁ δ' ἀφ' ὧν ἡ πόλις προορᾶταί τινα κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων, οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς· οὔκουν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν· ἀλλ' ὁρᾷς; ἐγὼ ταὐτὰ γὰρ συμφέροντα εἱλόμην τουτοισὶ, καὶ οὐδὲν ἐξαίρετον οὐδ' ἴδιον πεποίημαι· ἆρ' οὖν οὐδὲ σύ; καὶ πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην πρεσβευτὴς ἐπορεύου πρὸς φίλιππον, ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι, καὶ ταῦτ' ἀρνούμενος πάντα τὸν ἔμπροσθεν χρόνον ταύτην τὴν χρείαν, ὡς πάντες ἴσασι· καί τοι τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ; τῷ δ' ὁ κῆρυξ καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν δικαίως; οὐ τῷ τοιούτῳ; τί δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα κατ' ἀνδρὸς ῥήτορος; ἢ μὴ ταὐτὰ καὶ φρονεῖ, καὶ λέγει· σὺ τοίνυν οὗτος εὑρέθης· εἶτα σὺ φθέγγῃ, καὶ βλέπειν εἰς τὰ τουτωνὶ πρόσωπα τολμᾷς; πότερ' οὐχ ἡγῇ γινώσκειν αὐτοὺς ὅς τις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ λήθην ἅπαντας ἔχειν, ὥστ' οὐ μεμνῆσθαι τοὺς λόγους, οὓς ἐδημηγόρεις ἐν τῷ δήμῳ καταρώμενος καὶ διομνύμενος, μηδὲν εἶναί σοι καὶ φιλίππῳ πρᾶγμα, ἀλλ' ἐμὲ τὴν αἰτίαν σοι ταύτην ἐπάγειν, τῆς ἰδίας ἕνεκα ἔχθρας, οὐκ οὖσαν ἀληθῆ; ὡς δ' ἀπηγγέλθη τάχισθ' ἡ μάχη, οὐδὲν τούτων φροντίσας εὐθὺς ὡμολόγεις καὶ προσεποιοῦ φιλίαν καὶ ξενίαν εἶναί σοι πρὸς αὐτόν; τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα. ἐκ ποίας γὰρ ἴσης ἢ δικαίας προφάσεως Αἰσχίνῃ, τῷ Γλαυκοθέας τῆς τυμπανιστρίας ξένος, ἢ φίλος, ἢ γνώριμος ἦν φίλιππος, ἐγὼ μὲν οὐχ ὁρῶ· ἀλλ' ἐμισθώθης ἐπὶ τῷ

τὰ

τὰ τουτουὶ συμφέροντα διαφθείρειν· ἀλλ' ὅμως οὕτω φανερῶς αὐτοῖς εἰλημμένος προδότης, καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ τοῖς συμβᾶσι γεγονώς, ἐμοὶ λοιδορῇ, καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις, ἢ ἐμέ· πολλὰ καὶ καλὰ καὶ μεγάλα ἡ πόλις Αἰσχίνη, καὶ προείλετο καὶ κατώρθωσε δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησε· σημεῖον δέ· χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα, οὐ σὲ ἐχειροτόνησε προβληθέντα, καίπερ εὔφωνον ὄντα, οὐδὲ Δημάδην ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' Ἡγήμονα, οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμέ· καὶ παρελθόντος σοῦ καὶ Πυθοκλέους ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί, καὶ κατηγορούντων ἐμοῦ ταῦτα, ἃ καὶ σὺ νυνί, καὶ λοιδορουμένων, ἔτι ἄμεινον ἐχειροτόνησεν ἐμέ· τὸ δ' αἴτιον, οὐκ ἀγνοεῖς μέν, ὅμως δὲ φράσω σοι καὶ ἐγώ· ἀμφότερα ᾔδεσαν αὐτοί, τήν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ' ἧς τὰ πράγματ' ἔπραττον, καὶ τὴν ὑμετέραν ἀδικίαν· ἃ γὰρ εὐθυνόντων τῶν πραγμάτων ἠρνεῖσθε διομνύμενοι, ταῦτ' ἐν οἷς ἔπταισεν ἡ πόλις, ὡμολογήσατε· τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν ὧν ἐφρόνειν, λαβόντας ἄδειαν, ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τόθ' ἡγήσαντο αὐτοῖς γεγενῆσθαι· εἶτα καὶ προσήκειν ὑπελάμβανον τὸν ἐροῦντα τότ' ἐπὶ τοῖς τετελευτηκόσι, καὶ τὴν ἐκείνων ἀρετὴν κοσμήσοντα, μήθ' ὁμωρόφιον, μήθ' ὁμόσπονδον γεγενημένον εἶναι τοῖς πρὸς ἐκείνους παραταξαμένοις· μηδ' ἐκεῖ μὲν κωμάζειν καὶ παιωνίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφοραῖς μετὰ τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ' ἐλθόντας τιμᾶσθαι, καὶ μηδὲ τῇ φωνῇ δακρύειν ὑποκρινομένους τὴν ἐκείνων τύχην, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν. τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς καὶ παρ' ἐμοί, παρὰ δ' ὑμῖν οὔ· διὰ ταῦτ' ἐμὲ ἐχειροτόνησαν, καὶ οὐχ ὑμᾶς· καὶ οὐχ ὁ μὲν δῆμος οὕτως, οἱ δὲ τῶν τετελευτηκότων πατέρες καὶ ἀδελφοὶ ὑπὸ τοῦ δήμου τότε αἱρεθέντες ἐπὶ τὰς ταφάς, ἄλλως πως, ἀλλὰ δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον ὡς παρ' οἰκειοτάτῳ τῶν τετελευτηκότων, ὥσπερ τἆλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί· εἰκότως· γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ· κοινῇ δὲ πᾶσιν, οὐδεὶς ἐγγυτέρω· ᾧ γὰρ ἐκείνους σωθῆναι καὶ κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καὶ παθόντων ἃ μήποτ' ὤφελον, τῆς ὑπὲρ ἁπάν-

των

τῶν λύπης πλεῖστον μετεῖχε· λέγε δ' αὐτῷ τοῦτο τὸ ἐπίγραμμα, ὃ δημοσίᾳ προείλετο ἡ πόλις αὐτοῖς ἐπιγράψαι· ἵν' εἰδῇς Αἰσχίνη καὶ ἐν αὐτῷ τούτῳ σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα, καὶ μιαρόν. Λέγε.

## ΕΠΙΓΡΑΜΜΑ.

Οἵδε πάτρας ἕνεκα σφετέρας εἰς δῆριν ἔθεντο
Ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν.
Μαρνάμενοι δ' ἀρετῆς καὶ δείματος, οὐκ ἐσάωσαν
Ψυχάς, ἀλλ' ἀΐδην κοινὸν ἔθεντο βράβην,
Οὕνεκεν ἑλλήνων· ὡς μὴ ζυγὸν αὐχένι θέντες,
Δουλοσύνης στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν·
Γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
Σώματ', ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις.
Μηδὲν ἁμαρτεῖν ἐστι θεῶν, καὶ πάντα κατορθοῦν
Ἐν βιοτῇ, μοῖραν δ' οὔτι φυγεῖν ἔπορεν.

Ἀκούεις Αἰσχίνη καὶ ἐν αὐτῷ τούτῳ, ὡς τὸ μηδὲν ἁμαρτεῖν ἐστι θεῶν, καὶ πάντα κατορθοῦν; οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν, ἀλλὰ τοῖς θεοῖς· τί οὖν ὦ κατάρατε ἐμοὶ περὶ τούτων λοιδορῇ, καὶ λέγεις, ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν εἰς κεφαλήν; Πολλὰ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, καὶ ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου, ἓν μάλιστ' ἐθαύμασα ἁπάντων, ὅτι τῶν συμβεβηκότων τότε τῇ πόλει ἀνακινηθείς, οὐχ ὡς ἂν εὔνους, οὐδὲ δίκαιος πολίτης ἔσχε τὴν γνώμην, οὐδ' ἐδάκρυσεν, οὐδ' ἔπαθεν οὐδὲν τοιοῦτον τῇ ψυχῇ· ἀλλ' ἐπάρας τὴν φωνὴν καὶ γεγηθώς, καὶ λαρυγγίζων ᾤετο μὲν ἐμοῦ κατηγορεῖν δηλονότι, δεῖγμα δὲ ἐξέφερε καθ' ἑαυτοῦ, ὅτι τοῖς γεγενημένοις ἀνιαροῖς οὐδὲν ὁμοίως ἔσχε τοῖς ἄλλοις· καίτοι τὸν τῶν νόμων καὶ τῆς πολιτείας φάσκοντα φροντίζειν, ὥσπερ οὗτος νυνί, καὶ εἰ μηδὲν ἄλλο, τοῦτό γ' ἔχειν δεῖ, τὸ ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς, καὶ μὴ τῇ προαιρέσει τῶν κοινῶν ἐν τῷ τῶν ἐναντίων μέρει τετάχθαι· ὃ σὺ νυνὶ πεποιηκὼς εἶ φανερός, ἐμὲ πάντων αἴτιον, καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων ἐμπεσεῖν τὴν πόλιν, οὐκ ἀπὸ τῆς ἐμῆς πολιτείας, οὐδὲ προαιρέσεως ἀρξαμένων ὑμῶν τοῖς ἕλλησι βοηθεῖν· ἐπεὶ ἔμοιγ' εἰ τοῦτο δοθείη παρ'

ὑμῶν,

ὑμῶν, τοσαῦτα δι' ἐμὲ ὑμᾶς ἠλαττῶσθαι τῆς κατὰ τῶν Ἑλλήνων ἀρχῆς πραττομένης, μείζων ἂν δοθείη δωρεὰ συμπασῶν ὧν τοῖς ἄλλοις δεδώκατε· ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα φήσαιμι, ἀδικοίην γὰρ ἂν ὑμᾶς, οὔτ' ἂν ὑμεῖς εὖ οἶδ' ὅτι συγχωρήσαιτε, οὗτός τ' εἰ δίκαια ἐποίει, οὐκ ἂν ἕνεκα τῆς πρὸς ἐμὲ ἔχθρας, τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτε καὶ διέβαλλεν· ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερα ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου; ὃς γὰρ ἐμοῦ φιλιππισμόν, ὦ γῆ καὶ θεοί, κατηγορεῖ, τί οὗτος οὐκ ἂν εἴποι; καίτοι νὴ τὸν Ἡρακλέα καὶ πάντας τοὺς θεούς, εἴ γ' ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι, τὸ καταψεύδεσθαι, καὶ δι' ἔχθραν τι λέγειν ἀνελόντας ἐκ μέσου, τίνες ὡς ἀληθῶς εἰσιν, οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες, τοὺς ὁμοίους τούτῳ παρ' ἑκάστῃ τῶν πόλεων εὕροι τις ἄν, οὐχὶ τοὺς ἐμοί· οἳ ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κομιδῇ μικρά, πολλάκις προλεγόντων ἡμῶν, καὶ παρακαλούντων, καὶ διδασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν· Θετταλούς, Δάοχος, Κινέας, Θρασύδαιος· Ἀρκάδας, Κερκιδᾶς, Ἱερώνυμος, Εὐκαλπίδας· Ἀργείους, Μύρτις, Τελέδαμος, Μνασέας· Ἠλείους, Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος· Μεσσηνίους, οἱ Φιλιάδου τοῦ θεοῖς ἐχθροῦ παῖδες, Νέων, καὶ Θρασύλοχος· Σικυωνίους, Ἀρίστρατος, Ἐπιχάρης· Κορινθίους, Δείναρχος, Δημάρατος· Μεγαρέας, Πτιόδωρος, Ἕλιξος, Περίλαος· Θηβαίους, Τιμόλαος, Θεογείτων, Ἀνεμοίτας· Εὐβοέας, Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος· ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα· οὗτοι πάντες εἰσίν, ἄνδρες Ἀθηναῖοι, τῶν αὐτῶν βουλευμάτων ἐν ταῖς αὐτῶν πατρίσιν, ὧν περ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροί, καὶ κόλακες, καὶ ἀλάστορες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην αὐτῶν, ἃ τοῖς προτέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, ἀνατετροφότες·

φύντες· ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστάσεως καὶ κακίας, μᾶλλον δ', ὦ ἄνδρες Ἀθηναῖοι, προδοσίας, εἰ δεῖ μὴ ληρεῖν, τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἥ τε πόλις παρὰ πᾶσιν ἀνθρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων, καὶ ἐγὼ παρ' ὑμῖν· εἶτά μ' ἐρωτᾷς ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; ἐγὼ δή σοι λέγω, ὅτι τῶν πολιτευομένων παρὰ τοῖς Ἕλλησι διαφθαρέντων ἁπάντων ἀρξαμένων ἀπὸ σοῦ, πρότερον μὲν ὑπὸ Φιλίππου, νῦν δ' ὑπ' Ἀλεξάνδρου, ἐμὲ οὔτε καιρὸς, οὔτε φιλανθρωπία λόγων, οὔτ' ἐπαγγελιῶν μέγεθος, οὔτ' ἐλπὶς, οὔτε φόβος, οὔτε χάρις, οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν, οὐδὲ προηγάγετο, ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι, οὐδὲν προδοῦναι. οὐδ' ὅσα συμβεβούλευκα πώποτε τουτοισὶν ὁμοίως ὑμῖν, * ὥσπερ ἂν εἰ ἐν τρυτάνῃ ῥέπων ἐπὶ τὸ λῆμμα συμβεβούλευκα, ἀλλ' ἀπ' ὀρθῆς, καὶ δικαίας, καὶ ἀδιαφθόρου τῆς ψυχῆς πάντα μοι πέπρακται, καὶ μεγίστων δὴ πραγμάτων τῶν κατ' ἐμαυτὸν ἀνθρώπων προστὰς πάντα ταῦτα ὑγιῶς καὶ δικαίως πεπολίτευμαι· διὰ ταῦτ' ἀξιῶ τιμᾶσθαι· τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν, ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω· πῶς γὰρ οὔ; πόρρω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι· οὐ γὰρ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγὼ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα, καὶ πόλεις, καὶ τόπους, καὶ λιμένας, καὶ ναῦς, καὶ πολλοὺς ἵππους, καὶ τοὺς ὑπὲρ τούτων ἀμυνουμένους· ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, ὅσον ἦν ἀνθρωπίνῳ λογισμῷ δυνατὸν, καὶ τούτοις ἐτείχισα τὴν χώραν, οὐχὶ τὸν κύκλον μόνον τοῦ Πειραιῶς, οὐδὲ τοῦ ἄστεος· οὐδέ γ' ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου, πολλοῦ γε καὶ δεῖ, οὐδὲ ταῖς παρασκευαῖς, ἀλλ' οἱ τῶν συμμάχων στρατηγοὶ, καὶ αἱ δυνάμεις τῇ τύχῃ· τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ φανεραί· σκοπεῖτε δέ· τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν; τί τὸν μετὰ πάσης προνοίας καὶ προθυμίας καὶ δικαιοσύνης ὑπὲρ τῆς πατρίδος πολιτευόμενον; οὐκ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς; ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν, ἐκ δὲ τῶν πρὸς Πελοπόννησον τόπων, τοὺς ὁμόρους ταύτῃ; οὐ τὴν σιτοπομπίαν, ὅπως παρὰ πᾶ-

σαν

σαι φιλίαν ἄχρι τοῦ Πειραιῶς κομισθήσεται προΐεσθαι; καὶ τὰ μὲν, σῶσαι τῶν ὑπαρχόντων, ἐκπέμποντα βοηθείας, καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα, τὴν Προκόννησον, τὴν Χερρόνησον, τὴν Τένεδον, τὰ δ' ὅπως οἰκεῖα καὶ σύμμαχα ὑπάρξῃ, πρᾶξαι τὸ Βυζάντιον, τὴν Ἄβυδον, τὴν Εὔβοιαν; καὶ τῶν μὲν τοῖς ἐχθροῖς ὑπαρχουσῶν δυνάμεων τὰς μεγίστας ἀφελεῖν, ὧν δ' ἐνέλιπε τῇ πόλει, ταῦτα προσθεῖναι; ταῦτα τοίνυν ὑμῖν ἅπαντα πέπρακται τοῖς ἐμοῖς ψηφίσμασι καὶ τοῖς ἐμοῖς πολιτεύμασιν· ἃ καὶ βεβουλευμένα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου τις βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει, καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ, καὶ τὸν ἑκάστου καιρὸν οὐ παρεθέντα, οὐδ' ἀγνοηθέντα, οὐδὲ προεθέντα ὑπ' ἐμοῦ, καὶ ὅσα εἰς ἀνδρὸς ἑνὸς δύναμιν καὶ λογισμὸν ἧκεν, οὐδὲν ἐλλειφθέν· εἰ δὲ ἢ δαίμονός τινος, ἢ τύχης ἰσχύς, ἢ στρατηγῶν φαυλότης, ἢ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία, ἢ πάντα ταῦτα ἐλυμαίνετο τοῖς ὅλοις, ἕως ἀνέτρεψε, τί Δημοσθένης ἀδικεῖ; εἰ δ' οἷος ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο· μᾶλλον δ' εἰ ἕνα ἄνδρα μόνον Θετταλία, καὶ ἕνα ἄνδρα Ἀρκαδία, ταὐτὰ φρονοῦντα ἔσχον ἐμοί, οὐδεὶς οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων, οὔτε τῶν εἴσω τοῖς παροῦσι κακοῖς ἐκέχρητ' ἄν, ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι, καὶ αὐτόνομοι μετὰ πάσης ἀδείας ἀσφαλῶς ἐν εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν πατρίδας, τῶν τοσούτων καὶ τοιούτων ἀγαθῶν ὑμῖν, καὶ τοῖς ἄλλοις Ἀθηναίοις ἔχοντες χάριν δι' ἐμέ· ἵνα δ' εἰδῆτε, ὅτι πολλῷ τοῖς λόγοις ἐλάττοσι χρῶμαι τῶν ἔργων, εὐλαβούμενος τὸν φθόνον, λέγε μοι ταυτί, καὶ ἀνάγνωθι λαβὼν τὸν ἀριθμὸν τῶν βοηθειῶν κατὰ τὰ ἐμὰ ψηφίσματα.

Ἀριθμὸς βοηθειῶν, κατὰ ἐμὰ ψηφίσματα.

Ταῦτα καὶ τὰ τοιαῦτα πράττειν, Αἰσχίνη, τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ· ὧν κατορθουμένων μὲν, ὦ γῆ καὶ θεοί, ἐν μεγίστοις ἀναμφισβητήτως ὑπῆρχεν εἶναι, καὶ τὸ δικαίως προσῆν, ὡς ἑτέρως δὲ συμβάντων, τὸ γοῦν εὐδοκιμεῖν περίεστι, καὶ τὸ μηδένα μέμφεσθαι τὴν πόλιν, μηδὲ τὴν προαίρεσιν αὐτῆς· ἀλλὰ τὴν τύχην κακίζειν, τὴν οὕτω τὰ πράγματα κρίνασαν, οὐ μὰ Δί' οὐκ ἀποστάντα τῶν συμφερόντων τῇ πόλει, μισθώσαντα δ' αὑτὸν τοῖς ἐναντίοις τοὺς ὑπὲρ τῶν ἐχθρῶν και-

ροὺς

μὴ ἐπὶ τὴν τῆς πατρίδος θεραπείαν· οὐ δὲ τὸν μετὰ πράγματα ἄξια τῆς πόλεως ὑποστάντα λέγειν καὶ γράφειν, καὶ μένειν ἐπὶ τούτων, βασκαίνειν· ἐὰν δέ τις ἰδίᾳ τι λυπήσῃ, τοῦτο μεμνῆσθαι καὶ τηρεῖν· οὐδ' ἡσυχίαν ἄγειν ἄδικον καὶ ὕπουλον, ὡς σὺ ποιεῖς πολλάκις· ἔστι γὰρ ἔστιν ἡσυχία δικαία καὶ συμφέρουσα τῇ πόλει, ἣν οἱ πολλοὶ τῶν πολιτῶν ὑμεῖς ἁπλῶς ἄγετε· ἀλλ' οὐ ταύτην οὗτος ἄγει τὴν ἡσυχίαν, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ἀποστάς, ὅταν αὐτῷ δόξῃ τῆς πολιτείας, πολλάκις δὲ δοκεῖ, φυλάττει ὁπηνίκα ἔσεσθε μεστοὶ τοῦ συνεχῶς λέγοντος, ἢ παρὰ τῆς τύχης τι συμβέβηκεν ἐναντίωμα, ἢ ἄλλο τι δύσκολον γέγονε· πολλὰ δὲ τἀνθρώπινα· εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας, ὥσπερ πνεῦμα ἐφάνη, καὶ πεφωνασκηκώς, καὶ συνειλοχὼς ῥήματα καὶ λόγους, συνείρει τούτους σαφῶς, καὶ ἀπνευστί, ὄνησιν μὲν οὐδεμίαν φέροντας, οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός, συμφορὰν δὲ τῷ τυχόντι τῶν πολιτῶν καὶ κοινὴν αἰσχύνην· καίτοι ταύτης τῆς μελέτης καὶ τῆς ἐπιμελείας, Αἰσχίνη, εἴπερ ἐκ ψυχῆς δικαίας ἐγίγνετο, καὶ τὰ τῆς πατρίδος συμφέροντα προῃρημένης, τοὺς καρποὺς ἔδει γενναίους καὶ καλοὺς καὶ πᾶσιν ὠφελίμους εἶναι, συμμαχίας πόλεων, πόρους χρημάτων, ἐμπορίου κατασκευήν, νόμων συμφερόντων θέσεις, τοῖς ἀποδειχθεῖσιν ἐχθροῖς ἐναντιώματα· τούτων γὰρ ἁπάντων ἦν ἐν τοῖς ἄνω χρόνοις ἐξέτασις· καὶ ἔδωκεν ὁ παρελθὼν χρόνος πολλὰς ἀποδείξεις ἀνδρὶ καλῷ τε καὶ ἀγαθῷ, ἐν οἷς οὐδαμοῦ σὺ φανήσῃ γεγονώς, οὐ πρῶτος, οὐ δεύτερος, οὐ τρίτος, οὐ τέταρτος, οὐ πέμπτος, οὐχ ἕκτος, οὐχ ὁποστοσοῦν· οὔκουν ἐπί γε οἷς ἡ πατρὶς ηὐξάνετο· τίς γὰρ συμμαχία σοῦ πράξαντος γέγονε τῇ πόλει; τίς δὲ βοήθεια, ἢ κτῆσις εὐνοίας, ἢ δόξης; τίς δὲ πρεσβεία; τίς διακονία, δι' ἣν ἡ πόλις ἐντιμοτέρα γέγονε, τί τῶν οἰκείων, ἢ τῶν ἑλληνικῶν καὶ ξενικῶν, οἷς ἐπέστης, ἐπηνωρθώθη διὰ σέ; ποῖαι τριήρεις; ποῖα βέλη; ποῖοι νεώσοικοι; τίς ἐπισκευὴ τειχῶν; ποῖον ἱππικόν; τί τῶν ἁπάντων σὺ χρήσιμος εἶ; τίς ἢ τοῖς εὐπόροις, ἢ τοῖς ἀπόροις πολιτικὴ καὶ κοινὴ βοήθεια χρημάτων παρὰ σοῦ; οὐδεμία· ἀλλ' ὦ τᾶν, εἰ μηδὲν τούτων, εὔνοιά γε καὶ προθυμία; ποῦ, πότε, ὅς τις, ὦ πάντων ἀδικώτατε, οὐδ' ὅτε ἅπαντες ὅσοι πώποτ' ἐφθέγ-

ξαντο

ξαντο ἐπὶ τοῦ βήματος, εἰς σωτηρίαν ἐπεδίδοσαν, καὶ τὸ τελευταῖον Ἀριστόνικος τὸ συνειλεγμένον ἀργύριον εἰς τὴν ἐπιτιμίαν· οὐδὲ τότε οὔτε παρῆλθες, οὔτε ἐπέδωκας οὐδὲν, οὐκ ἀπορῶν· πῶς γὰρ, ὅς γε κεκληρονόμηκας μὲν τῶν Φίλωνος τοῦ κηδεστοῦ χρημάτων πλειόνων, ἢ πέντε ταλάντων, διτάλαντον δ' εἶχες ἔρανον δωρεὰν παρὰ τῶν ἡγεμόνων τῶν συμμοριῶν, ἐφ' οἷς ἐλυμήνω τὸν τριηραρχικὸν νόμον· ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου λέγων, τοῦ παρόντος ἐμαυτὸν ἐκκρούσω, παραλείψω ταῦτα· ἀλλ' ὅτι οὐχὶ δι' ἔνδειαν οὐκ ἐπέδωκας, ἐκ τούτων δῆλον, ἀλλὰ φυλάττων τὸ μηδὲν ἐναντίον γενέσθαι παρὰ σοῦ τούτοις οἷς ἅπαντα πολιτεύῃ. ἐν τίσιν οὖν σὺ νεανίας, καὶ πηνίκα λαμπρός; ἡνίκ' ἂν εἰπεῖν τι κατὰ τούτων δέοι, ἐν τούτοις λαμπροφωνότατος, μνημονικώτατος, ὑποκριτὴς ἄριστος, τραγικὸς Θεοκρίνης· εἶτα τῶν πρότερον γεγενημένων ἀνδρῶν ἀγαθῶν μέμνηται; καὶ καλῶς ποιεῖ· οὐ μέντοι δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν πρὸς τοὺς τετελευτηκότας εὔνοιαν ὑπάρχουσαν προλαβόντα παρ' ὑμῶν, πρὸς ἐκείνους ἐξετάζειν καὶ παραβάλλειν ἐμὲ τὸν συζῶντα μεθ' ὑμῶν· τίς γὰρ οὐκ οἶδε τῶν πάντων, ὅτι τοῖς μὲν ζῶσι πᾶσιν ὕπεστί τις ἢ πλείων, ἢ ἐλάττων φθόνος, τοὺς τεθνεῶτας δὲ, οὐδὲ τῶν ἐχθρῶν οὐδεὶς ἔτι μισεῖ; οὕτως οὖν ἐχόντων τούτων τῇ φύσει πρὸς τοὺς πρὸ ἐμαυτοῦ νῦν ἐγὼ κρίνωμαι, καὶ θεωρῶμαι; μηδαμῶς· οὔτε γὰρ δίκαιον, οὔτ' ἴσον Αἰσχίνη, ἀλλὰ πρὸς σὲ, καὶ ἄλλον εἴ τινα βούλει, τῶν ταὐτά σοι προῃρημένων καὶ ζώντων· κἀκεῖνο σκόπει, πότερον κάλλιον καὶ ἄμεινον τῇ πόλει, διὰ τὰς τῶν προτέρων εὐεργεσίας οὔσας ὑπερμεγέθεις, οὐ μὲν οὖν εἴποι τις ἂν ἡλίκας, τὰς ἐπὶ τὸν παρόντα βίον γιγνομένας, εἰς ἀχαριστίαν καὶ προπηλακισμὸν ἄγειν, ἢ πᾶσιν, ὅσοι μετ' εὐνοίας πράττουσι, τῆς παρὰ τούτων τιμῆς καὶ φιλανθρωπίας μετεῖναι· καὶ μὴν, εἰ καὶ τοῦτ' ἄρα δεῖ με εἰπεῖν, ἡ μὲν ἐμὴ πολιτεία καὶ προαίρεσις, ἄν τις ὀρθῶς σκοπῇ, ταῖς τῶν τότε ἐπαινουμένων ἀνδρῶν ὁμοία, καὶ ταὐτὰ βουλομένη φανήσεται· ἡ δὲ σὴ, ταῖς τῶν τοὺς τοιούτους τότε συκοφαντούντων· δῆλον γὰρ ὅτι καὶ κατ' ἐκείνους ἦσάν τινες τοὺς χρόνους οἱ διασύροντες τοὺς ὄντας τότε, τοὺς δὲ πρότερον γεγενημέ-

νους

ὡς ἐπῄνει, βάσκανον πρᾶγμα καὶ τοῦτο ποιοῦντες σοί· εἶτα λέγεις ὡς οὐδὲν ὅμοιός εἰμι ἐκείνοις ἐγώ; σὺ δ᾽ ὅμοιος Αἰσχίνη; ὁ δ᾽ ἀδελφὸς ὁ σός; ἄλλος δέ τις τῶν νῦν ῥητόρων; ἐγὼ μὲν γὰρ οὐδένα φημί· ἀλλὰ πρὸς τοὺς ζῶντας, ὦ χρηστὲ, ἵνα μηδὲν ἄλλο εἴπω, τὸν ζῶντα ἐξέταζε, καὶ τοὺς καθ᾽ αὐτὸν, ὥσπερ τἆλλα πάντα· τοὺς ποιητὰς, τοὺς χορὺς, τοὺς ἀγωνιστάς· ὁ Φιλάμμων, οὐχ ὅτι Γλαύκου τοῦ Καρυστίου, καί τινων ἑτέρων πρότερον γεγενημένων ἀθλητῶν ἀσθενέστερος ἦν, ἀστεφάνωτος ἐκ τῆς Ὀλυμπίας ἀπῄει· ἀλλ᾽ ὅτι τῶν εἰσελθόντων πρὸς αὐτὸν ἄριστα ἐμάχετο, ἐστεφανοῦτο, καὶ νικῶν ἀνηγορεύετο· καὶ σὺ πρὸς τοὺς νῦν ὅρα με ῥήτορας, πρὸς σαυτὸν, πρὸς ὅν τινα βούλει τῶν ἁπάντων· οὐδένι ἐξίσταμαι, ὧν ὅτε μὲν τῇ πόλει τὰ βέλτιστα ἑλέσθαι παρῆν, ἐφαμίλλου τῆς εἰς τὴν πατρίδα εὐνοίας ἐν κοινῷ πᾶσι κειμένης, ἐγὼ κράτιστα λέγων ἐφαινόμην, καὶ τοῖς ἐμοῖς ψηφίσμασι, καὶ νόμοις, καὶ πρεσβείαις ἅπαντα διῳκεῖτο· ὑμῶν δὲ οὐδεὶς ἦν οὐδαμοῦ, πλὴν εἰ τούτοις ἐπηρεάσαι τι δέοι· ἐπειδὴ δὲ ἃ μὴ ποτ᾽ ὤφελε συνέβη, καὶ οὐκ ἔτι συμβούλων, ἀλλὰ τῶν τοῖς ἐπιταττομένοις ὑπηρετούντων, καὶ τῶν κατὰ τῆς πατρίδος μισθαρνεῖν ἑτοίμων, καὶ τῶν κολακεύειν ἑτέρους βουλομένων ἐξέτασις ἦν, τηνικαῦτα σὺ, καὶ τούτων ἕκαστος ἐν τάξει, καὶ μέγας, καὶ λαμπρὸς ἱπποτρόφος· ἐγὼ δ᾽ ἀσθενὴς, ὁμολογῶ· ἀλλ᾽ εὔνους μᾶλλον ὑμῶν τουτοισί· δύο δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα, τὸν φύσει μέτριον πολίτην ἔχειν δεῖ· οὕτω γάρ μοι περὶ ἐμαυτοῦ λέγοντι ἀνεπιφθονώτατον εἰπεῖν, ἐν μὲν ταῖς ἐξουσίαις τὴν τοῦ γενναίου καὶ τὴν τοῦ πρωτείου τῇ πόλει προαίρεσιν διαφυλάττειν· ἐν παντὶ δὲ καιρῷ καὶ πράξει τὴν εὔνοιαν· τούτου γὰρ ἡ φύσις κυρία· τοῦ δύνασθαι δὲ καὶ ἰσχύειν, ἕτερα· ταύτην τοίνυν παρ᾽ ἐμοὶ μεμενηκυῖαν εὑρήσετε ἁπλῶς· ὁρᾶτε δέ· οὐκ ἐξαιτούμενος· οὐκ Ἀμφικτυονικὰς δίκας ἐπαγόντων μοι, οὐκ ἀπειλούντων, οὐκ ἐπαγγελλομένων, οὐχὶ τοὺς καταράτους τούτους, ὥσπερ θηρία μοι προσβαλλόντων, οὐδαμῶς προδέδωκα ἐγὼ τὴν εἰς ὑμᾶς εὔνοιαν· τὸ γὰρ ἐξ ἀρχῆς εὐθὺς ὀρθὴν καὶ δικαίαν τὴν ὁδὸν τῆς πολιτείας εἱλόμην, τὰς τιμὰς, τὰς δυναστείας,

τὰς ἀδοξίας τὰς τῆς πατρίδος θεραπεύειν ταύτας αὔξειν, μετὰ τούτων εἶναι· οὐκ ἐπὶ μὲν τοῖς ἑτέρων ἀτυχήμασι φαιδρὸς ἐγὼ καὶ γεγηθὼς κατὰ τὴν ἀγορὰν περιέρχομαι τὴν δεξιὰν προτείνων καὶ εὐαγγελιζόμενος τούτοις, οὓς ἂν ἐκεῖσε ἀπαγγέλλειν οἴομαι, τῶν δὲ τῆς πόλεως ἀγαθῶν πεφρικὼς ἀκούω, καὶ στένων, καὶ κύπτων εἰς γῆν, ὥσπερ οἱ δυσσεβεῖς οὗτοι, οἳ τὴν μὲν πόλιν διασύρουσι, ὥσπερ οὐχ αὑτοὺς διασύροντες ὅταν τοῦτο ποιῶσιν· ἔξω δὲ βλέπουσι, καὶ ἐν οἷς ἀτυχησάντων τῶν Ἑλλήνων εὐτύχησεν ἕτερος, ταῦτ᾽ ἐπαινοῦσι, καὶ ὅπως τὸν ἅπαντα χρόνον διαμενεῖ, φασὶ δεῖν τηρεῖν· μὴ δῆτ᾽ ὦ πάντες θεοί, μηδεὶς ταῦθ᾽ ὑμῶν ἐπινεύσειεν· ἀλλὰ μάλιστα μὲν, καὶ τούτοις βελτίω τινὰ νοῦν καὶ φρένας ἐνθείητε· εἰ δ᾽ ἄρα ἔχουσιν ἀνιάτως, τούτους μὲν αὐτοὺς καθ᾽ ἑαυτοὺς ἐξώλεις καὶ προώλεις ἐν γῇ καὶ θαλάττῃ ποιήσατε· ἡμῖν δὲ τοῖς λοιποῖς τὴν ταχίστην ἀπαλλαγὴν τῶν ἐπηρτημένων φόβων δότε, καὶ σωτηρίαν ἀσφαλῆ.

ΔΗΜΟ-

# ΔΗΜΟΣΘΕΝΟΥΣ

## Ὁ ΠΕΡΙ ΤΗΣ

## ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ ΛΟΓΟΣ.

Ὅση μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, σπουδὴ περὶ τουτονὶ τὸν ἀγῶνα καὶ παραγγελία γέγονε, σχεδὸν οἶμαι πάντας ὑμᾶς ᾐσθῆσθαι, ἑορακότας ἄρτι τοὺς, ὅτε ἐκληροῦσθε, ἐνοχλοῦντας καὶ προσιόντας ὑμῖν· δεήσομαι δὲ πάντων ὑμῶν, ἃ καὶ τοῖς μὴ δεηθεῖσι δίκαιόν ἐστιν ὑπάρχειν, μηδεμίαν μήτε χάριν, μήτε ἄνδρα ποιεῖσθαι περὶ πλείονος, ἢ τὸ δίκαιον καὶ τὸν ὅρκον, ὃν εἰσελήλυθεν ἕκαστος ὑμῶν ὀμωμοκὼς, ἐνθυμουμένους, ὅτι ταῦτα μέν ἐστιν ὑπὲρ ὑμῶν καὶ ὅλης τῆς πόλεως· αἱ δὲ τῶν παρακλήτων αὗται δεήσεις καὶ σπουδαὶ, τῶν ἰδίων πλεονεξιῶν ἕνεκα γίγνονται, ἃς ἵνα κωλύηθ᾽, οἱ νόμοι συνήγαγον ὑμᾶς, οὐχ ἵνα κυρίας τοῖς ἀδικοῦσι ποιῆτε· τοὺς μὲν οὖν ἄλλους ὅσοι πρὸς τὰ κοινὰ δικαίως προσέρχονται, κἂν δεδωκότες ὦσιν εὐθύνας, τὴν ἀειλογίαν ὁρῶ προτεινομένους· τουτονὶ δ᾽ Αἰσχίνην πολὺ τἀναντία τούτων· πρὶν γὰρ εἰσελθεῖν εἰς ὑμᾶς καὶ λόγον δοῦναι τῶν πεπραγμένων, τὸν μὲν ἀνῄρηκε τῶν ἐπὶ τὰς εὐθύνας ἐλθόντων, τοῖς δ᾽ ἀπειλεῖ περιιὼν, δεινότατον πάντων, ἔθος καὶ ἀσυμφορώτατον ὑμῖν, εἰς τὴν πολιτείαν εἰσάγων· εἰ γὰρ ὁ πράξας τι τῶν κοινῶν καὶ διοικήσας τῷ καθ᾽ ἑαυτὸν φόβῳ, καὶ μὴ τῷ δικαίῳ κατασκευάσει μηδένα εἶναι κατήγορον αὑτοῦ, παντάπασιν ἄκυροι πάντων ὑμεῖς γενήσεσθε· τὸ μὲν οὖν ἐξελέγξειν πολλὰ καὶ δεινὰ πεποιηκότα τουτονὶ, καὶ τῆς ἐσχάτης ὄντα τιμωρίας ἄξιον, θαρρῶ καὶ πάνυ πιστεύω· ὃ δὲ, καίπερ ὑπειληφὼς ταῦτα, φοβοῦμαι, φράσω πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι· ὅτι μοι δοκοῦσιν ἅπαντες οἱ παρ᾽ ὑμῖν ἀγῶνες, οὐχ ἧττον, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν καιρῶν, ἢ τῶν πραγμάτων εἶναι, καὶ τὸ, χρόνον γεγενῆσθαι μετὰ τὴν πρεσβείαν πολὺν, δέδοικα μή τινα λήθην, ἢ συνήθειαν τῶν ἀδικημάτων ὑμῖν ἐμπεποίηκε· ὡς δή μοι δοκεῖτ᾽ ἂν ὅμως ἐκ τούτων καὶ γνῶναι τὰ δίκαια καὶ δι-

κοῦσαι νυνὶ, τοῦθ' ὑμῖν λέξω· εἰ σκέψαισθε παρ' ὑμῖν αὐτοῖς, ὦ ἄνδρες δικαςαὶ, καὶ λογίσαισθε, τίνων προσήκει τῇ πόλει λόγον παρὰ πρεσβευτοῦ λαβεῖν· πρῶτον μὲν τοίνυν, ὧν ἀπήγγειλε· δεύτερον δὲ, ὧν ἔπεισε· τρίτον δὲ, ὧν προσετάξατε αὐτῷ· μετὰ ταῦτα δὲ τῶν χρόνων, ἐφ' ἅπασι δὲ τούτοις, εἰ ἀδωροδοκήτως ἢ μὴ, πάντα ταῦτα πέπρακται· τί δή ποτε τούτων; ὅτι μὲν τὴν ἀπαγγελίαν τὸ βουλεύσασθαι περὶ τῶν πραγμάτων ὀρθῶς ὑμῖν ἐςιν· ἂν μὲν οὖν ᾖ ἀληθὴς, τὰ δέοντα ἔγνωτε· ἂν δὲ μὴ τοιαύτη, τἀναντία· τὰς δὲ συμβουλίας πιςοτέρας ὑπολαμβάνετ' εἶναι τὰς τῶν πρέσβεων· ὡς γὰρ εἰδότων περὶ ὧν ἐπέμφθησαν, ἀκούετε· οὐδὲν οὖν ἐξελέγχεσθαι δίκαιός ἐςιν ὁ πρεσβευτὴς φαῦλον οὐδὲ ἀσύμφορον ὑμῖν οὐδὲν συμβεβουλευκώς· καὶ μὴν, περὶ ὧν γε προσετάξατε εἰπεῖν, ἢ πρᾶξαι, καὶ διαρρήδην ἐψηφίσασθε ποιῆσαι, προσήκει διῳκηκέναι· εἶεν· τῶν δὲ δὴ χρόνων διὰ τί; ὅτι πολλάκις, ὦ ἄνδρες ἀθηναῖοι, συμβαίνει πολλῶν πραγμάτων καὶ μεγάλων καιρὸν ἐν βραχεῖ χρόνῳ γίγνεσθαι, ὃν ἐάν τις ἑκὼν καθυφῇ τοῖς ἐναντίοις καὶ προδῷ, οὐδ' ἂν ὁτιοῦν ποιῇ, πάλιν οἷός τε ἔςαι σῶσαι· ἀλλὰ μὴν, ὑπέρ γε τοῦ προῖκα, ἢ μὴ τὸ μὲν ἐκ τούτων λαμβάνειν, ἐξ ὧν ἡ πόλις βλάπτεται, πάντες οἶδ' ὅτι φήσαιτ' ἂν, εἶναι δεινὸν, καὶ πολλῆς ὀργῆς ἄξιον· ὁ μέν τοι τὸν νόμον θεὶς, οὐ διώρισε τοῦτο, ἀλλ' ἁπλῶς εἶπε, μηδαμῶς δῶρα λαμβάνειν, ἡγούμενος, ὡς ἐμοὶ δοκεῖ, τὸν ἅπαξ λαβόντα καὶ διαφθαρέντα ὑπὸ χρημάτων, οὐδὲ κριτὴν ἔτι τῶν συμφερόντων ἀσφαλῆ μένειν τῇ πόλει· ἂν μὲν τοίνυν ἐξελέγξω καὶ δείξω σαφῶς Αἰσχίνην τουτονὶ, καὶ μηδὲν ἀληθὲς ἀπηγγελκότα καὶ κεκωλυκότα ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ, καὶ πάντα τἀναντία τῶν συμφερόντων ὑμῖν συμβεβουλευκότα, καὶ μηδὲν ὧν προσετάξατε ἐν τῇ πρεσβείᾳ πεποιηκότα, καὶ ἀνηλωκότα τοὺς χρόνους, ἐν οἷς πολλῶν καὶ μεγάλων πραγμάτων καιροὶ προεῖνται τῇ πόλει, καὶ πάντων τούτων δῶρα καὶ μισθοὺς εἰληφότα μετὰ Φιλοκράτους, καταψηφίσασθε αὐτοῦ, καὶ δίκην ἀξίαν τῶν ἀδικημάτων λάβετε· ἂν δὲ μὴ δείξω ταῦτα, ἢ μὴ πάντα, ἐμὲ μὲν φαῦλον ἡγεῖσθε, τουτονὶ δὲ ἀφεῖτε. Πολλὰ δὲ καὶ δεινὰ κατηγορεῖν ἔχων ἔτι πρὸς τούτοις ἕτερα, ὦ ἄνδρες ἀθηναῖοι,

ναῖοι, ἐξ ὧν οὐκ ἔσθ' ὅστις ἂν οὐκ εἰκότως μισήσειεν αὐτὸν, βούλομαι πρὸ πάντων ὧν μέλλω λέγειν, μνημονεύοντας ὑμῶν εὖ οἶδ' ὅτι τοὺς πολλοὺς ὑπομνῆσαι, εἰς τίνα τάξιν ἔταξεν ἑαυτὸν Αἰσχίνης ἐν τῇ πολιτείᾳ τὸ πρῶτον, καὶ τίνας λόγους κατὰ τοῦ Φιλίππου δημηγορεῖν ᾤετο δεῖν· ἵν' εἰδῆτε ὅτι τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις καὶ δεδημηγορημένοις ἐν ἀρχῇ, τούτοις μάλιστα πάντων ἐξελεγχθήσεται δῶρα ἔχων· Ἔστι τοίνυν οὗτος ὁ πρῶτος Ἀθηναίων αἰσθόμενος Φίλιππον, ὡς τότε δημηγορῶν ἔφη, ἐπιβουλεύοντα τοῖς Ἕλλησι, καὶ διαφθείροντά τινας τῶν ἐν Ἀρκαδίᾳ προεστηκότων, καὶ ἔχων Ἴσχανδρον τὸν Νεοπτολέμου δευτεραγωνιστὴν, προσιὼν μὲν τῇ βουλῇ, προσιὼν δὲ τῷ δήμῳ περὶ τούτων, καὶ πείσας ὑμᾶς πανταχοῖ πρέσβεις πέμψαι τοὺς συνάξοντας δεῦρο τοὺς βουλευσομένους περὶ τοῦ πρὸς Φίλιππον πολέμου, καὶ ἀπαγγέλλων μετὰ ταῦθ' ἥκων ἐξ Ἀρκαδίας τοὺς καλοὺς ἐκείνους καὶ μακροὺς λόγους, οὓς ἐν τοῖς μυρίοις ἐν Μεγάλῃ πόλει πρὸς Ἱερώνυμον τὸν ὑπὲρ Φιλίππου λέγοντα, ὑπὲρ ὑμῶν ἔφη δεδημηγορηκέναι, καὶ διεξιὼν ἡλίκα τὴν Ἑλλάδα πᾶσαν, οὐχὶ τὰς ἰδίας ἀδικοῦσι μόνον πατρίδας οἱ δωροδοκοῦντες, καὶ χρήματα λαμβάνοντες παρὰ Φιλίππου· ἐπειδὴ τοίνυν ταῦτα πολιτευομένου τούτου τότε, καὶ τοῦτο τὸ δεῖγμα ἐξενηνοχότος περὶ ἑαυτοῦ, τοὺς περὶ τῆς εἰρήνης πρέσβεις πέμπειν ὡς Φίλιππον ἐπείσθητε ὑπὸ Ἀριστοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος, καὶ τῶν ἄλλων τῶν ἐκεῖθεν ἀπαγγελλόντων οὐδ' ὁτιοῦν ὑγιὲς, γίγνεται τῶν πρέσβεων τούτων εἷς καὶ οὗτος· οὐχ ὡς τῶν ἀποδωσομένων τὰ ὑμέτερα, οὐδ' ὡς τῶν πεπιστευκότων τῷ Φιλίππῳ, ἀλλ' ὡς τῶν φυλαξόντων τοὺς ἄλλους. διὰ γὰρ τοὺς προειρημένους λόγους καὶ τὴν πρὸς Φίλιππον ἀπέχθειαν, ταύτην εἰκότως περὶ αὐτοῦ πάντες εἴχετε τὴν δόξαν· προσελθὼν τοίνυν ἐμοὶ μετὰ ταῦτα συνετάττετο κοινῇ πρεσβεύειν, καὶ ὅπως τὸν μιαρὸν καὶ ἀναιδῆ φυλάξομεν ἀμφότεροι Φιλοκράτην, πολλὰ παρεκελεύετο, καὶ μέχρι τοῦ δεῦρο ἐπανελθεῖν ἀπὸ τῆς πρώτης πρεσβείας, ἐμὲ γοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, διεφθαρμένος καὶ πεπρακὼς ἑαυτὸν ἐλάνθανε· χωρὶς γὰρ τῶν ἄλλων ὧν ὅπερ εἶπον, εἰρήνην πρότερον, ἀναστὰς τῇ προτεραίᾳ τῶν ἐκκλησιῶν, ἐν αἷς περὶ τῆς εἰρήνης ἐβουλεύεσθε, ἤρξατο ἀρχὴν, ἣν ἐγὼ καὶ τοῖς ῥήμασιν οἶμαι τοῖς

αὐτοῖς, οἷς περ οὗτος εἶπεν, ἐν ὑμῖν ἀπομνημονεύσω· εἰ πάνυ πολὺν ἔφη, χρόνον ἐσκόπει Φιλοκράτης, ὦ ἄνδρες ἀθηναῖοι, ὅπως ἂν ἄριστα ἐναντιωθείη τῇ εἰρήνῃ, οὐκ ἂν αὐτὸν ἄμεινον εὑρεῖν οἶμαι, ἢ ταυτὶ γράφοντα· ἐγὼ δὲ ταύτην μὲν τὴν εἰρήνην, ἕως ἂν εἷς ἀθηναίων λείπηται, οὐδέποτ᾽ ἂν συμβουλεύσαιμι ποιήσασθαι τῇ πόλει· εἰρήνην μέντοι φημὶ δεῖν ποιεῖσθαι, καὶ τοιούτους τινὰς εἶπε βραχεῖς, καὶ μετρίους λόγους· ὁ δὲ ταῦτ᾽ εἰπὼν τῇ προτεραίᾳ πάντων ἀκουόντων ὑμῶν εἰς τὴν ὑστεραίαν ἐν ᾗ τὴν εἰρήνην ἔδει κυροῦσθαι ἐμοῦ τῷ τῶν συμμάχων συνηγοροῦντος δόγματι, καὶ τὴν εἰρήνην ὅπως ἴση, καὶ δικαία * γένηται πράττοντος, καὶ ὑμῶν βουλομένων ταῦτα, καὶ οὐδὲ φωνὴν ἐθελόντων ἀκούειν τοῦ καταπτύστου Φιλοκράτους ἀναστὰς ἐδημηγόρει καὶ συνηγόρει ἐκείνῳ, πολλῶν ἀξίους, ὦ Ζεῦ καὶ πάντες θεοὶ, θανάτων λόγους, ὡς οὔτε τῶν προγόνων ὑμᾶς μεμνῆσθαι δέοι, οὔτε τῶν τὰ τρόπαια, καὶ τὰς ναυμαχίας λεγόντων ἀνέχεσθαι, νόμον τε θήσειν, καὶ γράψειν, μηδενὶ τῶν ἑλλήνων ὑμᾶς βοηθεῖν, ὃς ἂν μὴ πρότερος βεβοηθηκὼς ὑμῖν ᾖ. καὶ ταῦτα ὁ σχέτλιος, καὶ ἀναιδὴς οὗτος ἐτόλμα λέγειν ἐφεστηκότων πρέσβεων καὶ ἀκουόντων, οὓς ἀπὸ τῶν ἑλλήνων μετεπέμψασθε ὑπὸ τούτου τότε πεισθέντες, ὅτ᾽ οὔπω πεπρακὼς ἑαυτὸν ἦν. Ὃν μὲν οὖν τρόπον, ὦ ἄνδρες ἀθηναῖοι, χειροτονησάντων ὑμῶν ἐπὶ τοὺς ὅρκους αὐτὸν πάλιν, τούς τε χρόνους κατέτριψε, καὶ τὰ πράγματα πάντα ἐλυμήνατο τὰ τῆς πόλεως, καὶ ὅσαι περὶ τούτων ἐμοὶ πρὸς τοῦτον ἀπέχθειαι συμβέβηνται βουλομένῳ κωλύειν, αὐτίκα ἀκούσεσθε· ἀλλ᾽ ἐπειδὴ πάλιν ἥκομεν ἐκ τῆς πρεσβείας ταύτης ἐπὶ τοὺς ὅρκους, ἧς περ εἰσὶν αἱ νῦν εὔθυναι, οὔτε μικρὸν, οὔτε μέγα οὐδοτιοῦν εὑρημένοι τῶν ὅτε τὴν εἰρήνην ἐποιεῖσθε λεχθέντων, καὶ προσδοκηθέντων· ἀλλὰ πάντα ἐξηπατημένοι, καὶ τούτων ἑτέρ᾽ αὖθις αὖ πεπρακότων, καὶ παρ᾽ αὐτὸ τὸ ψήφισμα πεπρεσβευκότων, προσῆμεν τῇ βουλῇ, καὶ ταυτὶ πολλοὶ συνίσασιν ἃ μέλλω λέγειν· τὸ γὰρ βουλευτήριον μεστὸν ἦν ἰδιωτῶν· παρελθὼν δ᾽ ἐγὼ πάντα τἀληθῆ πρὸς τὴν βουλὴν ἀπήγγειλα, καὶ κατηγόρησα τούτων, καὶ ἀνεμιμνησκόμην ἀπὸ τῶν πρώτων ἐλπίδων ἐκείνων, ὧν ὁ Κτησιφῶν καὶ ὁ Ἀριστόδημος ἀπήγγειλαν πρὸς ὑμᾶς, καὶ μετὰ ταῦτα ὅτε τὴν εἰρήνην ἐποι-

εἶσθε,

ἄθε, ἃ οὗτος ἐδημηγόρησε, καὶ εἰς ἃ προήχασι τὴν πόλιν, καὶ περὶ τῶν ὑπολοίπων, ταῦτα δ' ἦν Φωκεῖς, καὶ Πύλαι, μὴ προέσθαι συμβεβούλευον, μηδὲ ταὐτὰ παθεῖν, μηδ' ἀνηρτημένους ἐλπίσιν ἐξ ἐλπίδων, καὶ ὑποσχέσεσιν, εἰς τοὔσχατον ἐλθεῖν τὰ πράγματα ἐᾶσαι, καὶ ἔπειτα ταῦτα τῇ βουλῇ· ἐπειδὴ δὲ ἧκεν ἡ ἐκκλησία, καὶ πρὸς ὑμᾶς ἔδει λέγειν, παρελθὼν Αἰσχίνης οὑτοσὶ πρῶτος ἡμῶν ἁπάντων, καὶ πρὸς Διὸς, καὶ θεῶν πειρᾶσθε συνδιαμνημονεύειν εἰ ἀληθῆ λέγω· τὰ γὰρ πράγματα πάντα λυμηνάμενα ὑμῶν, καὶ διαφθείραντα ὅλως, ταῦτ' ἐστὶν ἤδη· τὸ μὲν ἀπαγγέλλειν τι τῶν πεπρεσβευμένων, ἢ περὶ τῶν ἐν τῇ βουλῇ ῥηθέντων, εἰ ἄρα ἠμφισβήτει μὴ ἀληθῆ λέγειν ἐμὲ, μνησθῆναι παμπληθὲς ἀπέσχεν· εἶπε δὲ τοιούτους λόγους καὶ τηλικαῦτα, καὶ τοσαῦτα ἔχοντας ἀγαθὰ, ὥσθ' ἅπαντας ὑμᾶς λαβὼν ᾤχετο· ἔφη γὰρ ἥκειν πεπεικὼς φίλιππον, πάνθ' ὅσα συμφέρει τῇ πόλει, καὶ περὶ τῶν ἐν Ἀμφικτυόσι, καὶ περὶ τῶν ἄλλων ἁπάντων, καὶ διεξῆλθε λόγον μακρὸν ὑμῖν, ὃν κατὰ Θηβαίων εἰπεῖν πρὸς φίλιππον ἔφη, καὶ τὰ κεφάλαια ἀπήγγειλε πρὸς ὑμᾶς καὶ ἀπελογίζετο ἐκ τῶν αὐτῷ πεπρεσβευμένων δυοῖν ἢ τριῶν ἡμερῶν ὑμᾶς μὲν ὄντας οἴκοι, καὶ οὐ στρατευομένους, οὐδ' ἐνοχλουμένους, Θήβας μὲν πολιορκουμένας αὐτὰς καθ' αὑτὰς χωρὶς τῆς ἄλλης Βοιωτίας ἀκούσεσθαι· Θεσπιὰς δὲ, καὶ Πλαταιὰς οἰκιζομένας· τῷ θεῷ δὲ τὰ χρήματα εἰσπραττόμενα, οὐ παρὰ Φωκέων, ἀλλὰ παρὰ Θηβαίων τῶν βουλευσάντων τὴν κατάληψιν τοῦ ἱεροῦ· διδάσκειν γὰρ αὐτὸς ἔφη τὸν φίλιππον, ὅτι οὐδὲν ἧττον ἠσεβήκασιν οἱ βεβουλευκότες τῶν ταῖς χερσὶ πραξάντων· καὶ διὰ ταῦτα χρήματα αὐτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι· ἀκούειν δὲ καὶ τῶν Εὐβοέων ἐνίων ἔφη πεφοβημένων καὶ τεταραγμένων, τὴν πρὸς τὴν πόλιν οἰκειότητα φιλίππῳ γεγενημένην· ὅτι οὐ λελήθατε ὑμᾶς, ὦ ἄνδρες πρέσβεις, ἐφ' οἷς πεποίησθε τὴν εἰρήνην πρὸς φίλιππον· οὐδ' ἀγνοοῦμεν, ὅτι ὑμεῖς μὲν Ἀμφίπολιν δεδώκατε ἐκείνῳ, φίλιππος δ' ὑμῖν Εὔβοιαν ὡμολόγηκε παραδώσειν· εἶναι μέν τοι καὶ ἄλλο διῳκημένον αὐτῷ, οὐ μὴν πω τοῦτο βούλεσθαι λέγειν· καὶ γὰρ νῦν φθονεῖν τινας αὐτῷ τῶν συμπρέσβεων· ὑπηνίττετο δ' οὕτω πως, καὶ παρεδήλου τὸν Ὠρωπόν. εὐδοκιμῶν δ' ἐπὶ τούτοις εἰκότως, καὶ δοκῶν καὶ ῥήτωρ ἄριστος εἶναι, καὶ ἀνὴρ θαυμαστὸς,

κατέβη μάλα σεμνῶς· ἀναστὰς δ᾽ ἐγὼ, ταῦτά τε οὐκ ἔφην εἰδέναι, καὶ ἐπειρώμην τι λέγειν τούτων, ὧν εἰς τὴν βουλὴν ἀπήγγειλα, καὶ παραστὰς ὁ μὲν, ἔνθεν, ὁ δὲ, ἔνθεν, οὑτοσὶ καὶ Φιλοκράτης, ἐβόων, ἐξέκρουόν με, τελευτῶντες ἐχλεύαζον· ὑμεῖς δὲ ἐγελᾶτε, καὶ οὔτ᾽ ἀκούειν ἠθέλετε, οὔτε πιστεύειν ἠβούλεσθε ἄλλα, πλὴν ἃ οὗτος ἀπηγγέλκει, καὶ νὴ τοὺς θεοὺς, εἰκός τι παθεῖν ἔμοιγε δοκεῖτε· τίς γὰρ ἂν ἠνέσχετο, τηλικαῦτα καὶ τοσαῦτα ἔσεσθαι προσδοκῶν ἀγαθὰ, ἢ ταῦθ᾽ ὡς οὐκ ἔσται λέγοντός τινος, ἢ κατηγοροῦντος τῶν πεπραγμένων τούτοις; πάντα γὰρ τἄλλ᾽ οἶμαι τότε καὶ δεύτερ᾽ ἦν τῶν ὑποκειμένων προσδοκιῶν, καὶ τῶν ἐλπίδων· οἱ δ᾽ ἀντιλέγοντες, ὄχλος ἄλλως, καὶ βασκανία κατεφαίνετο· ταῦτα δὲ θαυμάσι᾽ ἡλίκα καὶ συμφέροντ᾽ ἐδόκει πεπρᾶχθαι τῇ πόλει. Τοῦ χάριν δὴ ταῦθ᾽ ὑπέμνησα πρῶτα νῦν ὑμᾶς, καὶ διεξῆλθον τούτους τοὺς λόγους; ἑνὸς μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, μάλιστα καὶ πρώτου, ἵνα μηδεὶς ὑμῶν ἐπειδάν τι λέγοντος ἀκούῃ μου, καὶ κατηγοροῦντος τῶν πεπραγμένων, ἀπιστῇ, καὶ δοκῇ δεινὸν αὐτῷ καὶ ὑπερβάλλον εἶναι· εἶτα τότε οὐκ ἔλεγες παραχρῆμα ταῦτα, οὐδ᾽ ἐδίδασκες ἡμᾶς; θαυμάζῃ· ἀλλὰ μεμνημένοι τὰς ὑποσχέσεις τὰς τούτου, ἃς ἐφ᾽ ἑκάστων ποιούμενοι τῶν καιρῶν ἐξέκλειον λόγου τυγχάνειν τοὺς ἄλλους, καὶ τὴν * ἀπαγγελίαν τὴν τούτου ταύτην τὴν καλὴν, εἰδῆτε ὅτι πρὸς ἅπασι τοῖς ἄλλοις καὶ τοῦτ᾽ ἠδίκησθε ὑπ᾽ αὐτοῦ, ὅτι τἀληθῆ παραχρῆμα, καὶ ἡνίκα ἔδει πυνθάνεσθαι, διεκωλύθητε, ἐλπίσι, καὶ φενακισμοῖς, καὶ ὑποσχέσεσιν ἐξαπατώμενοι· * πρῶτον μὲν τούτου, καὶ μάλισθ᾽ ὑπὲρ εἶπον ἕνεκα, ταῦτα διεξῆλθον· δευτέρου δὲ τινος, καὶ οὐδὲν ἐλάττονος, ἢ τούτου, ἵνα τὴν ὅτ᾽ ἀδωροδόκητος ὑπῆρχε, προαίρεσιν αὐτοῦ τῆς πολιτείας ἀναμνησθέντες, ὡς προβεβλημένη, καὶ ἄπιστος ἦν πρὸς τὸν Φίλιππον, τὴν μετὰ ταῦτα ἐξαίφνης γεγονυῖαν πίστιν, καὶ φιλίαν σκέψησθε· εἶτα εἰ μὲν συμβέβηκεν ὅσα ἀπήγγειλε πρὸς ὑμᾶς οὗτος, καὶ καλῶς ἔχει τὰ πεπραγμένα, διὰ τὴν ἀλήθειαν, καὶ τὸ συμφέρον τῇ πόλει γεγενῆσθαι νομίσητε· εἰ δὲ πάντα τἀναντία ὧν οὗτος εἶπε, πέπρακται, καὶ πολλὴν αἰσχύνην, καὶ μεγάλους κινδύνους ταῦτ᾽ ἔχει τῇ πόλει, διὰ τὴν αἰσχροκέρδειαν τὴν τούτου, καὶ τὸ χρήματα ἀποδόσθαι τἀληθῆ, μεταβεβλημέ-

νοι αὐτὸν εἰδῆτε· Βούλομαι δέ, ἐπειδή περ εἰς τούτους προήχθην τοὺς λόγους, ὃν τρόπον τὰ περὶ τοὺς Φωκέας πράγματα ὑμῶν παρείλοντο, πρῶτον εἰπεῖν ἅπασιν· δεῖ δὲ μηδένα ὑμῶν, ὦ ἄνδρες δικασταί, εἰς τὸ τῶν πραγμάτων μέγεθος ἀποβλέψαντα μείζους τὰς κατηγορίας, καὶ τὰς αἰτίας τοῦ τούτου δόξης νομίζειν, ἀλλ' ἐκεῖνο ὁρᾶν, ὅτι εἰ καὶ ὁντινοῦν ὑμεῖς εἰς ταύτην τὴν τάξιν κατεστήσατε, καὶ τῶν συμβάντων καιρῶν ἐποιήσατε κύριον· οὗτος, εἴπερ ὥσπερ οὗτος ἐβουλήθη μισθώσας ἑαυτὸν τοῖς ἐχθροῖς ἐξαπατᾶν ὑμᾶς, καὶ φενακίζειν, τῶν ἴσων ἂν αἴτιος ἦν κακῶν, ὅσων περ καὶ οὗτος· οὐ γὰρ εἰ φαύλοις χρῆσθε ὑμεῖς εἰς τὰ κοινὰ πολλάκις ἀνθρώποις, καὶ τὰ πράγματ' ἐστὶ φαῦλα, ὧν ἡ πόλις ἀξιοῦται παρὰ τοῖς ἄλλοις, οὐ δὲ πολλοῦ δεῖ· εἶτα καὶ Φωκέας ἀπολώλεκε μέν, οἶμαι, ὁ Φίλιππος, συνηγωνίσαντο δὲ οὗτοι· τοῦτο δὴ δεῖ σκοπεῖν, καὶ ὁρᾶν εἰ ὅσα τῆς τῶν Φωκέων σωτηρίας ἐπὶ τὴν πρεσβείαν ἧκε, ταῦτα πάντ' ἀπώλεσαν οὗτοι, καὶ διέφθειραν ἑκόντες· οὐχ ὡς ὅδε Φωκέας ἀπώλεσεν ἂν καθ' ἑαυτόν· πόθεν; δός δέ μοι τὸ προβούλευμα, ὃ πρὸς τὴν ἐμὴν ἀπαγγελίαν ἐψηφίσατο ἡ βουλή, καὶ τὴν μαρτυρίαν τὴν τοῦ γράψαντος αὐτὸ τότε, ἵν' εἰδῆτε ὅτι ἐγὼ μὲν οὐδὲ τότε σιγήσας, καὶ ἀφίσταμαι τῶν πεπραγμένων· ἀλλ' εὐθὺς κατηγόρουν, καὶ προεώρων τὰ μέλλοντα· ἡ βουλὴ δ' ἡ μὴ κωλυθεῖσα ἀκοῦσαι τἀληθῆ παρ' ἐμοῦ, οὔτ' ἐπῄνεσε τούτους, οὔτ' εἰς τὸ πρυτανεῖον ἠξίωσε καλέσαι· καί τοι τοῦτ' ἀφ' οὗ γέγονεν ἡ πόλις, οὐδεὶς πώποτέ φησι παθεῖν οὐδένας πρέσβεις· οὐδὲ Τιμαγόραν, ὃ θάνατον κατεχειροτόνησεν ὁ δῆμος· ἀλλ' οὗτοι πεπόνθασι· λέγε δ' αὐτοῖς, πρῶτον μὲν τὴν μαρτυρίαν, εἶτα τὸ προβούλευμα.

Μαρτυρία, Προβούλευμα.

Ἐνταῦθ' οὔτ' ἔπαινος οὔτε κλῆσις εἰς τὸ πρυτανεῖόν ἐστι τῶν πρέσβεων ὑπὸ τῆς βουλῆς· εἰ δέ φησιν οὗτος, δειξάτω καὶ παρασχέσθω, κἀγὼ καταβαίνω, ἀλλ' οὐκ ἔστιν· εἰ μὲν τοίνυν ταὐτὰ πάντες ἐπρεσβεύομεν, δικαίως οὐδένα ἐπῄνεσεν ἡ βουλή· δεινὰ γὰρ ὡς ἀληθῶς τὰ πεπραγμένα πᾶσιν· εἰ δ' οἱ μέν, τὰ δίκαια ἔπραττον ἡμῶν, οἱ δέ, τἀναντία, διὰ τοὺς πεπονηρευμένους, ὡς ἔοικε, τοῖς ἐπιεικέσι συμβεβηκὸς ἂν εἴη ταὐ-

τῆς τῆς ἀτιμίας μετεσχηκέναι· πῶς οὖν ῥᾳδίως ἅπαν-
τες ἔσεσθε, τίς ποτ' ἐσθ' ὁ πονηρός; ἀναμνήσθητε
παρ' ὑμῖν αὐτοῖς, τίς ἐσθ' ὁ κατηγορῶν τῶν πεπραγ-
μένων ἐξ ἀρχῆς· δῆλον γὰρ ὅτι τῷ μὲν ἠδικηκότι σι-
γᾶν ἐξήρκει, καὶ διακρουσαμένῳ τὸν παρόντα χρόνον, μη-
κέτ' εἰς λόγον περὶ τῶν πεπραγμένων ἑαυτὸν καθι-
στάναι· τῷ δὲ μηδὲν αὑτῷ συνειδότι δεινὸν, εἰ σιγῴη,
πονηρῶν καὶ δεινῶν ἔργων δόξαι κοινωνεῖν τῷ σιωπῆσαι·
εἰμὶ τοίνυν ὁ κατηγορῶν ἐξ ἀρχῆς ἐγὼ τούτων, τού-
των δ' οὐδεὶς ἐμοῦ· ἡ μὲν τοίνυν βουλὴ ταῦτα προβε-
βούλευκε· τῆς δ' ἐκκλησίας γιγνομένης, καὶ τοῦ Φιλίπ-
που παρόντος ἤδη ἐν Πύλαις· ἦν γὰρ τοῦτο πρῶτον
ἁπάντων τῶν ἀδικημάτων, τὸ τὸν Φίλιππον ἐπιστῆσαι
τοῖς πράγμασι τούτοις, καὶ δέον ὑμᾶς ἀκοῦσαι περὶ τῶν
πραγμάτων, εἶτα βουλεύσασθαι· μετὰ ταῦτα δὲ πράτ-
τειν ὅ, τι δόξαι· ἅμα ἀκούειν, κἀκεῖνον παρεῖναι, καὶ
μηδ' ὅ, τι χρὴ ποιεῖν, ῥᾴδιον εἰπεῖν εἶναι· πρὸς δὲ
τούτοις, τοῦτο μὲν οὐδεὶς ἀνέγνω τῷ δήμῳ τὸ προβού-
λευμα, οὐδ' ἤκουσεν ὁ δῆμος· ἀναστὰς δὲ οὗτος ἐδη-
μηγόρει ταῦτα, ἃ διεξῆλθον ἄρτι πρὸς ὑμᾶς ἐγὼ τὰ
πολλὰ, καὶ μεγάλα ἀγαθὰ, ἃ πεπεικὼς ἔφη τὸν Φί-
λιππον ἥκειν, καὶ διὰ ταῦτα χρήματα αὐτῷ τοὺς Θη-
βαίους ἐπικεκηρυχέναι· ὥσθ' ὑμᾶς ἐκπεπληγμένους
τῇ παρουσίᾳ τὸ πρῶτον τῇ τοῦ Φιλίππου, καὶ τούτοις ὀρ-
γιζομένους ἐπὶ τῷ μὴ προηγγελκέναι, πρᾳοτέρους γε-
νέσθαι τινὸς, πάνθ' ὅσα ἐβούλεσθε ὑμῖν ἔσεσθαι προσ-
δοκήσαντας, καὶ μηδὲ φωνὴν ἐθέλειν ἀκούειν ἐμοῦ, μη-
δ' ἄλλου μηδενός· καὶ μετὰ ταῦτα ἀνεγιγνώσκετο ἡ ἐ-
πιστολὴ ἡ παρὰ τοῦ Φιλίππου, ἣν οὗτος ἔγραψεν ἀ-
πολειφθεὶς ἡμῶν, ἄντικρυς οὑτωσὶ, καὶ διαρρήδην ἀπο-
λογία γεγραμμένη τῶν τούτοις ἡμαρτημένων· καὶ γὰρ
ὡς αὐτὸς κατεκώλυσεν αὐτοὺς βουλομένους ἐπὶ τὰς πό-
λεις ἰέναι, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν, ἔνεστι, καὶ ὡς
ἵνα συνδιαλλάττωσιν αὐτῷ τοὺς Ἁλεῖς πρὸς τοὺς Φαρ-
σαλίους, κατέσχεν αὐτούς· καὶ πάντα ἀναδεχόμενος,
καὶ εἰς ἑαυτὸν ποιούμενος, τὰ τούτων ἁμαρτήματα ἐστίν·
ὑπὲρ δὲ Φωκέων, ἢ Θεσπιέων, ἢ ὧν οὗτος ἀπήγγελλε
πρὸς ὑμᾶς, ἀλλ' οὐδὲ μικρόν· καὶ τοῦτο, οὐκ ἀπὸ ταὐτο-
μάτου τοῦτον ἐπράχθη τὸν τρόπον, ἀλλ' ὑπὲρ μὲν ὧν
παρὰ τούτων ὑμᾶς ἔδει δίκην λαμβάνειν, ἃ πεποιη-
κότων οὐδὲ διῳκηκότων οὐδὲν, ὧν ὑμεῖς προσετάξατε ἐν

τῷ

τῷ ψηφίσματι, ἐκεῖνος ἐνδέχεται τὴν αἰτίαν, καί φησιν αὐτὸς αἴτιος γεγενῆσθαι, ὅτι οὐκ ἐμέλλεθ' ὑμεῖς, οἶμαι, δυνήσεσθαι κωλῦσαι· οὐδ' ἐκεῖνος ἐξαπατῆσαι, καὶ προλαβεῖν τῆς πόλεως ἐβούλετο, οὗτος ἀπήγγελλεν, ἵνα μηδ' ἐγκαλέσαι, μηδὲ μέμψασθαι μηδὲν ὕστερον ὑμεῖς ἔχητε Φιλίππῳ, μήτ' ἐν ἐπιστολῇ μήτ' ἄλλοθι μηδαμοῦ τοῖς παρ' ἐκείνου τούτων ὄντων. Λέγε δ' αὐτοῖς αὐτὴν τὴν ἐπιστολήν, ἣν ἔγραψε μὲν οὗτος, ἔπεμψε δ' ἐκεῖνος, καὶ σκοπεῖθ' ὅτι τοῦτον ἔχει τὸν τρόπον, ὃν διεξελήλυθ' ἐγώ. Λέγε.

Ἐπιστολή. Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς ἐπιστολῆς, ὡς καλὴ καὶ φιλάνθρωπος· περὶ δὲ Θηβαίων, ἢ Φωκέων, ἢ τῶν ἄλλων, ὧν οὗτος ἀπήγγελλε πρὸς ὑμᾶς, οὐδὲ γρῦ· ταύτης τοίνυν οὐδ' ὁτιοῦν ἐστιν ὑγιές, καὶ τοῦτ' αὐτίκα δὴ μάλα ὑμεῖς ὄψεσθε· οἱ μὲν γὰρ Ἀλεῖς, οὓς ἵνα συνδιαλλάττωσιν, ἐκεῖνος κατασχεῖν φησι τούτους, τοιαύτης τετυχήκασι τῆς διαλλαγῆς, ὥστ' ἐξελήλανται, καὶ ἀνάστατος ἡ πόλις αὐτῶν γέγονε· τοὺς δὲ αἰχμαλώτους, ὁ σκοπῶν τί ἂν ποιῶν ὑμῖν χαρίσαιτο, οὐδ' ἐνθυμηθῆναί φησι λύσασθαι· μεμαρτύρηται δὲ δήπουθεν ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ὡς ἐγὼ τάλαντον ἔχων ἐπ' αὐτοὺς ᾠχόμην, καὶ νῦν μαρτυρηθήσεται· διὸ καὶ τὴν ἐμὴν φιλοτιμίαν οὗτος ἀφαιρούμενος, τοῦτ' ἔπεισεν ἐκεῖνον ἐγγράψαι· ὃ τοίνυν μέγιστον ἁπάντων· ὁ γὰρ εἰς τὴν προτέραν γράψας ἐπιστολήν, ἣν ἠνέγκαμεν ἡμεῖς, ὅτι ἔγραφον μὲν ἄν, καὶ διαρρήδην ἡλίκα ὑμᾶς εὖ ποιήσω, εἰ εὖ ᾔδειν καὶ τὴν συμμαχίαν μοι γενησομένην· γεγονυίας δὲ τῆς συμμαχίας, οὔ φησιν εἰδέναι τί ἂν ποιῶν χαρίσαιτο, οὐδ' ὃ αὐτὸς ὑπέσχετο· τοῦτο γὰρ ᾔδει δηλονότι, εἴπερ μὴ ἐφενάκιζεν ὑμᾶς· ἀλλὰ μήν, ὅτι ταῦθ' οὗτος ἔγραψε, λέγε μοι λαβὼν ἐκ τῆς προτέρας ἐπιστολῆς αὐτὸ τοῦτο ἐνθένδε. Λέγε.

Ἐξ ἐπιστολῆς. Οὐκοῦν, πρὶν μὲν εἰρήνης τυχεῖν, εἰ καὶ συμμαχίᾳ προσγένοιτ' αὐτῷ, γράψαν ὡμολόγει ἡλίκα τὴν πόλιν εὖ ποιήσει· ἐπειδὴ δὲ ἀμφότερα αὐτῷ γέγονεν, οὐκ εἰδέναι φησί, τί ἂν ποιῶν χαρίσαιτο· ἐὰν δ' ὑμεῖς λέγητε ποιήσειν ἃ μήτε αἰσχύνην, μήτε ἀδοξίαν αὐτῷ φέρει, εἰς ταύτας τὰς προφάσεις καταφεύγων· κἂν ἄρα εἴπητέ τι, καὶ πραχθῆτε ὑμεῖς ἐπαγγείλασθαι, ἀναχώρησιν ἑαυ-

τῷ κατέλιπε. Ταῦτα τοίνυν, καὶ πολλὰ ἕτερα οἷον παραχρῆμα τότ' εὐθὺς ἐξελέγχειν, καὶ διδάσκειν ὑμᾶς, καὶ μὴ προΐεσθαι τὰ πράγματα ἔφην. εἰ μὴ Θεσπιαὶ, καὶ Πλαταιαὶ, καὶ τὸ Θηβαίους αὐτίκα δὴ μάλα δώσειν δίκην, ἀφείλετο τὴν ἀλήθειαν· καί τοι ταῦτα, εἰ μὲν ἀκοῦσαι μόνον ἔδει, καὶ φενακισθῆναι τὴν πόλιν, ὀρθῶς ἐλέγετο· εἰ δὲ πραχθῆναι τῷ ὄντι, σιωπᾶσθαι συνέφερεν· εἰ μὲν γὰρ ἐνταῦθ' ἦν ἤδη τὰ πράγματα, ὥστε μηδ' αἰσθομένοις τοῖς Θηβαίοις πλέον εἶναι μηδὲν, τί οὐ γέγονεν; εἰ δὲ διὰ τὸ προαισθέσθαι κεκώλυται, τίς ὁ ἐκλαλήσας; οὐχ οὗτος; ἀλλ' οὔτε ἔμελλεν, οὔτ' ἐβουλήθη ταῦτ', οὔτ' ἤλπισεν οὗτος, ὥστε τοῦτόγε ἐκλελαληκέναι, μηδ' αἰτίαν ἐχέτω· ἀλλὰ φενακισθῆναι τοῖς λόγοις τούτοις ὑμᾶς ἔδει, καὶ ἐμοῦ τἀληθῆ μὴ ἐθελῆσαι ἀκοῦσαι, καὶ αὐτοὺς οἴκοι καταμεῖναι, καὶ ψήφισμα νικῆσαι τοιοῦτον, δι' οὗ Φωκεῖς ἀπολοῦνται· διὰ ταῦτ' ἐσκευωρεῖτο ταῦτα, καὶ διὰ ταῦτ' ἐδημηγορεῖτο· ἀκούων τοίνυν ἐγὼ τηλικαῦτα, καὶ τοιαῦτα ἐπαγγελλομένου τούτου τότε, καὶ ἀκριβῶς εἰδὼς ὅτι ψεύδεται, καὶ ὅθεν, φράσω πρὸς ὑμᾶς. Πρῶτον μὲν, ἐκ τοῦ ὅτε τοὺς ὅρκους ἤμελλε Φίλιππος ὀμνύναι τοὺς περὶ τῆς εἰρήνης, ἐκσπόνδους ἀποφανθῆναι τοὺς Φωκέας ὑπὸ τούτων, ὃ σιωπᾶν, καὶ ἐᾶν εἰκὸς ἦν, εἴπερ ἔμελλον σώζεσθαι· ἔπειτα, ἐκ τοῦ μήτε τοὺς παρὰ Φιλίππου πρέσβεις ταῦτα λέγειν, μήτε τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, ἀλλὰ τοῦτον· ἐκ τούτων οὖν τεκμαιρόμενος, ἀναστὰς καὶ παρελθὼν ἐπειρώμην μὲν ἀντιλέγειν· ὡς δ' ἀκούειν οὐκ ἠθέλετε, ἡσυχίαν ἔσχον, τοσοῦτον μόνον διαμαρτυράμενος, καὶ πρὸς Διὸς καὶ θεῶν ἀναμιμνήσκεσθε, ὅτι ταῦτα οὔτε οἶδα, οὔτε κοινωνῶ· προσέθηκα δὲ ὡς οὐδὲ προσδοκῶ· τραχέως δ' ὑμῶν ἐπὶ τῷ μηδὲ προσδοκᾶν σχόντων, καὶ ὅπως γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἔφην, ἄν τι τούτων γίγνηται, τούτους ἐπαινέσεσθε, καὶ τιμήσετε, καὶ στεφανώσετε, ἐμὲ δὲ, μή· καὶ μέν τοι κἄν τι τῶν ἐναντίων, ὅπως τούτοις ὀργιεῖσθε, ἐγὼ δὲ, ἀφίσταμαι· μὴ νῦν ὑπολαβὼν ἔφη Αἰσχίνης ἀπόστα, μὴ νῦν ἀφίστασο, ἀλλ' ὅπως τότε μὴ προσποιήσῃ· νὴ Δία, ἀδικήσω γ' ἔφην· ἐπαναστὰς δ' ὁ Φιλοκράτης μάλα ὑβριστικῶς, οὐδὲν ἐστιν, ἔφη, θαυμαστὸν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ταὐτὰ ἐμοὶ καὶ Δημοσθένει δοκεῖν· οὗτος μὲν γὰρ ὕδωρ, ἐγὼ δὲ

δὲ

δὲ οἶνον πίνω, καὶ ὑμεῖς ἐγελᾶτε· σκέψασθε δὴ τὸ ψήφισμα, ὃ δίδωσι γράψαι μετὰ ταῦτα ὁ Φιλοκράτης· ἀκοῦσαι μὲν γὰρ οὑτωσί, παγκάλως ἔχει· ἐπειδὰν δὲ τοὺς καιροὺς συλλογίσηταί τις, ἐφ᾽ ὧν ἐγράφη, καὶ τὰς ὑποσχέσεις, ἃς οὗτος ὑπισχνεῖτο τότε, οὐδὲν ἄλλο φανήσονται, πλὴν παραδόντες Φιλίππῳ καὶ Θηβαίοις Φωκέας, μόνον οὐκ ὀπίσω τὼ χεῖρε δήσαντες· λέγε τὸ ψήφισμα.

Ψήφισμα. Ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ ψήφισμα, ὅσων ἐπαίνων καὶ ὅσης εὐφημίας μεστόν ἐστι, καὶ τὴν εἰρήνην εἶναι τὴν αὐτὴν ἥνπερ Φιλίππῳ, καὶ τοῖς ἐκγόνοις, καὶ τὴν συμμαχίαν, καὶ ἐπαινέσαι δὲ Φίλιππον, ὅτι ἐπαγγέλλεται τὰ δίκαια ποιήσειν· ἀλλ᾽ οὐδὲν ἐκεῖνός γε ἐπηγγέλλετο· ἀλλὰ τοσούτου γε ἔδει ἐπαγγέλλεσθαι, ὥστ᾽ οὐδ᾽ εἰδέναι φησὶ τί ἂν ποιῶν ὑμῖν χαρίσαιτο· ἀλλ᾽ οὗτος ἦν ὁ λέγων ὑπὲρ αὐτοῦ καὶ ὑπισχνούμενος· πρὸς δὲ τοὺς παρὰ τούτου λόγους ὡρμηκότας ὑμᾶς λαβὼν ὁ Φιλοκράτης, ἐγγράφει τοῦτο εἰς τὸ ψήφισμα· ἐὰν δὲ μὴ ποιῶσι Φωκεῖς ἃ δεῖ, καὶ παραδιδῶσι τοῖς Ἀμφικτύοσι τὸ ἱερόν, ὅτι βοηθήσει ὁ δῆμος ὁ Ἀθηναίων ἐπὶ τοὺς διακωλύοντας ταῦτα γίγνεσθαι. Οὐκοῦν, ὦ ἄνδρες Ἀθηναῖοι, μενόντων μὲν ὑμῶν οἴκοι, καὶ οὐκ ἐξεληλυθότων, ἀπεληλυθότων δὲ τῶν Λακεδαιμονίων καὶ προησθημένων τὴν ἀπάτην, οὐδενὸς δ᾽ ἄλλου παρόντος τῶν Ἀμφικτυόνων, πλὴν Θετταλῶν καὶ Θηβαίων, ἀφιλοτίμων ἀνθρώπων, τούτοις παραδοῦναι γέγραφε τὸ ἱερόν, γράψας τοῖς Ἀμφικτύοσι παραδοῦναι· ποίοις; οὐ γὰρ ἦσαν αὐτόθι, πλὴν Θηβαῖοι, καὶ Θετταλοί· ἀλλ᾽ οὐδὲ συγκαλέσαι τοὺς Ἀμφικτύονας, οὐδ᾽ ἐπισχεῖν, ἕως ἂν συλλεγῶσιν, οὐδὲ βοηθεῖν Πρόξενον εἰς Φωκέας, οὐδ᾽ ἐξιέναι Ἀθηναίους, οὐδὲ τοιοῦτ᾽ οὐδέν· καί τοι καὶ ἐπιστολὰς ἔπεμψεν ὁ Φίλιππος δύο καλούσας ὑμᾶς, οὐχ ἵν᾽ ἐξέλθητε, πάμπολυ· οὐ γὰρ ἄν ποτε τοὺς χρόνους ἀνελὼν ἐν οἷς ἠδυνήθητ᾽ ἂν ἐξελθεῖν, τηνικαῦτα ἐκάλει· οὐδ᾽ ἂν ἐμέ, ἡνίκα δεῦρο ἀποπλεῖν ἐβουλόμην κατεκώλυεν, οὐδὲ τοιαῦτα λέγειν τούτῳ προσέταττεν, ἐξ ὧν ὑμεῖς ἥκιστα ἐμέλλετε ἐξιέναι· ἀλλ᾽ ἵνα ἃ ἐβούλεσθε οἰόμενοι πράξειν αὐτόν, μηδὲν ἐναντίον ψηφίσαισθε αὐτῷ, μηδ᾽ ἀμύνοιντο, μηδ᾽ ἀντέχοιεν οἱ Φωκεῖς ἐπὶ ταῖς παρ᾽ ὑμῶν ἐπέχοντες ἐλπίσιν· ἀλλ᾽ ἀπογνόντες ἅπαντες

ἑαυ-

αὑτοὺς ἐγχειρίζειν. Λέγε δ' αὐτοῖς αὐτὰς τὰς ἐπιστολὰς τὰς τοῦ Φιλίππου.

Ἐπιστολαί.

Αἱ μὲν τοίνυν ἐπιστολαὶ κελεύουσιν αὗται, καὶ νὴ Δία ἤδη γε· τούτοις δ' εἴπερ ἦν ὑγιές τι τούτων, τί ἄλλο προσῆκεν ἢ συμπεῖσαι ὅπως ἐπεξέλθοιτε ὑμεῖς, καὶ τὸν Πρόξενον, ὃν περὶ τοὺς τόπους ᾔδεσαν ὄντα, γράφειν εὐθέως βοηθεῖν; πάντα τοίνυν τἀναντία τούτων φαίνονται πεποιηκότες, εἰκότως· οὐ γὰρ οἷς ἐπέστελλε προσεῖχον τὸν νοῦν, ἀλλ' ἃ φρονῶν ταῦτ' ἔγραφε, συνῄδεσαν. τούτοις οὖν συνέπραττον, καὶ τούτοις συνηγωνίζοντο· οἱ μὲν τοίνυν Φωκεῖς, ὡς τὰ παρ' ὑμῶν ἐπύθοντο ἐκ τῆς ἐκκλησίας, καὶ τὸ ψήφισμα τοῦτο ἔλαβον τὸ τοῦ Φιλοκράτους, καὶ τὴν ἀπαγγελίαν ἐπύθοντο τὴν τούτου, καὶ τὰς ὑποσχέσεις, κατὰ πάντας τοὺς τρόπους ἀπώλοντο· σκοπεῖτε γάρ· ἦσαν ἀπιστοῦντές τινες αὐτόθι τῷ Φιλίππῳ, καὶ νοῦν ἔχοντες, οὗτοι πιστεύειν ὑπήχθησαν· διὰ τί; ὅτι ἡγοῦντο, οὐδ' εἰ δεκάκις Φίλιππος αὐτοὺς ἐξηπάτα, οὐδέποτ' ἂν τούς γε Ἀθηναίων πρέσβεις Ἀθηναίους ἐξαπατᾶν τολμῆσαι· ἀλλ' εἶναι ταῦτ' ἀληθῆ, ἃ οὗτος ἀπήγγελλε πρὸς ὑμᾶς, καὶ τοῖς Θηβαίοις ἥκειν, οὐκ αὐτοῖς ὄλεθρον· ἦσαν ἄλλοι τινές, οἳ πάσχειν ὁτιοῦν καὶ ἀμύνεσθαι δεῖν ᾤοντο, ἀλλὰ καὶ τούτους μαλακοὺς ἐποίησε, τὸ τὸν Φίλιππον ὑπάρχειν αὐτοῖς πεισθῆναι, καὶ τό, ταῦτα εἰ μὴ ποιήσουσιν, ὑμᾶς ἐπ' αὐτοὺς ἥξειν, οὓς βοηθήσειν αὐτοῖς ἤλπιζον ἐκεῖνοι· ἀλλὰ καὶ μεταμέλειν ὑμῖν ᾤοντό τινες πεποιημένοις τὴν πρὸς Φίλιππον εἰρήνην· τούτοις ὅτι καὶ τοῖς ἐκγόνοις τὴν αὐτὴν ἐψηφίσασθε, ἐπέδειξαν· ὥστε πανταχῇ τὰ παρ' ὑμῶν ἀπογνωσθῆναι· διόπερ ταῦτα πάντα εἰς ἓν ψήφισμα οὗτοι συνεσκεύασαν, ὃ καὶ μέγιστον ἔμοιγε δοκοῦσιν ἁπάντων ὑμᾶς ἠδικηκέναι· τὸ γὰρ πρὸς ἄνδρα θνητόν, καὶ διὰ καιρούς τινας ἰσχύοντα, γράφοντας εἰρήνην ἀθάνατον, συνθέσθαι τὴν κατὰ τῆς πόλεως αἰσχύνην, καὶ ἀποστερῆσαι μὴ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ τῶν παρὰ τῆς τύχης εὐεργεσιῶν τὴν πόλιν, καὶ τοσαύτῃ περιουσίᾳ χρήσασθαι πονηρίας, ὥστε μὴ μόνον τοὺς ὄντας Ἀθηναίους, ἀλλὰ καὶ τοὺς ὕστερόν ποτε μέλλοντας ἔσεσθαι, πάντας ἠδικηκέναι, πῶς οὐχὶ πάνδεινόν ἐστι; τοῦτο τοίνυν οὐδέποθ' ὑμεῖς ὑπεμείνατ' ἂν ὕστερον προσγράψαι πρὸς τὴν εἰρήνην, τὸ καὶ τοῖς ἐκγόνοις, εἰ

μὴ ταῖς παρ' Αἰσχίνου ῥηθείσαις ὑποσχέσεσι τούτου ἐπιστεύσατε, ὥσπερ οἱ Φωκεῖς πιστεύσαντες, ἀπώλοντο· καὶ γάρ τοι παραδόντες αὐτοὺς φιλίππῳ, καὶ ἑκόντες ἐγχειρίσαντες ἐκείνῳ τὰς πόλεις, ἁπάντων τῶν ἐναντίων, ὧν πρὸς ὑμᾶς οὗτος ἀπήγγειλεν, ἔτυχον· ἵνα δὲ εἰδῆτε σαφῶς, ὅτι ταῦθ' οὕτω καὶ διὰ τούτους ἀπόλωλε, τοὺς χρόνους ὑμῖν λογιοῦμαι, καθ' οὓς ἐγίγνεθ' ἕκαστα· περὶ ὧν δ' ἂν τις ἀντιλέγῃ τούτων, ἀναστὰς ἐν τῷ ἐμῷ ὕδατι εἰπάτω· ἡ μὲν τοίνυν εἰρήνη ἐλαφηβολιῶνος ἐνάτῃ ἐπὶ δέκα ἐγένετο· ἀπεδημήσαμεν δ' ἡμεῖς ἐπὶ τοὺς ὅρκους τρεῖς μῆνας ὅλους, καὶ τοῦτον ἅπαντα τὸν χρόνον ἦσαν οἱ Φωκεῖς σῷοι· ἥκομεν δὲ δεῦρο ἀπὸ τῆς πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους τρίτῃ ἐπὶ δεκάτῃ τοῦ σκιροφοριῶνος μηνός· καὶ παρῆν ἐν Πύλαις ὁ φίλιππος ἤδη, καὶ τοῖς Φωκεῦσιν ἐπηγγέλλετο, ὧν οὐδὲν ἐπίστευον ἐκεῖνοι· σημεῖον δέ, οὐ γὰρ ἂν δεῦρ' ἧκον ὡς ὑμᾶς· ἡ δ' ἐκκλησία μετὰ ταῦτα, ἐν ᾗ πάντα τὰ πράγματα ἀπώλεσαν, οὗτοι ψευσάμενοι καὶ φενακίσαντες ὑμᾶς τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ σκιροφοριῶνος ἐγίγνετο· ἀπὸ τοίνυν ταύτης πεμπταῖα λογίζομαι καὶ τὰ παρ' ὑμῶν ἐν τοῖς Φωκεῦσι γενέσθαι· παρῆσαν γὰρ οἱ τῶν Φωκέων πρέσβεις ἐνθάδε, καὶ ἦν αὐτοῖς καὶ τί ἀπαγγελοῦσιν οὗτοι, καὶ τί ψηφιεῖσθε ὑμεῖς ἐπιμελὲς εἰδέναι· οὐκοῦν εἰκὸς, ᾗ τίθεμεν πυθέσθαι τοὺς Φωκέας τὰ παρ' ὑμῶν· ἀπὸ γὰρ τῆς ἕκτης εἰς ταύτην πέμπτη γίνεται· ὑστέρα τοίνυν, δεκάτη, ἐνάτη, ὀγδόη· ταύτῃ ἐγίγνοντο αἱ σπονδαί, καὶ πάντα τἀκεῖ πράγματα ἀπωλώλει, καὶ τέλος εἶχε. τῷ τοῦτο δῆλον; τῇ τετράδι φθίνοντος ἐκκλησιάζετε μὲν ὑμεῖς τότ' ἐν Πειραιεῖ περὶ τῶν ἐν τοῖς νεωρίοις, ἧκε δὲ Δερκύλος ἐκ Χαλκίδος, καὶ ἀπήγγειλεν ὑμῖν, ὅτι πάντα τὰ πράγματα ἐγκεχείρικε Θηβαίοις ὁ φίλιππος, καὶ πέμπτην ἡμέραν εἶναι ταύτην ἐλογίζετο, ἀφ' οὗ γεγόνασιν αἱ σπονδαί· ὀγδόη τοίνυν, ἑβδόμη, ἕκτη, πέμπτη, τετράς, αὐτὸ συμβαίνει, εἰς ταύτην εἶναι πέμπτην· οὐκοῦν τοῖς χρόνοις οἷς ἀπήγγελον, οἷς ἔγραφον, πᾶσιν ἐξελέγχονται συνηγωνισμένοι φιλίππῳ, καὶ συναίτιοι γεγονότες τοῦ τῶν Φωκέων ὀλέθρου· ἔτι τοίνυν τὸ μηδεμίαν τῶν πόλεων τῶν ἐν Φωκεῦσιν ἁλῶναι πολιορκίᾳ, μηδ' ἐκ προσβολῆς κατὰ κράτος, ἀλλ' ἐκ τοῦ σπείσασθαι πάντας ἄρδην.

δεῖν ἀπολέσθαι, μέγιστόν ἐστι σημεῖον, τὸ διὰ τούτους πεισθέντας αὐτοὺς ὡς ὑπὸ τοῦ Φιλίππου σωθήσονται, ταῦτα παθεῖν· οὐ γὰρ ἐκεῖνόν γε ἠγνόουν· φέρε δή μοι καὶ τὴν συμμαχίαν τὴν τῶν Φωκέων καὶ τὰ δόγματα, ὑφ' ὧν καθεῖλον αὐτῶν τὰ τείχη, ἵν' εἰδῆτε οἵων ὑπαρχόντων αὐτοῖς παρ' ὑμῶν, οἵων ἔτυχον διὰ τούτους τοὺς θεοῖς ἐχθρούς. Λέγε.

Συμμαχία Θηβαίων καὶ Φωκέων.

Ἃ μὲν τοίνυν ὑπῆρχε παρ' ὑμῶν αὐτοῖς, ταῦτ' ἐστί, φιλία, συμμαχία, βοήθεια· ὧν δ' ἔτυχον διὰ τοῦτον τὸν βοηθῆσαι κωλύσαντα ὑμᾶς, ἀκούσατε· Λέγε.

Ὁμολογία Φιλίππου, καὶ Φωκέων.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, ὁμολογία Φιλίππου, καὶ Φωκέων φησίν, οὐχὶ Θηβαίων καὶ Φωκέων, οὐδὲ Θετταλῶν καὶ Φωκέων, οὐδὲ Λοκρῶν, οὐδ' ἄλλου τῶν παρόντων οὐδενός· καὶ πάλιν, παραδεδωκέναι δὲ τὰς πόλεις φησὶ Φωκέας Φιλίππῳ, οὐχὶ Θηβαίοις, οὐχὶ Θετταλοῖς, οὐδὲ ἄλλῳ οὐδενί· διὰ τί; ὅτι Φίλιππος ἀπηγγέλλετο πρὸς ὑμᾶς ὑπὸ τούτου ἐπὶ τῇ τῶν Φωκέων σωτηρίᾳ παρεληλυθέναι· τούτῳ δὴ πάντ' ἐπίστευον, καὶ πρὸς τοῦτον πάντ' ἐσκόπουν, πρὸς τοῦτον ἐποιοῦντο τὴν εἰρήνην. Λέγε δὴ τἀπίλοιπα· καὶ σκοπεῖτε τί πιστεύσαντες, τί ἔπαθον· ἆρά γε ὅμοια, ἢ παραπλήσια, οἷς οὗτος ἀπήγγελλε. Λέγε.

Δόγμα Ἀμφικτυόνων.

Τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, δεινότερα οὐ γέγονεν, οὐδὲ μείζω πράγματ' ἐφ' ὑμῶν ἐν τοῖς Ἕλλησιν· οἶμαι δ' οὐδ' ἐν τῷ πρόσθεν χρόνῳ. Τηλικούτων μέντοι, καὶ τοιούτων πραγμάτων εἷς ἀνὴρ κύριος Φίλιππος γέγονε διὰ τούτους, οὔσης τῆς Ἀθηναίων πόλεως, ᾗ προεστάναι τῶν Ἑλλήνων πάτριον, καὶ μηδὲν τοιοῦτον περιορᾶν γιγνόμενον· ὃν μὲν τοίνυν τρόπον οἱ ταλαίπωροι Φωκεῖς ἀπολώλασιν, οὐ μόνον ἐκ τῶν δογμάτων τούτων ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ ἐκ τῶν ἔργων, ἃ πέπρακται· θέαμα δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐλεεινόν· ὅτε γὰρ νῦν ἐπορευόμεθα εἰς Δελφούς, ἐξ ἀνάγκης ἦν ὁρᾶν ἡμῖν πάντα ταῦτα· οἰκίας κατεσκαμμένας, τείχη περιῃρημένα, χώραν ἔρημον τῶν ἐν ἡλικίᾳ, γύναια δὲ, καὶ παιδάρια ὀλίγα, καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς· ὅλως δὲ, οὐδ' ἂν εἷς ἐφικέσθαι δύναιτο

τῷ

τῷ λόγῳ τῶν ἐκεῖ κακῶν νῦν ὄντων. Ἀλλὰ μήν, ὅτι τὴν ἐναντίαν ποτὲ Θηβαίοις ψῆφον ἔθεντο οὗτοι περὶ ὑμῶν, ὑπὲρ ἀνδραποδισμοῦ προτεθείσης, ὑμῶν ἔγωγε ἀκούω πάντων· τίνα ἂν οὖν οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς προγόνους ὑμῶν, εἰ λάβοιεν αἴσθησιν, ψῆφον ἢ γνώμην θέσθαι περὶ τῶν τοῦ Φωκέων ὀλέθρου αἰτίων; ἐγὼ μὲν γὰρ οἶμαι, κἂν καταλεύσαντας αὐτοὺς ταῖς ἑαυτῶν χερσὶ καθαροὺς ταῖς ἔσεσθαι νομίζειν· πῶς γὰρ οὐκ αἰσχρόν, μᾶλλον δὲ τίς ἐστιν ὑπερβολὴ τούτου, τοὺς σεσωκότας ἡμᾶς τότε, καὶ τὴν σώζουσαν περὶ ὑμῶν ψῆφον θεμένους τούτους τῆς ἐναντίας τετυχηκέναι διὰ τούτους, καὶ περιεωρᾶσθαι τοιαῦτα πεπονθότας, οἷα οὐδένες ἄλλοι τῶν Ἑλλήνων; τίς οὖν ὁ τούτων αἴτιος; τίς ὁ ταῦτα φενακίσας; οὐκ οὗτος; πολλὰ μὲν τοίνυν ἄν τις, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππον εὐδαιμονίσας τῆς τύχης, εἰκότως τοῦτο μάλιστ' ἂν εὐδαιμονίσειεν ἁπάντων, ὃ μὰ τοὺς θεούς, καὶ τὰς θεὰς οὐκ ἔχω λέγειν ἔγωγε ἄλλον ὅς τις εὐτύχηκεν ἐφ' ὑμῶν· τὸ μὲν γὰρ πόλεις μεγάλας εἰληφέναι, καὶ χώραν πολλὴν ὑφ' ἑαυτῷ πεποιῆσθαι, καὶ πάντα τὰ τοιαῦτα, ζηλωτὰ μέν ἐστιν, οἶμαι, καὶ λαμπρά· πῶς γὰρ οὔ; ἔχοι δ' ἄν τις εἰπεῖν πεπραγμένα, καὶ ἑτέροις πολλοῖς· ἀλλ' ἐκεῖνο ἴδιον, καὶ οὐδενὶ τῶν ἁπάντων ἄλλῳ γεγονὸς εὐτύχημα· τὸ ποῖον; τὸ ἐπειδὴ πονηρῶν ἀνθρώπων εἰς τὰ πράγματ' αὐτῷ ἐδέησε, πονηροτέρους εὑρεῖν, ἢ ἐβούλετο· πῶς γὰρ οὐχ οὗτοι τοιοῦτοι δικαίως ὑποληφθεῖεν ἄν; εἴ γε ἃ ὑπὲρ ὧν αὐτὸς Φίλιππος τηλικούτων ὄντων αὐτῷ τῶν διαφόρων, οὐκ ἐτόλμα ψεύσασθαι, * οὔτ' εἰς ἐπιστολὴν γράψαι οὐδεμίαν, οὐδὲ πρεσβευτὴς οὐδεὶς εἶπε τῶν παρ' ἐκείνου, ἐπὶ ταῦτα οὗτοι μισθώσαντες ἑαυτοὺς ὑμᾶς ἐξηπάτων· καὶ ὁ μὲν Ἀντίπατρος, καὶ ὁ Παρμενίων δεσπότῃ διακονοῦντες, καὶ οὐ μέλλοντες μετὰ ταῦθ' ὑμῖν ἐντεύξεσθαι, ὅμως τοῦθ' εὕροντο, τὸ μὴ δι' αὐτῶν ὑμᾶς ἐξαπατηθῆναι· * οἱ δὲ Ἀθηναῖοι, τῆς ἐλευθερωτάτης πόλεως πρέσβεις ταχθέντες, ὑμᾶς οἷς ἀπαντῶντας ἐμβλέπειν, οἷς συζῆν ἀνάγκη τὸν λοιπὸν βίον, καὶ ἐν οἷς εὐθύνας ἔμελλον δώσειν τῶν πεπραγμένων, τούτους ἐξαπατᾶν ὑπέστησαν· πῶς ἂν ἄνθρωποι κακίους, ἢ μᾶλλον ἀπονενοημένοι τούτων γένοιντο; ἵνα τοίνυν εἰδῆτε ὅτι καὶ κατάρατός ἐστιν ὑφ' ὑμῶν, καὶ οὐδ' ὅσιον ὑμῖν οὐδ' εὐσεβές ἐστι τοιαῦτα ἐψευσμένον αὐτὸν ἀφεῖναι·

Λέγε

Λέγε τὴν ἀράν, καὶ ἀνάγνωθι λαβὼν τὴν ἐκ τοῦ νόμου ταυτηνί. Ἀρά. Ταῦθ' ὑπὲρ ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καθ' ἑκάστην ἐκκλησίαν ὁ κῆρυξ εὔχεται νόμῳ προστεταγμένα, καὶ ὅταν ἡ βουλὴ κάθηται, παρ' ἐκείνῃ πάλιν· καὶ ταῦτ' οὐκ ἔνεστιν εἰπεῖν τούτῳ, ὡς οὐκ ᾔδει· ὑπογραμματεύων γὰρ ὑμῖν, καὶ ὑπηρετῶν τῇ βουλῇ αὐτὸς ἐξηγεῖτο τὸν νόμον τοῦτον τῷ κήρυκι· πῶς οὖν οὐκ ἄτοπον καὶ ὑπερφυὲς ἂν πεποιηκότες ὑμεῖς εἴητε, εἰ ἃ προστάττετε, μᾶλλον δ' ἀξιοῦτε ποιεῖν ὑπὲρ ὑμῶν τοὺς θεοὺς, ταῦτ' αὐτοὶ κύριοι γεγενημένοι τήμερον μὴ ποιήσετε; ἀλλ' ὃν ἐκείνοις εὔχεσθε ἐξώλη ποιεῖν αὐτὸν, καὶ γένος, καὶ οἰκίαν, τοῦτον ἀφήσετε αὐτοί; μηδαμῶς· ὃς γὰρ ἂν ὑμᾶς λάθῃ, τοῦτον ἀφίετε τοῖς θεοῖς κολάζειν· ὃν δ' αὐτοὶ λάβητε, μηκέτ' ἐκείνοις περὶ τούτου προστάττετε· εἰς τοίνυν τὴν ἀναιδείας, καὶ τόλμης ἥξειν αὐτὸν ἀκούω, ὥστε πάντων τῶν πεπραγμένων ἐκστάντα, ὧν ἀπήγγειλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν, ὥσπερ ἐν ἄλλοις τισὶ κρινόμενον, καὶ οὐκ ἐν ὑμῖν τοῖς πάντ' εἰδόσι· πρῶτον μὲν Λακεδαιμονίων, εἶτα Φωκέων, εἶθ' Ἡγησίππου κατηγορήσειν· ἔστι δὲ ταῦτα γέλως, μᾶλλον δὲ ἀναισχυντία δεινή· ὅσα γὰρ νῦν ἐρεῖ περὶ τῶν Φωκέων, ἢ τῶν Λακεδαιμονίων, ἢ τοῦ Ἡγησίππου, ἢ ὡς Πρόξενον οὐχ ὑπεδέξαντο, ἢ ὡς ἀσεβεῖς εἰσιν, ἢ ὅ, τι ἂν δήποτε αὐτῶν κατηγορῇ, πάντα δήπου ταῦτα, πρὸ τοῦ τοὺς πρέσβεις τούτους δεῦρ' ἥκειν, ἐπέπρακτο, καὶ οὐκ ἦν ἐμποδὼν τῷ τοὺς Φωκέας σώζεσθαι· ὡς τίς φησι; Αἰσχίνης αὐτὸς οὑτοσί· οὐ γὰρ ὡς εἰ μὴ διὰ Λακεδαιμονίους, οὐδ' ὡς εἰ μὴ Πρόξενον οὐχ ὑπεδέξαντο, οὐδ' ὡς εἰ μὴ δι' Ἡγήσιππον, οὐδ' ὡς εἰ μὴ διὰ τὸ, καὶ τὸ, ἐσώθησαν ἂν οἱ Φωκεῖς, οὐχ οὕτω τότε ἀπήγγειλεν· ἀλλὰ πάντα ταῦθ' ὑπερβὰς διαρρήδην ἥκειν ἔφη πεπεικὼς Φίλιππον, Φωκέας σώζειν, τὴν Βοιωτίαν οἰκίζειν, ὑμῖν τὰ πράγματα οἰκεῖα ποιεῖν· ταῦτα πεπράξεσθαι, δυοῖν ἢ τριῶν ἡμερῶν, διὰ ταῦτα χρήματ' ἑαυτῷ τοὺς Θηβαίους ἐπικεκηρυχέναι· μὴ τοίνυν ἃ πρὸ τοῦ τοῦτον ἀπαγγεῖλαι ταῦτα, ἐπέπρακτο ἢ Λακεδαιμονίοις, ἢ Φωκεῦσιν, ἀκούετε, μηδὲ ἀνέχεσθε, μηδὲ κατηγορεῖν ἐᾶτε Φωκέων, ὡς * πονηροί· οὐδὲ γὰρ Λακεδαιμονίους διὰ τὴν ἀρετήν ποτε ἐσώσατε, οὐδὲ τοὺς καταράτους Εὐβοέας τουτουσί, οὐδὲ ἄλλους πολλούς,

ἀλλ'

ἀλλ' ὅτι συμφέρον ἦν, πῶς εἶναι τῇ πόλει, ὥσπερ Φω-
κέας νυνί· καὶ τί τῶν Φωκέων, ἢ τῶν Λακεδαιμονίων,
ἢ ὑμῶν, ἢ ἄλλου τινὸς ἀνθρώπου μετὰ τοὺς παρὰ τούτου
λόγους ἐξαμαρτόντος, οὐκ ἀπέβη τὰ πρὸς ὑμᾶς ὑπὸ
τούτου τότε ῥηθέντα, τοῦτ' ἐρωτᾶτε· οὐ γὰρ ἕξει δεῖ-
ξαι· πέντε γὰρ γεγόνασιν ἡμέραι μόναι, ἐν αἷς οὗ-
τος ἀπήγγειλε τὰ ψευδῆ, ὑμεῖς ἐπιστεύσατε, οἱ Φω-
κεῖς ἐπύθοντο, ἐνέδωκαν ἑαυτοὺς, ἀπώλοντο· ὅθεν,
οἶμαι, καὶ δῆλόν ἐστι σαφῶς, ὅτι πᾶσα ἀπάτη καὶ
τέχνη συνεσκευάσθη τοῦ περὶ τοὺς Φωκέας ὀλέθρου;
εἰ μὲν γὰρ χρόνον οὐχ οἷός τ' ἦν ἐλθεῖν ὁ Φίλιππος
διὰ τὴν εἰρήνην, ἀλλ' ἦν ἐν παρασκευῇ, τοὺς Λακε-
δαιμονίους μετεπέμπετο πάντα τὰ πράγματα ὑποσ-
χόμενος πράξειν ἐκείνοις, ἵνα μὴ δι' ὑμῶν αὐτοὺς οἱ Φω-
κεῖς ὑποποιήσωνται· ἐπειδὴ δὲ ἧκεν εἰς Πύλας, οἱ Λα-
κεδαιμόνιοι δ' αἰσθόμενοι τὴν ἐνέδραν ὑπεχώρησαν, τοῦ-
τον αὖ προκατέθηκεν ἐξαπατᾶν ὑμᾶς· ἵνα μὴ πάλιν
ὑμῶν αἰσθομένων, ὅτι Θηβαίοις τὰ πράγματα πράτ-
τει, εἰς χρόνους καὶ πόλεμον καὶ τριβὴν ἐμπέσῃ, τῶν μὲν
Φωκέων ἀμυνομένων, ὑμῶν δὲ βοηθούντων, ἀλλ' ἀκο-
νιτὶ πάνθ' ὑφ' ἑαυτῷ ποιήσηται, ὅπερ καὶ γέγονε. μὴ
οὖν ὅτι καὶ Λακεδαιμονίους καὶ Φωκέας ἐξηπάτησε Φίλιπ-
πος, διὰ ταῦθ' ὧν ὑμᾶς οὗτος ἐξηπάτησε, μὴ δότω
δίκην· οὐ γὰρ δίκαιον. ἂν τοίνυν ἀντὶ Φωκέων καὶ Πυ-
λῶν, καὶ τῶν ἄλλων τῶν ἀπολωλότων Χερρόνησος ὡς
περίεστι τῇ πόλει, λέγῃ· πρὸς Διὸς καὶ θεῶν, μὴ ἀπο-
δέξησθε, ὦ ἄνδρες δικασταί, μηδ' ὑπομείνητε πρὸς
οἷς ἐκ τῆς πρεσβείας ἠδίκησθε, καὶ ἐκ τῆς ἀπολογίας
ὄνειδος προσκατασκευασθῆναι τῇ πόλει· ὡς ἄρα ὑ-
μεῖς τῶν ἰδίων τι κτημάτων ὑπεξαιρέμενοι τὴν τῶν συμ-
μάχων σωτηρίαν προήκασθε, οὐ γὰρ ἐποιήσατε τοῦτο·
ἀλλ' ἤδη τῆς εἰρήνης γεγονυίας, καὶ τῆς Χερρονήσου σώας
οὔσης, τέτταρας μῆνας ὅλους ἐσώζοντο οἱ Φωκεῖς τοὺς
ὕστερον· ἡ δὲ τούτου ψευδολογία μετὰ ταῦθ' ὕστε-
ρον αὐτοὺς ἀπώλεσεν, ἐξαπατήσασα ὑμᾶς· εἶτα καὶ
νῦν ἐν μείζονι κινδύνῳ τὴν Χερρόνησον οὖσαν εὑρή-
σετε, ἢ τότε· πότερον γὰρ εὐπορώτερον ἂν δίκην ἔ-
δωκε Φίλιππος, ἐξαμαρτὼν εἰς αὐτὴν, πρὶν τούτων τι
τὴν πόλιν προλαβεῖν, ἢ νυνί; ἐγὼ μὲν οἶμαι τότε
πολλῷ· τίς οὖν ἡ ταύτης περιουσία, τῶν φόβων ἀφῃ-
ρημένων, καὶ τῶν κινδύνων τῶν τοῦ βουληθέντος αὐ-

τὴν

τὴν ἀδικοῦσαν; Ἔτι τοίνυν, καὶ τοιοῦτόν τι μέλλειν αὐτὸν
ἀκούω λέγειν, ὅτι θαυμάζει, τί δήποτε Δημοσθένης
αὐτοῦ κατηγορεῖ, Φωκέων δὲ οὐδείς· ὡς δὴ τοῦτ' ἔχει,
βέλτιον προακοῦσαι παρ' ἐμοῦ· Φωκέων τῶν ἐκπεπτω-
κότων οἱ μὲν, οἶμαι, βέλτιστοι καὶ μετριώτατοι φυ-
γάδες γεγενημένοι, καὶ τοιαῦτα πεπονθότες, ἡσυχίαν
ἄγουσι· καὶ οὐδεὶς ἂν αὐτῶν ἐθελήσειεν ὑπὲρ τῶν κοι-
νῶν συμφορῶν ἰδίαν ἔχθραν ἀνελέσθαι· οἱ δὲ μηδ-
ὲν ἀπὸ ἀργυρίου ποιήσοντες τὸν δώσοντα οὐκ ἔχουσιν
ἑαυτοῖς· οὐ γὰρ ἔγωγ' ἔδωκα οὐδενὶ οὐδὲν, ὥς τέ μοι
παραστάντας ἐνταυθοῖ βοᾶν, οἷα πεπόνθασιν· ἡ γὰρ
ἀλήθεια, καὶ τὰ πεπραγμένα αὐτὰ βοᾷ· ἀλλὰ μὴν
ὅ γε δῆμος ὁ τῶν Φωκέων οὕτω κακῶς καὶ ἐλεεινῶς διά-
κειται, ὥστε μὴ περὶ τοῦ κατηγορεῖν ἑκάστῳ τὰς Ἀθήνη-
σιν εὐθύνας εἶναι τὸν λόγον, ἀλλ' οὐ δουλεύειν, καὶ τε-
θνάναι τῷ φόβῳ καὶ τοὺς Θηβαίους, καὶ τοὺς φιλίππου ξέ-
νους, οὓς ἀναγκάζονται τρέφειν διῳκισμένοι κατὰ κώ-
μας, καὶ παρῃρημένοι τὰ ὅπλα· μὴ δὴ ταῦτα λέγειν
αὐτὸν ἐᾶτε, ἀλλ' ὡς οὐκ ἀπολώλασι Φωκεῖς, δεικνύειν,
ἢ ὡς οὐχ ὑπέσχετο σώσειν αὐτοὺς φίλιππον· τοῦτο γάρ
ἐστι πρεσβείας εὐθῦναι, τί πέπρακται; τί ἀπήγγε-
λκας; εἰ μὲν ἀληθῆ, σώζου· εἰ δὲ ψευδῆ, δίκην δός·
εἰ δὲ μὴ πάρεισι Φωκεῖς, τί τοῦτο; οὕτω γὰρ διέθη-
κας αὐτοὺς, οἶμαι, τὸ μέρος σὺ ὥστε μήτε τοῖς φί-
λοις βοηθεῖν, μήτε τοὺς ἐχθροὺς ἀμύνεσθαι δύνασθαι·
καὶ μὴν ὅτι χωρὶς τῆς ἄλλης αἰσχύνης, καὶ ἀδοξίας, ἣν
τὰ πεπραγμένα ἔχει, καὶ μεγάλοι κίνδυνοι περιεστᾶσι
ἐκ τούτων τὴν πόλιν, ῥᾴδιον δεῖξαι. τίς γὰρ οὐκ οἶδεν
ὑμῶν, ὅτι τῷ Φωκέων πολέμῳ, καὶ τῷ κυρίους εἶναι
Πυλῶν Φωκέας, ἥ τε ἀπὸ Θηβαίων ἄδεια ὑπῆρχεν ἡ-
μῖν, καὶ τὸ μηδέποτ' ἂν ἐλθεῖν εἰς Πελοπόννησον, μη-
δ' εἰς Εὔβοιαν, μηδ' εἰς τὴν Ἀττικὴν φίλιππον, μηδὲ
Θηβαίους; ταύτην μέντοι τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν
πραγμάτων αὐτῶν ἀσφάλειαν ὑπάρχουσαν τῇ πόλει ταῖς
τούτων ἀπάταις καὶ ψευδολογίαις πεισθέντες, προή-
καθ' ὑμεῖς, καὶ τετειχισμένην ὅπλοις, καὶ πολέμῳ συ-
νεχεῖ, καὶ πόλεσι μεγάλαις συμμάχων ἀνδρῶν, καὶ χώ-
ρᾳ πολλῇ, περιείδετε ἀνασταθεῖσαν· καὶ ματαία μὲν ἡ
προτέρα βοήθεια εἰς Πύλας ὑμῖν γέγονεν, ἣν μετὰ
πλειόνων ἢ διακοσίων ταλάντων ἐποιήσασθε, ἐὰν λο-
γίσησθε τὰς ἰδίας δαπάνας τὰς τῶν στρατευσαμένων

μέ-

μένουσι δὲ καὶ αἱ κατὰ Θηβαίων ἐλπίδες. Ὃ δὲ πολλῶν ὄντων καὶ δεινῶν, ὧν οὗτος ὑπηρέτηκε Φιλίππῳ, πλείστην ὕβριν ὡς ἀληθῶς ἔχει κατὰ τῆς πόλεως, καὶ κατὰ πάντων ὑμῶν, τοῦτ' ἀκούσατέ μου· ὅτι τοῖς Θηβαίοις ἐγνωκότος ἐξ ἀρχῆς τοῦ Φιλίππου πάνθ' ἅπερ προῄρητο ποιεῖν, οὗτος ἀπαγγείλας τἀναντία, καὶ φανερὸς ἐπιδείξας ὑμᾶς οὐχὶ βουλομένους, ὑμῖν μὲν ἔχθραν τὴν πρὸς Θηβαίους μείζω, Φιλίππῳ δὲ τὴν χάριν πεποίηκε· πῶς ἂν οὖν ὑβριστικώτερον ἄνθρωπος ὑμῖν ἐχρήσατο; λέγε δὴ τὸ ψήφισμα λαβὼν τὸ τοῦ Διοφάντου, καὶ τὸ τοῦ Καλλισθένους, ἵν' εἰδῆτε ὅτι, ὅτε μὲν τὰ δέοντα ἐποιεῖτε, θυσιῶν καὶ ἐπαίνων ἠξιοῦσθε παρ' ὑμῖν αὐτοῖς, καὶ παρὰ τοῖς ἄλλοις· ἐπειδὴ δὲ ὑπὸ τούτων παρεκρούσθητε, παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατεκομίζετε, καὶ τὰ Ἡράκλεια ἐντὸς θύειν τείχους ἐψηφίζεσθε, εἰρήνης οὔσης, ὃ καὶ θαυμάζω, εἰ τὸν μηδὲ τοὺς θεοὺς καθ' ὃ πάτριον ἦν, τιμᾶσθαι ποιήσαντα, τοῦτον ἀτιμώρητον ἀφήσετε· Λέγε τὸ ψήφισμα.

Ψήφισμα. Ταῦτα μὲν τότε ἄξια, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πεπραγμένων ἐψηφίσασθε· Λέγε δὴ τὰ μετὰ ταῦτα.

Ψήφισμα. Ταῦτα τότε ἐψηφίζεσθ' ὑμεῖς διὰ τούτους, οὐκ ἐπὶ ταύταις ταῖς ἐλπίσιν οὔτε κατ' ἀρχὰς συστάμενοι τὴν εἰρήνην καὶ τὴν συμμαχίαν, οὔθ' ὕστερον ἐγγράψαι πεισθέντες αὐτὴν καὶ τοῖς ἐκγόνοις· ἀλλ' ὡς θαυμαστὰ ἡλίκα πεισόμενοι διὰ τούτους ἀγαθά· καὶ μὴν, καὶ μετὰ ταῦτα ὁσάκις πρὸς Πορθμῷ, ἢ πρὸς Μεγάροις ἀκούοντες δύναμιν Φιλίππου καὶ ξένους * ἐθορυβεῖτε, πάντες ἐπίστασθε· οὐ τοίνυν εἰ μήπω τῆς Ἀττικῆς ἐπιβαίνει, δεῖ σκοπεῖν, οὐδὲ ῥᾳθυμεῖν, ἀλλ' εἰ διὰ τούτους ἐξουσία γέγονεν αὐτῷ, τοῦθ' ὅταν βούληται ποιῆσαι τοῦθ' ὁρᾶν· καὶ πρὸς ἐκεῖνο τὸ δεινὸν βλέπειν, καὶ τὸν αἴτιον, καὶ τὸν παρασκευάσαντα τὴν ἐξουσίαν ταύτην ἐκείνῳ μισεῖν καὶ τιμωρεῖσθαι. Οἶδα τοίνυν ὅτι τοὺς μὲν ὑπὲρ τῶν κατηγορημένων * αὐτῷ λόγους Αἰσχίνης φεύξεται, βουλόμενος δ' ὑμᾶς ὡς πορρωτάτω τῶν * πραγμάτων ἀπάγειν διέξεισιν ἡλίκα πᾶσιν ἀνθρώποις ἀγαθὰ ἐκ τῆς εἰρήνης γίγνεται, καὶ τοὐναντίον ἐκ τοῦ πολέμου κακὰ καὶ ὅλως ἐγκώμια εἰρήνης ἐρεῖ, καὶ τοιαῦτα ἀπολογήσεται· ἔστι δὲ καὶ ταῦτα

πάν-

πάντα κατηγορήματα τούτου· εἰ γὰρ ἡ τοῖς ἄλλοις ἀγαθῶν αἰτία, τοσούτων πραγμάτων, καὶ τηλικαύτης ταραχῆς ἡμῖν αἰτία γέγονε, τί τις εἶναι τοῦτο φαίη; πλὴν ὅτι δῶρα λαβόντες οὗτοι καλὸν πρᾶγμα φύσει κακῶς διέθηκαν· τί δέ; αἱ τριήρεις τριακόσιαι, καὶ σκεύη ταύταις, καὶ χρήματ' ὑμῖν περίεστι, καὶ περιέσται διὰ τὴν εἰρήνην, ἴσως ἂν εἴποι· πρὸς δὴ ταῦτα ἐκεῖνο ὑμᾶς ὑπολαμβάνειν δεῖ, ὅτι καὶ τὰ φιλίππου πράγματα ἐκ τῆς εἰρήνης γέγονεν εὐπορώτερα πολλῷ, καὶ κατασκευαῖς ὅπλων, καὶ χώραις, καὶ προσόδοις, αἳ γεγόνασιν ἐκείνῳ μεγάλαι· γεγόνασι δὲ καὶ ἡμῖν τινες· ἡ δέ γε τῶν πραγμάτων κατασκευὴ καὶ τῶν συμμάχων, δι' ἣν ἢ αὐτοῖς ἢ τοῖς κρείττοσι τὰ ἀγαθὰ πάντες κέκτηνται, ἡ μὲν ἡμετέρα πραθεῖσα ὑπὸ τούτων ἀπόλωλε καὶ γέγονεν ἀσθενής· ἡ δ' ἐκείνου, φοβερὰ, καὶ μείζων πολλῷ· οὐ δὴ δίκαιον ἐκείνῳ μὲν ἀμφότερα ηὐξῆσθαι διὰ τούτους, καὶ τὰ τῶν συμμάχων, καὶ τὰ τῶν προσόδων· * ἡμῖν δὲ ἃ δικαίως ἂν ὑπῆρχεν ἐκ τῆς εἰρήνης, ταῦτα ἀνθ' ὧν ἀπέδοντο οὗτοι, λογίζεσθαι· οὐ γὰρ ταῦτ' ἀντ' ἐκείνων γέγονεν, οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ ταῦτα μὲν ἦν ἂν ὁμοίως ἡμῖν, ἐκεῖνα δὲ τούτοις ἂν προσῆν, εἰ μὴ διὰ τούτους· ὅλως δὲ, ὦ ἄνδρες ἀθηναῖοι, καὶ δίκαιον δήπου φήσαιτ' ἂν εἶναι, μήτ' εἰ πολλὰ καὶ δεινὰ τὰ συμβεβηκότα ἐστὶ τῇ πόλει, μηδενὸς δ' Αἰσχίνης αἴτιος τούτων, εἰς τοῦτον ἐλθεῖν τὴν ὀργὴν· μήτ' εἴ τι τῶν δεόντων πέπρακται δι' ἄλλον τινὰ, τοῦτο σῶσαι τουτονί· ἀλλ' ὅσων οὗτος αἴτιος σκεψάμενοι, καὶ χάριν, ἂν ταύτης ἄξιος ᾖ, καὶ τοὐναντίον ὀργὴν, ἂν τοιαῦτα φαίνηται πεποιηκὼς, ποιεῖσθε· πῶς οὖν εὑρήσετε ταῦτα δικαίως; ἐὰν μὴ πάνθ' ἅμα ἐᾶτε ταράττειν αὐτὸν, τὰ τῶν στρατηγῶν ἀδικήματα, τὸν πόλεμον τὸν πρὸς φίλιππον, τὰ τῆς εἰρήνης ἀγαθά. Ἀλλ' ἕκαστον ἐφ' ἑαυτοῦ σκοπῆτε· οἷον, ἦν ἡμῖν πόλεμος πρὸς φίλιππον, ἦν· ἐν τούτῳ ἐγκαλεῖ τις αἰσχίνῃ, βούλεταί τις τούτου κατηγορεῖν περὶ τῶν ἐν τῷ πολέμῳ πραχθέντων; οὐδὲ εἷς· οὐκοῦν περὶ τούτων γε αὐτὸν ἀφεῖτε, καὶ οὐδὲν αὐτὸν δεῖ λέγειν· περὶ γὰρ τῶν ἀμφισβητουμένων καὶ τοὺς μάρτυρας παρέχεσθαι, καὶ τὰ τεκμήρια δεῖ λέγειν τὸν φεύγοντα, οὐ τὰ ὁμολογούμενα ἀπολογούμενον ἐξαπατᾷν· ὅπως τοίνυν τὰ περὶ τοῦ πολέμου μηδὲν ἐρεῖς· οὐδεὶς

γὰρ

γὰρ οὐδὲν αἰτιᾶταί σε περὶ αὐτοῦ· μετὰ ταῦτα εἰρήνην πρὸς ἡμᾶς ἔπεισεν ποιήσασθαι, ἐπείσθημεν· πρέσβεις ἐπεμψάμεθα· ἤγαγον οὗτοι δεῦρο τοὺς ποιησομένους τὴν εἰρήνην· πάλιν ἐνταῦθα περὶ τούτου μέμφεταί τις Αἰσχίνην; φήσει τις εἰσηγήσασθαι τοῦτον εἰρήνην, ἢ ἀδικεῖν, ὅτι δεῦρ' ἤγαγε τοὺς ποιησομένους; οὐδὲ εἷς· οὔκουν οὐδ' ὑπὲρ αὐτοῦ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην, οὐδὲν αὐτῷ λεκτέον· οὐ γὰρ οὗτος αἴτιος· τί δὴ ἄνθρωπε λέγεις, εἴ τις ἔροιτό με, καὶ πόθεν ἄρχῃ κατηγορεῖν; ὅθεν, ὦ ἄνδρες Ἀθηναῖοι, βουλευομένων ὑμῶν, οὐ περὶ τοῦ εἰ ποιητέον εἰρήνην, ἢ μή· ἐδέδοκτο γὰρ ἤδη τοῦτό γε· ἀλλ' ὑπὲρ τοῦ ποίαν τινά; τοῖς γὰρ τὰ δίκαια γράφουσιν ἀντειπὼν τῷ μισθοῦ γράφοντι συνεῖπε δῶρα λαβών· καὶ μετὰ ταῦτα ἐπὶ τοὺς ὅρκους αἱρεθεὶς, ὧν μὲν ὑμεῖς προσετάξατε, οὐδοτιοῦν ἐποίησε, τοὺς δ' ἐπὶ τοῦ πολέμου διασωθέντας ἀπώλεσε τῶν συμμάχων, καὶ τηλικαῦτα ἐψεύσατο, ἡλίκα οὐδεὶς ἀνθρώπων ἄλλος πώποτε, οὔτε πρότερον, οὔθ' ὕστερον· τὸ μὲν γὰρ ἐξ ἀρχῆς ἄχρι τοῦ λόγου τυχεῖν Φίλιππον ὑπὲρ τῆς εἰρήνης, Κτησιφῶν καὶ Ἀριστόδημος τὴν ἀρχὴν τὴν πρώτην ἔφερον τοῦ φενακισμοῦ. Ἐπειδὴ δ' εἰς τὸ πράττειν ἤδη τὰ πράγματα ἧκε, Φιλοκράτει καὶ τούτῳ παρέδωκαν, δεξάμενοι δ' οὗτοι πάντ' ἀπώλεσαν· εἶτ' ἐπειδὴ δεῖ λόγον αὐτὸν καὶ δίκην ὑπέχειν τῶν πεπραγμένων, ὤν, οἶμαι, πανοῦργος οὗτος καὶ θεοῖς ἐχθρὸς καὶ γραμματεὺς, ὡς ὑπὲρ τῆς εἰρήνης ἐγκαλούμενος ἀπολογήσεται· οὐχ ἵνα πλειόνων ἢ κατηγορεῖ τις αὐτοῦ, δῷ λόγον· μανία γὰρ τοῦτό γε· ἀλλ' ὁρῶν τοῦθ', ὅτι ἐν μὲν τοῖς ὑφ' ἑαυτοῦ πεπραγμένοις, ἀγαθὸν μὲν οὐδέν ἐστιν, ἅπαντα δὲ τὰ ἐγκλήματα· ἡ δ' ὑπὲρ τῆς εἰρήνης ἀπολογία, καὶ εἰ μηδὲν ἄλλο, τοὔνομά γ' ἔχει φιλάνθρωπον, ἣν δέδοικα μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, δέδοικα, μὴ λελήθαμεν ὥσπερ οἱ δανειζόμενοι ἐπὶ πολλῷ ἄγοντες· τὸ γὰρ ἀσφαλὲς αὐτῆς, καὶ τὸ βέβαιον οὗτοι προέδοσαν, Φωκέας, καὶ Πύλας· οὐ μὴν διά γε τοῦτόν γε ἐξ ἀρχῆς ἐποιησάμεθα· ἀλλ' ἄτοπον μὲν ἐστιν ὃ μέλλω λέγειν, ἀληθὲς δὲ πάνυ· εἰ γάρ τις ὡς ἀληθῶς χαίρει τῇ εἰρήνῃ, τοῖς στρατηγοῖς ὧν κατηγοροῦσιν ἅπαντες, χάριν αὐτοῖς ἐχέτω· εἰ γὰρ ἐκεῖνοι, ὡς ὑμεῖς ἐβούλεσθε, ἐπολέμουν, οὐδ' ὄνομα εἰρήνης ἂν ὑμεῖς ἠνέσχεσθε· εἰρήνη μὲν

οὖν

μὴ δι' ἐκείνους, ἐπικίνδυνος δὲ, καὶ σφαλερὰ, καὶ ἄπιστος διὰ τούτους γέγονε δωροδοκήσαντας· ἄγετε δὴ, ἄγετε αὐτὸν τῶν ὑπὲρ τῆς εἰρήνης λόγων εἰς δὲ τοὺς ὑπὲρ τῶν πεπραγμένων ἐμβιβάζετε· οὐ γὰρ Αἰσχίνης ὑπὲρ τῆς εἰρήνης κρίνεται, οὔ, ἀλλ' ἡ εἰρήνη δι' Αἰσχίνην διαβέβληται· σημεῖον δὲ, εἰ γὰρ ἡ μὲν εἰρήνη ἐγεγόνει, μηδὲν δ' ὕστερον ἐξηπάτησθε ὑμεῖς, μηδ' ἀπολώλει τῶν συμμάχων μηδεὶς, τίνα ἀνθρώπων ἐλύπησεν ἂν ἡ εἰρήνη, ἔξω τοῦ ἀδόξως γεγενῆσθαι; καίτοι καὶ τούτου συναίτιος οὗτος, συνειπὼν Φιλοκράτει, ἀλλὰ ἀνήκεστόν γε οὐδὲν ἂν ἦν γεγονός· νῦν δ', οἶμαι, πολλῶν ἄλλων ἐστὶ κακῶν αἴτιος οὗτος· ὅτι μὲν πάνυ αἰσχρῶς καὶ κακῶς πάντα ταῦτα ὑπὸ τούτων ἀπόλωλε καὶ διέφθαρται, οἶμαι πάντας ὑμᾶς εἰδέναι. Ἐγὼ δὲ, ὦ ἄνδρες δικασταὶ, τοσοῦτον ἀπέχω τοῦ συκοφαντίαν τινὰ τοῖς πράγμασι τούτοις προσάγειν, ἢ ὑμᾶς ἀξιοῦν, ὥστε εἰ ταῦθ' ὑπ' ἀβελτερίας, ἢ δι' εὐήθειαν, ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν οὕτω πέπρακται, αὐτός τε ἀφίημι Αἰσχίνην, καὶ ὑμῖν ἀφεῖναι συμβουλεύω· καίτοι τῶν σκήψεων τούτων οὐδεμία ἐστὶ πολιτικὴ, οὐδὲ δικαία· οὐδένα γὰρ τὰ κοινὰ πράττειν ὑμεῖς κελεύετε, οὐδ' ἀναγκάζετε· ἀλλ' ἐπειδάν τις ἑαυτὸν πείσας δύνασθαι προσέλθῃ, πρᾶγμα ποιοῦντες ἀνθρώπων χρηστῶν καὶ φιλανθρώπων εὐνοϊκῶς δέχεσθε καὶ οὐ φθονερῶς, ἀλλὰ καὶ χειροτονεῖτε, καὶ τὰ ὑμέτερα αὐτῷ ἐγχειρίζετε· ἐὰν μὲν οὖν κατορθοῖ τις, τιμηθήσεται, καὶ πλεονεκτήσει τῶν πολλῶν κατὰ τοῦτο· ἐὰν δ' ἀποτυγχάνῃ, σκήψεις καὶ προφάσεις ἐρεῖ; ἀλλ' οὐ δίκαιον· οὐ γὰρ ἂν ἐξαρκέσειε τοῖς ἀπολωλόσι συμμάχοις, οὐδὲ τοῖς παισὶν αὐτῶν, οὐδὲ ταῖς γυναιξὶν, οὐδὲ τοῖς ἄλλοις διὰ τὴν ἀβελτερίαν τὴν ἐμὴν, ἵνα μὴ τὴν τούτου λέγω, τοιαῦτα πεπονθέναι· πολλοῦ γε καὶ δεῖ· ἀλλ' ὅμως ὑμεῖς ἄφετε Αἰσχίνῃ τὰ δεινὰ ταῦτα καὶ ὑπερβάλλοντα, ἂν δι' εὐήθειαν, ἢ δι' ἄλλην ἄγνοιαν ἡντινοῦν λελυμασμένος φανῇ· ἂν μέντοι διὰ πονηρίαν ἀργύριον λαβὼν καὶ δῶρα, καὶ τοῦτ' ἐξελεγχθῇ σαφῶς ὑπ' αὐτῶν τῶν πεπραγμένων, μάλιστα μὲν εἰ οἷόν τε ἀποκτείνατε· εἰ δὲ μὴ, ζῶντα τοῖς * λοιποῖς παράδειγμα ποιήσατε. σκοπεῖτε δὴ τὸν ἔλεγχον τὸν ὑπὲρ τούτων, ὡς δίκαιος ἔσται μεθ' ὑμῶν· ἀνάγκη δήπου τοὺς λόγους τούτους Αἰσχίνην τουτονὶ πρὸς ὑμᾶς εἰπεῖν τοὺς περὶ τῶν

φω-

Φωκέων, καὶ τῶν Θεσπιέων, καὶ τῆς Εὐβοίας, εἴπερ μὴ πεπρακὼς αὐτὸν ἑκὼν * ἐξηπάτα, δυοῖν θάτερον· ἢ διαῤῥήδην ἀκούσαντα ὑποσχομένου Φιλίππου, ὅτι πράξει ταῦτα καὶ ποιήσει, ἢ εἰ μὴ τοῦτο, γοητευθέντα, καὶ φενακισθέντα τῇ περὶ τὰ ἄλλα φιλανθρωπίᾳ, καὶ ταῦτ' ἐλπίσαντα παρ' αὐτοῦ· οὐκ ἔνεστι τούτων οὐδὲ ἓν χωρίς· ἐκ τοίνυν τούτων ἀμφοτέρων, μάλιστα πάντων ἀνθρώπων μισεῖν αὐτῷ προσήκει Φίλιππον· διὰ τί; ὅτι τὸ μὲν ἐκείνου μέρος, πάντ' αὐτῷ γέγονε τὰ δεινότατα καὶ τὰ αἴσχιστα· ὑμᾶς ἐξηπάτηκεν, ἀδοξεῖ, δικαίως ἀπολωλέναι κέκριται· καὶ εἴ γέ τι τῶν προσηκόντων ἐγίγνετο, ἐν εἰσαγγελίᾳ πάλαι ἂν ἦν· νῦν δὲ διὰ τὴν ὑμετέραν πρᾳότητα καὶ εὐήθειαν, εὐθύνας δίδωσι, καὶ ταύτας ὁπηνίκα βούλεται· ἔστιν οὖν ὅστις ὑμῶν φωνὴν ἀκήκοεν Αἰσχίνου κατηγοροῦντος Φιλίππου; τίς δ' ἐξελέγχοντα, ἢ λέγοντά τι τοῦτον ἑώρακεν; οὐδείς· ἀλλ' ἅπαντες Ἀθηναῖοι πρότερον κατηγοροῦσι Φιλίππου, καὶ ὁ τυχὼν ἀεί, ὧν οὐδεὶς οὐδὲν ἰδίᾳ ἠδίκηται ἴσως· ἐγὼ δὲ ἐκείνους τοὺς λόγους ἐζήτουν παρὰ τούτου, εἴπερ μὴ πεπρακὼς ἑαυτὸν ἦν, ἄνδρες Ἀθηναῖοι, ἐμοὶ μὲν χρήσασθε ὅ, τι βούλεσθε· ἐπίστευσα, ἐξηπατήθην, ἥμαρτον, ὁμολογῶ, τὸν δ' ἄνθρωπον, ὦ ἄνδρες Ἀθηναῖοι, φυλάττεσθε· ἄπιστος, γόης, πονηρός· οὐχ ὁρᾶτε οἷα πεποίηκεν ἐμέ; οἷα ἐξηπάτηκε; τούτων οὐδενὸς ἀκούω τῶν λόγων, οὐδ' ὑμεῖς· διὰ τί; ὅτι, οὐ παρακρουσθείς, οὐδ' ἐξαπατηθείς, ἀλλὰ μισθώσας ἑαυτόν, καὶ λαβὼν ἀργύριον, ταῦτ' εἶπε, καὶ προὔδωκεν ἐκείνῳ, καὶ γέγονε καλὸς κἀγαθός, καὶ δίκαιος μισθωτὸς ἐκείνῳ, πρεσβευτὴς μέντοι καὶ πολίτης ὑμῖν προδότης, καὶ τρὶς οὐχ ἅπαξ ἀπολωλέναι δίκαιος. Οὐ τοίνυν ἐκ τούτων μόνων δῆλός ἐσθ', ὅτι χρημάτων ἅπαντα εἶπεν * ἐκεῖνα, ἀλλ' ἧκον ὡς ὑμᾶς ἔναγχος Θετταλοί, καὶ Φιλίππου πρέσβεις μετ' αὐτῶν, ἀξιοῦντες ὑμᾶς Φίλιππον Ἀμφικτύονα εἶναι ψηφίσασθαι· τῷ προσῆκεν ἂν ἀντειπεῖν τούτοις μάλιστα πάντων ἀνθρώπων; Αἰσχίνῃ τούτῳ· διὰ τί; ὅτι οἷς οὗτος ἀπήγγειλε πρὸς ὑμᾶς, τούτοις τἀναντία ἐποίησεν ἐκεῖνος· οὗτος μὲν γὰρ ἔφη Θεσπιάς, καὶ Πλαταιὰς αὐτὸν τειχιεῖν, καὶ τοὺς μὲν Φωκέας οὐκ ἀπολεῖν, τὴν δὲ Θηβαίων ὕβριν ὑμῖν καταλύσειν· ὁ δέ, τοὺς μὲν Θηβαίους μείζους, ἢ προσῆκε, πεποίηκε· τοὺς δὲ Φω-

κέας, ἄρδην ἀπολώλεκε, καὶ τὰς μὲν Θεσπιὰς καὶ Πλαταιὰς οὐ τετείχικε, τὸν δὲ Ὀρχομενὸν καὶ τὴν Κορώνειαν προσεξηνδραποδίσαι· πῶς ἂν ἐναντιώτερα πεπραγμένα ἑαυτοῖς τούτων γένοιτο; οὐ τοίνυν ἀντεῖπεν, οὐδ' ἦρε τὸ στόμα, οὐδ' ἐφθέγξατο ἐναντίον οὐδέν. καὶ οὔπω τοῦτό πω δεινόν, τηλικοῦτον ὄν· ἀλλὰ καὶ συνεῖπε μόνος τῶν ἐν τῇ πόλει πάντων ἀνθρώπων· καί τοι τοῦτό γε οὐδὲ Φιλοκράτης ἐτόλμησε ποιῆσαι ὁ μιαρός, ἀλλ' Αἰσχίνης οὑτοσί· καὶ θορυβούντων ὑμῶν, καὶ οὐκ ἐθελόντων ἀκούειν αὐτοῦ, καταβαίνων ἀπὸ τοῦ βήματος, ἐνδεικνύμενος τοῖς πρέσβεσι τοῖς παρὰ Φιλίππου παροῦσι, πολλοὺς ἔφη τοὺς θορυβοῦντας εἶναι, ὀλίγους δὲ τοὺς στρατευομένους ὅταν δέῃ· μέμνησθε γὰρ δήπου, αὐτὸς ὤν, οἶμαι, θαυμάσιος στρατιώτης ὦ Ζεῦ. Ἔτι τοίνυν εἰ μὲν μηδένα ἔχοντα μηδὲν εἴχομεν δεῖξαι τῶν πρέσβεων, μηδ' ἦν ὥστε ἰδεῖν ἅπαντας βασάνους καὶ τοιαῦτα, ὑπόλοιπον ἂν ἦν σκοπεῖν· εἰ δὲ Φιλοκράτης μὴ μόνον ὡμολόγει παρ' ὑμῖν ἐν τῷ δήμῳ πολλάκις, ἀλλὰ καὶ ἐδείκνυεν ὑμῖν, πυροπωλῶν, οἰκοδομῶν, βαδιεῖσθαι φάσκων, κἂν μὴ χειροτονῆτε ὑμεῖς, ξυληγῶν, τὸ χρυσίον καταλλαττόμενος φανερῶς ἐπὶ ταῖς τραπέζαις. οὐκ ἔνι δήπου τοῦτον εἰπεῖν ὡς οὐκ εἴληφε, τὸν αὐτὸν ὁμολογοῦντα καὶ δεικνύντα· ἔστιν οὖν οὕτω τις ἀνθρώπων ἀνόητος ἢ κακοδαίμων, * ὥσθ' ἵνα λαμβάνῃ μὲν Φιλοκράτης, ἀδοξῇ δὲ αὐτὸς καὶ κινδυνεύῃ, ἐξὸν αὐτῷ μετὰ τῶν μηδὲν ἠδικηκότων ἐξετάζεσθαι, τούτοις μὲν πολεμεῖν, πρὸς δ' ἐκεῖνον ἐλθὼν κρίνεσθαι βούλεται; ἐγὼ μέν, οὐδένα οἶμαι· ἀλλὰ πάντα ταῦτα, ἐὰν ὀρθῶς σκοπῆτε, εὑρήσετε μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐναργῆ σημεῖα, τοῦ χρήματα τοῦτον ἔχειν. Ὃ τοίνυν ὕστατον μὲν γέγονεν, οὐδενὸς δ' ἐστὶν ἔλαττον σημεῖον τοῦ πεπρακέναι τοῦτον ἑαυτὸν Φιλίππῳ, θεάσασθε· ἴστε δήπου πρώην ὅτε εἰσήγγελλεν Ὑπερείδης Φιλοκράτην, ὅτι παρελθὼν ἐγώ, δυσχεραίνειν ἔφην ἕν τι τῆς εἰσαγγελίας, εἰ μόνος Φιλοκράτης τοσούτων καὶ τηλικούτων ἀδικημάτων αἴτιος γέγονεν· οἱ δ' ἐννέα τῶν πρέσβεων μηδενός· καὶ οὐκ ἔφην τοῦθ' οὕτως ἔχειν, οὐδαμοῦ γὰρ ἂν φανῆναι καθ' ἑαυτὸν ἐκεῖνον, εἰ μὴ τοὺς συναγωνιζομένους τούτων τινὰς εἶχεν· ἵν' οὖν μήτε ἀφῶ, μήτ' αἰτιάσωμαι μηδένα, ἔφην ἐγώ, ἀλλὰ τὸ πρᾶγμα αὐτὸ τοὺς μὲν αἰτίους εὕρῃ, τοὺς δὲ μὴ

με-

μετεσχηκότας ἀφῇ, ἀναστὰς ὁ βουλόμενος καὶ παρελθὼν εἰς ὑμᾶς ἀποφηνάσθω μὴ μετέχειν, μηδ' ἀρέσκειν αὐτῷ τὰ ὑπὸ Φιλοκράτους πεπραγμένα· καὶ τὸν τοῦτο ποιήσαντα ἀφίημι ἔγωγε ἔφη· ταῦτα καὶ μνημονεύετε, ὡς ἐγὼ οἶμαι· οὐ τοίνυν παρῆλθεν οὐδεὶς, οὐδ' ἔδειξεν ἑαυτόν· καὶ τῶν μὲν ἄλλων, ἔστιν ἑκάστῳ τις πρόφασις· ὁ μὲν, οὐχ ὑπεύθυνος ἦν· οὐδ' οὐχὶ παρῆν ἴσως, τῷ δὲ, κηδεστὴς ἦν ἐκεῖ· τούτῳ δ' οὐδὲν τούτων, ἀλλ' οὕτω καθάπαξ πέπρακεν ἑαυτὸν, καὶ οὐκ ἐπὶ τοῖς παρεληλυθόσι μεμισθάρνηκε μόνον, ἀλλὰ καὶ μετὰ ταῦτα δῆλός ἐστιν, ἐάν περ ἐκφύγῃ νῦν, καθ' ὑμῶν ὑπάρξων ἐκείνῳ· ὥστε ἵνα μηδὲν ἐναντίον μηδὲ ῥῆμα προῆται Φιλίππῳ, οὐδ' ἀφιέντων ἀφίησιν, ἀλλ' ἀδοξεῖν, κρίνεσθαι, πάσχειν ὁτιοῦν αἱρεῖται παρ' ὑμῖν μᾶλλον, ἢ Φιλίππῳ τι ποιῆσαι μὴ πρὸς ἡδονήν· καίτοι, τίς ἡ κοινωνία; τίς ἡ πολλὴ πρόνοια ὑπὲρ Φιλοκράτους αὕτη; ὃν εἰ τὰ κάλλιστα, καὶ πάντα τὰ συμφέροντα ἐπεπρεσβεύκει, χρήματα δ' ὡμολόγει λαβεῖν ἐκ τῆς πρεσβείας, ὥσπερ ὡμολόγει, τοῦτό γε αὐτὸ φυγεῖν καὶ διευλαβηθῆναι τῷ προῖκα πρεσβεύοντι προσῆκε, καὶ διαμαρτύρεσθαι τὸ καθ' αὑτόν. οὐ τοίνυν πεποίηκε τοῦτ' Αἰσχίνης· ταῦτ' οὐ φανερὰ, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ' οὐχὶ βοᾷ καὶ λέγει, ὅτι χρήματα εἴληφεν Αἰσχίνης, καὶ πονηρός ἐστιν ἀργυρίῳ συνεχῶς, οὐ δι' ἀβελτηρίαν, οὐδὲ δι' ἄγνοιαν, οὐδ' ἀποτυγχάνων; καὶ τίς μου καταμαρτυρεῖ φησι, δῶρα λαβεῖν; τοῦτο γάρ ἐστι τὸ λαμπρόν· τὰ πράγματ' Αἰσχίνη, ἅπερ πιστότατ' ἐστὶν ἁπάντων· καὶ οὐκ ἔνεστιν εἰπεῖν οὐδ' αἰτιάσασθαι, ὡς ἢ πεπεισμένα, ἢ χαριζόμενα τῳ ἐστὶ τοιαῦτα· ἀλλ' οἷά περ αὐτὰ προδοὺς καὶ διαφθείρας σὺ πεποίηκας, τοιαῦτα ἐξεταζόμενα φαίνεται· πρὸς δὲ τοῖς πράγμασιν, αὐτὸς αὐτίκα δὴ σὺ σαυτοῦ καταμαρτυρήσεις· ἀπόκριναι γὰρ δεῦρο ἀναστάς μοι· οὐ γὰρ δὴ δι' ἀπειρίαν γε, οὐ φήσεις ἔχειν ὅ, τι εἴποις· ὃς γὰρ ἀγῶνας καινοὺς ὥσπερ δράματα, καὶ τούτους ἀμαρτύρους πρὸς διαμεμετρημένην τὴν ἡμέραν αἱρεῖς διώκων, δῆλον ὅτι πάνδεινός τις. Πολλῶν τοίνυν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων Αἰσχίνῃ τούτῳ καὶ πολλὴν κακίαν ἐχόντων, ὡς καὶ ὑμῖν οἶμαι δοκεῖν, οὐδέν ἐστιν ὃ μέλλω λέγειν, ὡς ἐγὼ κρίνω, δεινότερον, οὐδ' ὅτι μᾶλλον δεδωροδοκηκότ' αὐτὸν ἐπ' αὐτοφώρῳ, καὶ πεπρακότα πάντ' ἐξελέγξει·

ἐπειδὴ γὰρ ἀπεστείλατ' αὖθις αὖ τὸ τρίτον τοὺς πρέσβεις ὡς τὸν Φίλιππον, ἐπὶ ταῖς καλαῖς καὶ μεγάλαις ἐλπίσι ταύταις, αἷς οὗτος ὑπισχνεῖτο, ἐχειροτονήσατε καὶ τοῦτον, καὶ ἐμὲ, καὶ τῶν ἄλλων τοὺς πλείστους τοὺς αὐτούς· ἐγὼ μὲν δὴ παρελθὼν ἐξωμοσάμην εὐθέως, καὶ θορυβούντων τινῶν, καὶ κελευόντων βαδίζειν, οὐκ ἂν ἔφην ἀπελθεῖν· οὗτος δ' ἐκεχειροτόνητο· ἐπειδὴ δὲ ἀνέστη μετὰ ταῦτα ἡ ἐκκλησία, συνελθόντες ἐβουλεύοντο οὗτοι, τίνα αὐτοῦ καταλείψουσιν· ἔτι γὰρ τῶν πραγμάτων ὄντων μετεώρων καὶ τοῦ μέλλοντος ἀδήλου, σύλλογοι καὶ λόγοι παντοδαποὶ κατὰ τὴν ἀγορὰν ἐγίγνοντο τότε· ἐφοβοῦντο δὴ, μὴ σύγκλητος ἐκκλησία γένοιτο ἐξαίφνης· εἶτα ἀκούσαντες ὑμεῖς ἐμοῦ τἀληθῆ, ψηφίσαισθέ τι τῶν δεόντων ὑπὲρ τῶν Φωκέων, καὶ τὰ πράγματα ἐκφύγοι τὸν Φίλιππον· εἰ γὰρ ἐψηφίσασθε μόνον, καὶ μικρὰν ὑπεδείξατε ἐλπίδα ἡντινοῦν αὐτοῖς, ἐσώθησαν ἄν· οὐ γὰρ ἐνῆν οὐκ ἐνῆν μὴ παρακρουσθέντων ὑμῶν ἔτι μεῖναι Φιλίππῳ· οὔτε γὰρ σῖτος ἐνῆν ἐν τῇ χώρᾳ ἀσπόρῳ διὰ τὸν πόλεμον γεγονυίᾳ, οὔθ' ἡ σιτοπομπεία δυνατὴ, τριήρων οὐσῶν ὑμετέρων ἐκεῖ, καὶ τῆς θαλάττης κρατουσῶν· αἵ τε πόλεις πολλαὶ καὶ χαλεπαὶ λαβεῖν αἱ τῶν Φωκέων, μὴ οὐ χρόνῳ καὶ πολιορκίᾳ· εἰ γὰρ ἐν ἡμέρᾳ πόλιν ᾕρει, δύο καὶ εἴκοσίν εἰσιν ἀριθμῷ· διὰ δὴ ταῦτα πάντα, ἵνα μηδὲν μετάθησθε ὧν ἐξηπάτησθε, τοῦτον αὐτοῦ κατέλιπον· ἐξομόσασθαι μὲν δὴ μὴ μετ' αἰτίας τινὸς, δεινὸν ἦν, καὶ ὑποψία μεγάλη· τί λέγεις; ἐπὶ τοσαῦτα καὶ τηλικαῦτα ἀγαθὰ, οὐχὶ βαδίζεις ἀπαγγείλας, οὐδὲ πρεσβεύεις; ἔδει δὲ μένειν· πῶς οὖν; ἀρρωστεῖν προφασίζεται· καὶ λαβὼν Ἐξήκεστον τὸν ἰατρὸν ἀδελφὸς αὐτοῦ, καὶ προσελθὼν τῇ βουλῇ, ἐξωμόσατο ἀρρωστεῖν τουτονὶ, καὶ αὐτὸς ἐχειροτονήθη· ἐπειδὴ δὲ ἀπολώλεσαν οἱ Φωκεῖς ὕστερον ἡμέραις πέντε ἢ ἕξ, καὶ τέλος εἶχε τὸ μίσθωμα, ὥσπερ ἂν ἄλλο τι τούτῳ, καὶ ὁ Δερκύλλος ἐκ τῆς Χαλκίδος ἧκεν ἀναστρέψας, καὶ ἀπήγγειλεν ὑμῖν ἐκκλησιάζουσιν ἐν Πειραιεῖ, ὅτι Φωκεῖς ἀπολώλασι· καὶ ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτα ἀκούσαντες εἰκότως καὶ ἐκείνοις συνήχθεσθε, καὶ αὐτοὶ ἐξεπέπληχθε, καὶ παῖδας καὶ γυναῖκας ἐκ τῶν ἀγρῶν κατακομίζειν ἐψηφίζεσθε, καὶ τὰ φρούρια ἐπισκευάζειν, καὶ τὸν Πειραιᾶ ἐπιτειχίζειν,

ζειν, καὶ τὰ Ἡράκλεια ἐν ἄστει θύειν· ἐπειδὴ ταῦτ' ἦν, καὶ τοσαύτη ταραχὴ καὶ τοσοῦτος θόρυβος περιεστήκει τὴν πόλιν, τηνικαῦτα ὁ δεινὸς, καὶ σοφὸς οὗτος, καὶ εὔφωνος, οὔτε βουλῆς οὔτε δήμου χειροτονήσαντος αὐτὸν ᾤχετο πρεσβεύων ὡς τὸν ταῦτα πεποιηκότα, οὔτε τὴν ἀρρωστίαν, ἐφ' ᾗ τότε ἐξωμόσατο, ὑπολογισάμενος, οὔθ' ὅτι πρεσβευτὴς ἄλλος ᾕρητο ἀντ' αὐτοῦ, οὔθ' ὅτι τῶν τοιούτων ὁ νόμος θάνατον τὴν ζημίαν εἶναι κελεύει, οὔθ' ὅτι πάνδεινόν ἐστιν ἀπηγγελκότα ὡς ἐπικεκήρυκται χρήματα αὐτῷ ἐν Θήβαις, ἐπειδὴ Θηβαῖοι πρὸς τῷ τὴν Βοιωτίαν ἅπασαν ἔχειν, καὶ τῆς Φωκέων χώρας ἐγκρατεῖς γεγόνασι, τηνικαῦτα εἰς μέσας τὰς Θήβας, καὶ τὸ τῶν Θηβαίων στρατόπεδον βαδίζειν· Ἀλλ' οὕτως ἔκφρων ἦν, καὶ ὅλως πρὸς τῷ λήμματι καὶ τῷ δωροδοκήματι, ὥστε πάντα τὰ ἄλλα ἀνελὼν καὶ παριδὼν ᾤχετο, καὶ τοιούτου τοῦ πράγματος ὄντος, ἔτι πολλῷ δεινότερά ἐστιν ἃ ἐκεῖσε ἐλθὼν διεπράξατο· ἁπάντων γὰρ ὑμῶν τουτωνὶ, καὶ τῶν ἄλλων Ἀθηναίων οὕτω δεινὰ καὶ σχέτλια ἡγουμένων τοὺς ταλαιπώρους πάσχειν Φωκέας, ὥστε μήτε τοὺς ἐκ τῆς βουλῆς θεωροὺς, μήτε τοὺς θεσμοθέτας εἰς τὰ Πύθια πέμψαι, ἀλλ' ἀποστῆναι τῆς πατρίου θεωρίας, οὗτος εἰς τὰ ἐπινίκια τῶν πραγμάτων καὶ τοῦ πολέμου, ἃ Θηβαῖοι καὶ Φίλιππος ἔθυον, εἱστιᾶτο ἐλθὼν, καὶ σπονδῶν μετεῖχε καὶ εὐχῶν, ἃς ἐπὶ τοῖς τῶν συμμάχων τῶν ὑμετέρων τείχεσι, καὶ χώραις, καὶ ὅπλοις ἀπολωλόσιν, ηὔχετο ἐκεῖνος, καὶ συνεστεφανοῦτο, καὶ συνεπαιώνιζε Φιλίππῳ, καὶ φιλοτησίας * προὔπινε· καὶ ταῦτ' οὐκ ἔνεστιν ἐμοὶ οὕτω, τούτῳ δ' ἄλλως πως εἰπεῖν, ἀλλ' ὑπὲρ μὲν τῆς ἐξωμοσίας, ἐν τοῖς κοινοῖς τοῖς ὑμετέροις γράμμασιν ἐν τῷ Μητρῴῳ, ταῦτ' ἐστίν, ἐφ' οἷς ὁ δημόσιος τέτακται· καὶ ψήφισμα ἄντικρυς περὶ τούτου τοῦ ὀνόματος γέγραπται· ὑπὲρ δὲ ὧν ἐκεῖ διεπράξατο, οἱ συμπρεσβεύοντες καὶ παρόντες καταμαρτυρήσουσι, οἵπερ ἐμοὶ ταῦτα διηγοῦντο· οὐ γὰρ ἔγωγε αὐτοῖς συνεπρέσβευον, ἀλλ' ἐξωμοσάμην· καί μοι λέγε τὸ ψήφισμα, καὶ τὰ γράμματα, καὶ τοὺς μάρτυρας κάλει·

Ψήφισμα, Γράμματα, Μάρτυρες·

Τίνας οὖν εὐχὰς ὑπολαμβάνετε εὔχεσθαι τοῖς θεοῖς

τὸν Φίλιππον, ὅτ' ἔσπενδεν, ἢ τοὺς Θηβαίους; ἆρ' οὖν κρατοῦντα πολέμου, καὶ νίκην αὐτοῖς καὶ τοῖς συμμάχοις διδόναι, καὶ τἀναντία τούτων τοῖς τῶν Φωκέων; οὐκοῦν ταῦτα συνηύχετο οὗτος, καὶ κατηρᾶτο τῇ πατρίδι· ἃ νῦν εἰς κεφαλὴν ὑμᾶς αὐτῷ δεῖ τρέψαι· ἐκεῖν' ηὔχετο μὲν παρὰ τὸν νόμον, ὃς θάνατον κελεύει τούτων τὴν ζημίαν εἶναι· ἐλθὼν δὲ ἐκεῖσε, ἑτέρων θανάτων ἄξια ποιῶν πέφανται. τὰ δ' ἔμπροσθεν πεπραγμένα, καὶ πεπρεσβευμένα ὑπὲρ τούτων ἀποκτείνειεν ἂν αὐτὸν δικαίως. σκοπεῖτε τοίνυν τί τίμημα ἔσται, ὃ ταύτην ἕξει τὴν ἀξίαν, ὥστε τοσούτων ἀδικημάτων ἀξιόχρεων φαίνεσθαι· πῶς γὰρ οὐκ αἰσχρόν, ὦ ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἅπαντας ὑμᾶς καὶ ὅλον τὸν δῆμον ἅπασι τοῖς πεπραγμένοις ἐκ τῆς εἰρήνης ἐπιτιμᾶν, καὶ μήτε τῶν ἐν Ἀμφικτυόσι κοινωνεῖν ἐθέλειν, δυσκόλως τε ἔχειν καὶ ὑπόπτως πρὸς τὸν Φίλιππον, ὡς ἀσεβῶν καὶ δεινῶν ὄντων τῶν πεπραγμένων, καὶ οὔτε δικαίων, οὔθ' ὑμῖν συμφερόντων· εἰς δὲ τὸ δικαστήριον εἰσελθόντας τὰς ὑπὲρ τούτων εὐθύνας δικάσοντας, καὶ τὸν ὅρκον τὸν ὑπὲρ τῆς πόλεως ὀμωμοκότας, τῶν ἁπάντων τῶν κακῶν αἴτιον, καὶ ὃν εἰλήφατε ἐπ' αὐτοφώρῳ τοιαῦτα πεποιηκότα, τοῦτον ἀφεῖναι; καὶ τίς οὐ δικαίως ὑμῖν ἐγκαλέσει τῶν ἄλλων πολιτῶν, μᾶλλον δὲ ἁπάντων τῶν Ἑλλήνων; ὁρῶν Φιλίππῳ μὲν ὑμᾶς ὀργιζομένους, ὃς ἐκ πολέμου μὲν ποιούμενος τὴν εἰρήνην παρὰ τῶν πωλούντων τὰς πράξεις ἐωνεῖτο, πρᾶγμα πολλὴν συγγνώμην ἔχον διαπραττόμενος, τουτονὶ δὲ ἀφιέντας, ὃς τὰ ὑμέτερα οὕτως αἰσχρῶς ἀπέδοτο, τῶν νόμων τὰ ἔσχατα ταττόντων ἐπιτίμια, ἐάν τις ταῦτα ποιῇ; Τάχα τοίνυν ἴσως καὶ τοιοῦτος ἥξει τις λόγος παρὰ τούτων, ὡς ἀρχὴ γενήσεται τῆς πρὸς Φίλιππον ἔχθρας, εἰ τῶν πρεσβευσάντων τὴν εἰρήνην καταψηφιεῖσθε· ἐγὼ δ', εἰ τοῦτ' ἐστὶν ἀληθές, οὐκ ἔχω σκοπούμενος εὑρεῖν, ὅ, τι τούτου μεῖζον κατηγορήσω· εἰ γὰρ ὁ τῆς εἰρήνης χρήματα ἀναλώσας ὥστε τυχεῖν, οὗτος οὕτω νῦν γέγονε φοβερὸς καὶ μέγας, ὥστε τῶν ὅρκων καὶ τῶν δικαίων ἀμελήσαντας ὑμᾶς, ἤδη τί Φιλίππῳ χαριεῖσθε σκοπεῖν, τί παθόντες ἂν οἱ τούτων αἴτιοι τὴν προσήκουσαν δίκην δεδωκότες εἶεν; οὐ μὴν, ἀλλ' ὅτι καὶ φιλίας ἀρχὴ συμφερούσης ὑμῖν μᾶλλον ἐκ τῶν εἰκότων γενήσεται, καὶ τοῦτ' οἶμαι δείξειν· εὖ γὰρ εἰδέναι χρὴ

τοῦθ' ὅτι οὐ καταφρονεῖ Φίλιππος, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς πόλεως τῆς ὑμετέρας, οὐδ' ἀχρηστοτέρους νομίσας ὑμᾶς Θηβαίων, ἐκείνους εἵλετ' ἀνθ' ὑμῶν, ἀλλ' ὑπὸ τούτων ἐδιδάχθη· καὶ ταῦτ' ἤκουσεν, ἅπερ καὶ πρότερόν ποτ' εἶπον ἐγὼ πρὸς ὑμᾶς ἐν τῷ δήμῳ, καὶ τούτων οὐδεὶς ἀντεῖπεν· ὡς ὁ μὲν δῆμός ἐστιν ὄχλος ἀσταθμητότατον πρᾶγμα τῶν ἁπάντων, καὶ * ἀσυνετώτατον, ὥσπερ ἐν θαλάττῃ κῦμα ἀκατάστατον, ὡς ἂν τύχῃ κινούμενον, ὁ μὲν ἦλθεν, ὁ δ' ἀπῆλθε, μέλει δ' οὐδενὶ τῶν κοινῶν· ἀλλ' οὐδὲ μέμνηται· δεῖ δέ τινας φίλους ὑπάρχειν τοὺς ἕκαστα πράξοντας ἐν ὑμῖν * αὐτῷ, καὶ διοικήσοντας * οἷον ἂν αὐτῷ δοκῇ· κἂν περ αὐτῷ τοῦτο κατασκευασθῇ, πᾶν ὅ τι ἂν βούληται παρ' ὑμῖν, ῥᾳδίως διαπράξεται· εἰ μὲν οὖν ἤκουσεν, οἶμαι, τοὺς τότε ταῦτα πρὸς αὐτὸν εἰπόντας παραχρῆμα ὡς δεῦρ' ἐπανῆλθον, ἀποτετυμπανισμένους, ἐποίησεν ἂν ταυτὸ τῷ βασιλεῖ· τί δ' ἦν, ὃ ἐκεῖνος ἐποίησεν; ἐξαπατηθεὶς ὑπὸ Τιμαγόρου, καὶ τετταράκοντα τάλαντα, ὡς λέγεται, δεδωκὼς αὐτῷ, ἐπειδὴ παρ' ὑμῖν ἐπύθετο αὐτὸν τεθνεῶτα, καὶ οὐδὲ τὸ ζῆν ὄντα κύριον ἑαυτῷ βεβαιῶσαι, μήτιγ' ἃ ἐκείνῳ τότε ὑπέσχετο πρᾶξαι, ἔγνω τὴν τιμὴν οὐχὶ τῷ κυρίῳ τῶν πραγμάτων δεδωκώς· καὶ γάρ τοι πρῶτον μὲν Ἀμφίπολιν πόλιν ἡμετέραν δούλην κατέστησεν, ἣν τότε σύμμαχον αὐτοῦ καὶ φίλην ἔγραψεν· εἶτ' οὐδενὶ πώποτε ἔδωκε χρήματα τὸ λοιπόν· ταυτὸ τοίνυν τοῦτ' ἂν ἐποίησε Φίλιππος, εἴ τινα τούτων εἶδε δίκην διδόντα· καὶ νῦν, ἂν ἴδῃ, ποιήσει· ἐπειδὰν δὲ ἀκούῃ λέγοντας, εὐδοκιμοῦντας ἐν ὑμῖν, ἑτέρους κρίνοντας. τί καὶ ποιῆσαι ζητοίη; πολλὰ ἀναλίσκειν, ἐξὸν ἐλάττω; καὶ πάντας θεραπεύειν βουλήσεται, δύο ἢ τρεῖς ἐξόν; μαίνοιτο μέντ' ἄν· οὐδὲ γὰρ τὴν τῶν Θηβαίων πόλιν εἵλετο δημοσίᾳ ποιεῖν ὁ Φίλιππος εὖ· πολλοῦ γε καὶ δεῖ, ἀλλ' ὑπὸ τῶν πρέσβεων ἐπείσθη, ὃν δὲ τρόπον, φράσω πρὸς ὑμᾶς ἐγώ. Ἦλθον πρὸς αὐτὸν πρέσβεις ἐκ Θηβῶν, ὅτε περ καὶ παρ' ὑμῶν ἡμεῖς ἦμεν ἐκεῖ· τούτοις χρήματα ἐκεῖνος ἠβούλετο δοῦναι, καὶ πάνυ γε, ὡς ἔφασαν, πολλά· οὐκ ἐδέξαντο, οὐδ' ἔλαβον ταῦτα οἱ τῶν Θηβαίων πρέσβεις· μετὰ ταῦτα ἐν θυσίᾳ τινὶ καὶ δείπνῳ πίνων καὶ φιλανθρωπευόμενος πρὸς αὐτοὺς ὁ Φίλιππος, ἄλλα τε δὴ πολλά, οἷον αἰχμάλωτα καὶ τὰ τοιαῦ-

τοιαῦτα, καὶ τελευτῶν ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ * προὔτεινεν αὐτοῖς· ταῦτα πάντα ἐκεῖνοι διεωθοῦντο, καὶ οὐδαμῇ προΐεντο ἑαυτούς· τελευτῶν δὲ, Φίλων εἷς τῶν πρέσβεων εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγον, ὃν οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ ὑμῶν ἄξιον εἰρῆσθαι· ἔφη γὰρ τὸν Φίλιππον ὁρῶν μεγαλοψύχως καὶ φιλανθρώπως ἔχοντα πρὸς αὐτοὺς ἥδεσθαι καὶ χαίρειν· αὐτοὶ μὲν οὖν ὑπάρχειν αὐτῷ φίλοι καὶ ξένοι καὶ ἄνευ τῶν δώρων τούτων· εἰς δὲ τὰ τῆς πόλεως πράγματα, ἐν οἷς ἦν τότε, τὴν φιλανθρωπίαν αὐτὸν ἠξίουν ταύτην προσθέντα ἄξιόν τι καὶ αὑτοῦ καὶ τῶν Θηβαίων πρᾶξαι· καὶ ὅλην δὲ τὴν πόλιν οὕτω καὶ σφᾶς ὡμολόγουν ὑπάρξειν αὐτῷ· καὶ γάρ τοι σκέψασθε, τί τοῖς Θηβαίοις γέγονεν ἐκ τούτων, καὶ τί ὑμῖν συμβέβηκε, καὶ θεάσασθε ἐπ' αὐτῶν τῆς ἀληθείας, ἡλίκον ἐστὶ τὸ μὴ πωλεῖν τὰ τῆς πόλεως πράγματα. Πρῶτον μὲν τοίνυν εἰρήνη γέγονεν αὐτοῖς πονοῦσι, καὶ ταλαιπωρουμένοις ἤδη τῷ πολέμῳ, καὶ ἡττωμένοις· εἶτα τῶν ἐχθρῶν Φωκέων ἄρδην ὄλεθρος, καὶ ὅλων τῶν τειχῶν, καὶ τῶν πόλεων ἀναίρεσις· ἆρα καὶ μόνα ταῦτα; οὐ μὰ Δί', ἀλλ' ἔτι πρὸς τούτοις, Ὀρχομενός, Κορώνεια, Κορσίαι, τὸ Τιλφωσαῖον, τῆς Φωκέων χώρας ὅσην ἐβούλοντο· τοῖς μὲν δὴ Θηβαίοις ταῦτα ἐκ τῆς εἰρήνης γέγονεν, ὧν οὐδ' ἂν εὔξαιντο δήπου μείζονα· τοῖς δὲ πρέσβεσι τοῖς τῶν Θηβαίων τί; οὐδὲν, πλὴν τὸ τούτων αἰτίοις γεγενῆσθαι τῇ πατρίδι· τοῦτο δὲ καλόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σεμνὸν εἰς ἀρετῆς λόγον καὶ δόξης, ἣν οὗτοι χρημάτων ἀπέδοντο. Ἀντιθῶμεν δὴ τί τῇ τῶν Ἀθηναίων πόλει γέγονεν ἐκ τῆς εἰρήνης, καὶ τί τοῖς πρέσβεσι τοῖς τῶν Ἀθηναίων· καὶ θεωρεῖτε εἰ παραπλήσια τῇ πόλει καὶ τούτοις αὐτοῖς· τῇ πόλει μὲν τοίνυν, ἀφεστηκέναι μὲν ἁπάντων καὶ τῶν κτημάτων, καὶ τῶν συμμάχων, ὀμωμοκέναι δὲ Φιλίππῳ, κἄν τις ἄλλος ἴῃ ποτ' ἐπ' αὐτά, βουλόμενος σώζειν, ὑμᾶς κωλύσειν, καὶ τὸν μὲν ὑμῖν βουλόμενον παραδοῦναι, ἐχθρὸν ἡγήσασθαι καὶ πολέμιον, τὸν δὲ ἀπεστερηκότα σύμμαχον καὶ φίλον· ταῦτα γάρ ἐστιν ἃ συνεῖπε μὲν Αἰσχίνης οὑτοσί, ἔγραψε δὲ ὁ τούτου συνεργὸς Φιλοκράτης· καὶ κρατοῦντος ἐμοῦ τὴν προτέραν ἡμέραν, καὶ πεπεικότος ὑμᾶς, τὸ τῶν συμμάχων δόγμα κυρῶσαι, καὶ καλέσαι τοὺς πρέσβεις τοὺς τοῦ Φιλίππου, ἐκκρούσας οὗτος εἰς τὴν ὑστεραίαν, τὴν Φιλοκράτους

γνώ-

γνώμην ἔπειτεν ἐλέσθαι, ἐν ᾗ καὶ ταῦτα καὶ πολλὰ ἄλλα ἔτι τούτων δεινότερα ἐστὶ γεγραμμένα. τῇ μὲν δὴ πόλει ταῦτα ἐκ τῆς εἰρήνης γέγονεν· ὧν οὐδ᾽ εὑρεῖν αἴσχιον ῥᾴδιον· τοῖς δὲ πρέσβεσι τί τοῖς ταῦτα πράξασι; τὰ μὲν ἄλλα σιωπῶ, πάνθ᾽ ὅσα ἑωράκατε ὑμεῖς, οἰκίας, ξύλα, πυρούς, ἀλλὰ ἐν τῇ τῶν ἀπολωλότων συμμάχων χώρᾳ κτήματα, καὶ γεωργίαι παμπληθεῖς, Φιλοκράτει μὲν τάλαντον ἔχουσαι πρόσοδον, τούτῳ δ᾽ Αἰσχίνῃ τριάκοντα μνᾶς. καί τοι, πῶς οὐ δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον, τὰς τῶν ὑμετέρων συμμάχων συμφορὰς προσόδους τοῖς πρέσβεσι τοῖς ὑμετέροις γεγενῆσθαι; καὶ τὴν αὐτὴν εἰρήνην τῇ μὲν ἐκπεμψάσῃ πόλει, τῶν μὲν συμμάχων ὄλεθρον, τῶν δὲ κτημάτων ἀπόστασιν, ἀντὶ δὲ δόξης αἰσχύνην γεγενῆσθαι, τοῖς δὲ πρέσβεσι τοῖς κατὰ τῆς πόλεως ταῦτα πράξασι προσόδους, εὐπορίας, κτήματα, πλοῦτον, ἀντὶ τῶν ἐσχάτων ἀπορειῶν * εἰργάσθαι; Ἀλλὰ μὴν, ὅτι ταῦτ᾽ ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς Ὀλυνθίους μάρτυρας.

Μάρτυρες. Οὐ τοίνυν θαυμάσαιμ᾽ ἂν εἰ καὶ τοιοῦτό τι τολμήσει λέγειν, ὡς οὐκ ἦν καλὴν, οὐδ᾽ οἵαν ἠξίουν ἐγώ, τὴν εἰρήνην ποιήσασθαι, κακῶς τῷ πολέμῳ τῶν στρατηγῶν κεχρημένων. ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἐρωτήσατε αὐτὸν μεμνημένοι, πότερον ἐξ ἑτέρας τινὸς ᾤχετο πρεσβεύων πόλεως, ἢ ταύτης τῆς αὐτῆς· εἰ μὲν γὰρ ἐξ ἑτέρας, ἣν κεκρατηκέναι τῷ πολέμῳ φήσει, καὶ χρηστοὺς ἔχειν τοὺς στρατηγούς, εἰκότως χρήματα εἴληφεν· εἰ δ᾽ ἐκ ταύτης αὐτῆς, τίνος ἕνεκα ἐφ᾽ οἷς ἡ πέμψασα πόλις τῶν αὑτῆς ἀπέστη, ἐπὶ τούτοις οὗτος δῶρα προσλαβὼν φαίνεται; τῶν γὰρ αὐτῶν ἔδει τήν τε πέμψασαν πόλιν τυγχάνειν, καὶ τοὺς ἐκ ταύτης πρέσβεις, εἴπερ τι τῶν δικαίων ἐγίγνετο. ἔτι τοίνυν κἀκεῖνο σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, πότερ᾽ οἴεσθε, πλέον Φωκέας Θηβαίων, ἢ Φίλιππον ὑμῶν κρατεῖν τῷ πολέμῳ. ἐγὼ μὲν γὰρ εὖ οἶδ᾽ ὅτι Φωκέας Θηβαίων· εἶχον γὰρ Ὀρχομενὸν, καὶ Κορώνειαν, καὶ τὸ Τιλφωσσαῖον, καὶ τοὺς ἐν Νεῶσιν ἀπειλήφεσαν αὐτῶν, καὶ ἑβδομήκοντα καὶ διακοσίους ἀπεκτόνεσαν ἐπὶ τῷ Ἡδυλείῳ, καὶ τρόπαιον ἕστηκε, καὶ ἱπποκρατεῖ, καὶ κακῶν Ἰλιὰς περιειστήκει Θηβαίους· ὑμῖν δὲ, τοιοῦτο μὲν οὔτ᾽ ἦν, μήτε γένοιτο τοῦ λοιποῦ· τοῦ-

τὸ δ' ἦν τὸ δεινότατον τοῦ πρὸς φίλιππον πολέμου, οὐκ
ἠδυνάσθε κακῶς ἡνίκα ἐβούλεσθαι ποιεῖν ἐκεῖνον, τοῦ
δὲ μὴ πάσχειν ἔτι αὐτοί, πᾶσαν ἄδειαν ἤγετε· τί
ποτ' οὖν ἐκ τῆς αὐτῆς εἰρήνης τοῖς μὲν Θηβαίοις τοῖς το-
σούτῳ κρατουμένοις τῷ πολέμῳ, καὶ τὰ ἑαυτῶν κομίσα-
σθαι, καὶ τὰ τῶν ἐχθρῶν προσλαβεῖν ἐγγέγονε· τοῖς
δὲ ἀθηναίοις ὑμῖν, καὶ ἃ τῷ πολέμῳ διεσῴζετο, ταῦτ'
ἐπὶ τῆς εἰρήνης ἀπολωλεκέναι; ὅτι τὰ ἐκείνων μὲν, οὐκ
ἀπέδοντο οἱ πρέσβεις, τὰ δ' ὑμέτερα οὗτοι πεπράκα-
σιν· ἀλλὰ νὴ Δία τοὺς συμμάχους ἀπειρηκέναι φήσει
τῷ πολέμῳ· ὅτι γὰρ ταῦτα οὕτω πέπρακται, καὶ ἐκ
τῶν ἐπιλοίπων ἔτι μᾶλλον εἴσεσθε· ἐπειδὴ γὰρ ἡ μὲν
εἰρήνη τέλος εἶχεν αὐτὴ ἡ τοῦ Φιλοκράτους, ᾗ συνεῖπεν
οὗτος· οἱ δὲ πρέσβεις ἀπήρκεσαν οἱ τοῦ φιλίππου, λα-
βόντες τοὺς ὅρκους, καὶ μέχρι τούτου γε οὐδὲν ἀνήκεστον ἦν
τῶν πεπραγμένων, ἀλλ' αἰσχρὰ μὲν ἡ εἰρήνη καὶ ἀνα-
ξία τῆς πόλεως· ἀντὶ δὲ τούτων δὴ, τὰ θαυμάσια ἀγα-
θὰ ἡμῖν ἔμελλεν ἔσεσθαι, ἠξίουν ἡμᾶς ἐγὼ, καὶ τού-
τοις ἔλεγον πλεῖν τὴν ταχίστην ἐφ' Ἑλλήσποντον, καὶ
μὴ προέσθαι, μὴ δ' ἐᾶσαι κατασχεῖν φίλιππον μη-
δὲν ἐν τῷ μεταξὺ χρόνῳ τῶν ἐκεῖ τι χωρίων· ᾔδειν
γὰρ ἀκριβῶς, ὅτι πάνθ' ὅσα ἂν ἐκ πολέμου γιγνο-
μένης εἰρήνης προεθῇ, ταῦτα τοῖς ἀμελήσασιν ἀπόλ-
λυται· οὐδεὶς γὰρ πώποτε ὑπὲρ τῶν ὅλων πεισθεὶς εἰ-
ρήνην ἄγειν, ὑπὲρ τῶν ἐγκαταλειφθέντων ἐξ ἀρχῆς ἠ-
θέλησε πολεμεῖν, ἀλλὰ ταῦθ' οἱ προλαβόντες ἔχουσι·
χωρὶς δὲ τούτων, δυοῖν χρησίμοιν οὐ διαμαρτήσεσθαι
τὴν πόλιν ἡγούμην πλευσάντων ἡμῶν· ἢ γὰρ παρόν-
των, καὶ κατὰ τὸ ψήφισμα αὐτὸν ἐξορκωσάντων, ἃ
μὲν εἰλήφει τῆς πόλεως, ἀποδώσειν, τῶν δὲ λοιπῶν
ἀφέξεσθαι· ἢ μὴ ποιοῦντος τούτου ταῦτα, ἀπαγγέλ-
λειν ἡμᾶς εὐθέως δεῦρο· ὥστ' ἐν ἐκείνοις τοῖς πόρρω,
καὶ ἐλάττοσι τὴν πλεονεξίαν, καὶ τὴν ἀπιστίαν εἰδότας
ὑμᾶς περὶ τῶνδε τῶν ἐγγὺς καὶ τῶν μειζόνων, λέγω
δὴ Φωκέων καὶ Πυλῶν οὐ προήσεσθαι, μὴ προλαβόντος
δ' ἐκείνου ταῦτα, μὴ δ' ἡμῶν ἐξαπατηθέντων ἅπαντ' ἐν
ἀσφαλεῖ τὰ πράγματ' ὑμῖν ἔσεσθαι, καὶ παρ' ἑκόν-
τος ὑπάρξειν αὐτοῦ τὰ δίκαια· καὶ ταῦτ' εἰκότως οὕτως
ὑπελάμβανον ἕξειν· εἰ γὰρ ἦσαν ὡς ἦσαν τότε οἱ Φω-
κεῖς σῶοι, καὶ Πύλας εἶχον, ἐκεῖνος μὲν ἂν οὐδὲν ὑμῖν
εἶχεν ἀνατείνασθαι φοβερὸν, δι' ὃ τῶν δικαίων ἄν τι

παρεῖ-

παρείδετε· οὔτε γὰρ κατὰ γῆν παρελθὼν, οὔτε ναυσὶ κρατήσας εἰς τὴν Ἀττικὴν ἥξειν ἔμελλεν, ὑμεῖς δ' ἐκείνῳ παραχρῆμα, εἰ μὴ τὰ δίκαια ποιοίη, κλείσειν τὰ ἐμπόρια, καὶ χρημάτων γ' ἐν ἀπορίᾳ, καὶ τῶν ἄλλων ἐν πολιορκίᾳ πάλιν αὐτὸν καταστήσειν· ὥστε ἐκεῖνος ὁ δουλεύσων ἔσεσθαι, ἔμελλε τοῖς ἀπὸ τῆς εἰρήνης λυσιτελοῦσι, οὐχ ὑμεῖς· καὶ ταῦθ' ὅτι οὐκ ἐπὶ τοῖς συμβεβηκόσι νυνὶ πλάττομαι, καὶ προσποιοῦμαι, ἀλλὰ τότ' εὐθὺς ἐγνώκειν καὶ προεωρώμην ὑπὲρ ὑμῶν, καὶ τούτοις ἔλεγον, ἐκεῖθεν εἴσεσθε· ἐπειδὴ γὰρ ἐκκλησία μὲν οὐκ ἔτ' ἦν ὑπόλοιπος οὐδεμία διὰ τὸ προκατακεχρῆσθαι, οὗτοι δ' οὐκ ἀπῇσαν, ἀλλ' αὐτοῦ διέτριβον, γράφω ψήφισμα βουλεύων τὴν βουλὴν ποιησάντος τοῦ δήμου κυρίαν, ἀπιέναι τοὺς πρέσβεις τὴν ταχίστην, τὸν δὲ στρατηγὸν Πρόξενον κομίζειν αὐτοὺς ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα φίλιππον πυνθάνηται· γράψας ὥσπερ νυνὶ λέγω, τοῖς ῥήμασιν οὕτως ἄντικρυς. Καί μοι λέγε τουτὶ τὸ ψήφισμα λαβών.

Ψήφισμα. Ἐνθένδε μὲν τοίνυν αὐτοὺς ἐξήγαγον οὕτως ἄκοντας, ὡς καθαρῶς οἷς μετὰ ταῦτα ἐποίουν, εἴσεσθε· ἐπειδὴ δὲ ἀφικόμεθα εἰς Ὠρεὸν καὶ συνεμίξαμεν τῷ Προξένῳ, ἀμελήσαντες οὗτοι τοῦ πλεῖν, καὶ τὰ προστεταγμένα πράττειν, ἐπορεύοντο κύκλῳ· καὶ πρὶν εἰς Μακεδονίαν ἐλθεῖν, τρεῖς καὶ εἴκοσιν ἡμέρας ἀνηλώσαμεν, τὰς δὲ ἄλλας, ἁπάσας καθήμεθα ἐν Πέλλῃ πρὶν φίλιππον ἐλθεῖν, σὺν αἷς ἐπορεύθημεν ὁμοῦ πεντήκονθ' ὅλας· ἐν δὲ τούτῳ Δορίσκον, Θρᾴκην, τὰ ἐπὶ τειχῶν, ἱερὸν ὄρος, πάντα τὰ πράγματα ἐν εἰρήνῃ καὶ σπονδαῖς ᾕρει, καὶ διῳκεῖτο ὁ φίλιππος, πολλὰ λέγοντος ἐμοῦ καὶ θρυλοῦντος ἀεί· τὸ μὲν πρῶτον ὡς ἂν εἰς κοινὸν γνώμην ἀποφαινομένου· μετὰ ταῦτα δὲ, ὡς ἀγνοοῦντας διδάσκοντος· τελευτῶντος δὲ, ὡς ἂν πρὸς πεπρακότας ἑαυτοὺς καὶ ἀνοσιωτάτους ἀνθρώπους οὐδὲν ὑποστελλομένου· ὁ δὲ τούτοις ἀντιλέγων φανερῶς, καὶ ἅπασιν ἐναντιούμενος, οἷς ἔλεγον μὲν ἐγὼ, ἐψήφισθε δὲ ὑφ' ὑμῶν, οὗτος ἦν· εἰ δὲ καὶ πᾶσιν ἤρεσκε ταῦτα τοῖς ἄλλοις πρέσβεσιν, αὐτίκα εἴσεσθε· ἐγὼ μὲν γὰρ, οὐδέν πω λέγω περὶ οὐδενὸς, οὐδ' αἰτιῶμαι, οὐδ' ἀναγκασθέντα αὐτῶν οὐδένα δεῖ δοκεῖν χρηστὸν εἶναι τήμερον, ἀλλὰ δι' αὑτὸν, καὶ τὸ μὴ κεκοινωνηκέναι τῶν ἀδικημάτων· ὅτι μὲν γὰρ αἰσχρὰ

καὶ δωρὰ, καὶ οὐ προῖκα τὰ πεπραγμένα, πάντες ὑμεῖς ἑωράκατε· οἵτινες δ' οὐ τούτων μετεσχηκότες, αὐτὸ δηλώσει· ἀλλὰ νὴ Δία, ἐν τούτῳ τῷ χρόνῳ τοὺς ὅρκους ἔλαβον παρὰ τῶν συμμάχων, ἢ τἄλλ' ἃ προσῆκεν ἐποίησαν; πολλοῦ γε καὶ δεῖ· ἀλλὰ τρεῖς μῆνας ὅλους ἀποδημηκότες, καὶ χιλίας δραχμὰς λαβόντες ἐφόδιον παρ' ὑμῶν, ὅσα παρ' οὐδεμιᾶς πόλεως, οὔθ' ὅτε ἐκεῖσε ἐπορεύοντο, οὔθ' ὅτ' ἐκεῖθεν δεῦρο, τοὺς ὅρκους ἔλαβον· ἀλλ' ἐν τῷ πανδοχείῳ τῷ πρὸ τοῦ Διοσκορείου, εἴ τις ὑμῶν εἰς Φερὰς ἀφῖκται, οἶδεν ὃ λέγω, ἐνταῦθα ἐγίγνοντο οἱ ὅρκοι, ὅτε δεῦρ' ἤδη τὸ στράτευμα ἄγων ἐβάδιζε Φίλιππος, αἰσχρῶς, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀναξίως ὑμῶν· καίτοι τοῦθ' ὁ Φίλιππος ἁπάντων ἂν ἐτιμήσατο πλείστου, τοῦτον τὸν τρόπον πραχθῆναι· μήτε γὰρ εἰρήνην ἐχεῖ δυνηθέντων ὡς ἐπεχείρησαν οὗτοι τὸ πρῶτον, πλὴν Ἀλέων καὶ Φωκέων γράψαι, ἀλλ' ἀναγκασθέντος ὑφ' ὑμῶν τοῦ Φιλοκράτους, ταῦτα μὲν ἀπαλεῖψαι, γράψαι δ' ἄντικρυς Ἀθηναίους, καὶ τοὺς Ἀθηναίων συμμάχους, οὐκ ἐβούλετο τοῦτον ὀμωμοκέναι τὸν ὅρκον οὐδένα τῶν αὐτοῦ συμμάχων· οὐ γὰρ αὐτῷ συστρατεύσειν ἐφ' ἃ νῦν ἔχει τῶν ὑμετέρων ἔμελλον, ἀλλ' ἕξειν πρόφασιν τοὺς ὅρκους, οὔτε μάρτυρας γενέσθαι τῶν ὑποσχέσεων, ἐφ' αἷς εὑρίσκετο τὴν εἰρήνην, οὐδὲ τοῦτο δειχθῆναι πᾶσιν, ὅτι οὐκ ἄρα ἡ πόλις ἡ τῶν Ἀθηναίων ἡττᾶτο τῷ πολέμῳ, ἀλλὰ Φίλιππός ἐστιν ὁ τῆς εἰρήνης ἐπιθυμῶν, καὶ ὁ πολλὰ ὑπισχνούμενος τοῖς Ἀθηναίοις, ὥστε τυχεῖν τῆς εἰρήνης, ἵνα δὴ μὴ γένηται ταῦθ' ἃ λέγω, φανερά, διὰ ταῦτα ᾤετο δεῖν αὐτοὺς μηδαμόσε βαδίζειν· οὗτοι δ' ἐχαρίζοντο πάντα ἐνδεικνύμενοι καὶ ὑπερκολακεύοντες ἐκεῖνον· καίτοι ταῦθ' ὅταν ἐξελέγχωνται, πάντα τὸν χρόνον ἀνηλωκότες, τὰ ἐν Θρᾴκῃ προειμένοι, μηδὲν ὧν ἐψηφίσασθε πεποιηκότες, μηδ' ὧν συμφέρον ἦν, τὰ ψευδῆ δεῦρ' ἀπηγγελκότες, πῶς ἔνεστι παρ' εὖ φρονοῦσι δικασταῖς, καὶ βουλομένοις εὐορκεῖν, * τούτους σώζεσθαι; Ἀλλὰ μήν, ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε πρῶτον μὲν τὸ ψήφισμα, ὡς ὁρκοῦν προσῆκεν ἡμῖν· εἶτα τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, εἶτα τὸ Φιλοκράτους ψήφισμα, εἶτα τὸ τοῦ δήμου

ψή-

Ψήφισμα, ἐπιστολή, ψηφίσματα.

Καὶ μὴν ὅτι τὸν Φίλιππον ἐν Ἑλλησπόντῳ κατελάβομεν ἂν εἴ τις ἐπείθετό μοι, καὶ τὰ προστεταγμένα ὑφ' ὑμῶν ἐποίει κατὰ τὰ ψηφίσματα, κάλει τοὺς ἐκεῖ παρόντας μάρτυρας.

Μάρτυρες. Λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν, ἃ πρὸς Εὐκλείδην ὕστερον ἐλθόντα τουτονὶ ἀπεκρίνατο Φίλιππος.

Μαρτυρία. Ὅτι τοίνυν οὐδ' ἀρνητέοις ἐστὶν αὐτοῖς, τὸ μὴ ταῦθ' ὑπὲρ Φιλίππου πράττειν, ἀκούσατέ μου· ὅτε γὰρ προτέραν ἀπῄρομεν πρεσβείαν τὴν περὶ τῆς εἰρήνης, κήρυκα ὑμεῖς προαπεστείλατε, ὅς τις ὑμῖν σπείσεται· τότε μὲν τοίνυν ὡς τάχιστα εἰς Ὠρεὸν ἦλθον, οὐκ ἀναμείναντες τὸν κήρυκα, οὐδὲ ἐποιήσαντο χρόνον οὐδένα, Ἅλου δὲ πολιορκουμένου διέπλευσαν εἰς τοῦτον· καὶ πάλιν ἐντεῦθεν πρὸς Παρμενίωνα τὸν πολιορκοῦντα ἐξελθόντες, ἀπῆραν διὰ τοῦ πολεμίου στρατεύματος εἰς Παγασὰς, καὶ προϊόντες ἀπήντων ἐν Λαρίσσῃ τῷ κήρυκι· τοσαύτῃ σπουδῇ καὶ προθυμίᾳ τότ' ἐχώρουν· ἐπειδὴ δὲ εἰρήνη μὲν ἦν, ἅπασα δὲ ἀσφάλεια ἰέναι, καὶ πρόσταγμα παρ' ὑμῶν σπεύδειν, τηνικαῦτα οὔτ' ἐπείγεσθαι βαδίζουσιν, οὔτε πλεῖν αὐτοῖς ἐπῄει. τί δή ποτε; ὅτι τότε μὲν τὸ τὴν εἰρήνην ὡς τάχιστα γενέσθαι, τοῦτ' ἦν ὑπὲρ Φιλίππου, νῦν δὲ, τὸ ὡς πλεῖστον τὸν μεταξὺ χρόνον διατριβῆναι πρὸ τοῦ τοὺς ὅρκους ἀπολαβεῖν· ἀλλὰ μὴν, ὅτι καὶ ταῦτ' ἀληθῆ λέγω, λάβε μοι καὶ ταύτην τὴν μαρτυρίαν.

Μαρτυρία. Ἔστιν οὖν ὅπως ἂν μᾶλλον ἄνθρωποι πάνθ' ὑπὲρ Φιλίππου πράττοντες ἐξελεγχθεῖεν, ἢ οἱ τὴν αὐτὴν ὁδὸν, ἡνίκα μὲν σπεύδειν ὑπὲρ ὑμῶν ἔδει, καθήμενοι, ὅτε δ' οὐ βαδίζειν προσῆκε πρὶν ἐλθεῖν τὸν κήρυκα, ἐπειγόμενοι; ὃν τοίνυν χρόνον ἦμεν ἐκεῖ καὶ καθήμεθα ἐν Πέλλῃ, σκέψασθε τί πράττειν ἕκαστος ἡμῶν προείλετο· ἐγὼ μὲν τοίνυν τοὺς αἰχμαλώτους ἀνασώζειν, καὶ ζητεῖν, καὶ παρ' ἐμαυτοῦ χρήματ' ἀναλίσκειν, καὶ Φίλιππον ἀξιοῦν, ὧν ἡμῖν ἐδίδου ξενίων, τούτους λύσασθαι· οὗτος δὲ, αὐτίκα ἀκούσεσθε, τί ποιῶν διετέλεσε· τί οὖν ἦν τοῦτο; κοινῇ τὸν Φίλιππον χρήμαθ' ἡμῖν διδόναι, ἵνα μὴ δὲ τοῦτο

ἀγνοῆ

ἀγνοοῦντε, ἐκεῖνος ἡμᾶς διεκωδώνισεν ἅπαντας, ἑκάστῳ τινὰ τρόπον προσπέμπων ἰδίᾳ, καὶ πολύ γε, ὦ ἄνδρες ἀθηναῖοι, διδοὺς χρυσίον· ὡς δ' ἀπετύγχανεν ὅτου δήποτε, οὐ γὰρ ἐμέγε εἰπεῖν ἐμαυτὸν δεῖ, ἀλλὰ τὰ ἔργα καὶ τὰ πεπραγμένα αὐτὰ δηλώσει τὰ κοινῇ δοθέντα, ἅπαντας ἡγεῖτο ἀθέως ἀθήθως λήψεσθαι· ἀσφάλειαν γὰρ ἔσεσθαι τοῖς ἰδίᾳ πεπρακόσιν ἑαυτοὺς, εἰ καὶ κατὰ μικρὸν τοῦ κοινῇ λαβεῖν πάντες μετάσχοιμεν, διὰ ταῦτ' ἐδίδοτο, ξένια δ' ἦν ἡ πρόφασις· ἐπειδὴ δ' ἐκώλυσα ἐγὼ, πάλιν προσδιενείμαντο ἔτοι· τῷ φιλίππῳ δ' ἐπειδὴ ταῦτ' εἰς τοὺς αἰχμαλώτους ἠξίουν αὐτὸν ἀναλίσκειν ἐγὼ, ὅτε * κατειπεῖν τούτων εἶχε καλῶς, οὐδ' εἰπεῖν ὅτι ἀλλ' ἔχουσιν ὁ δεῖνα, καὶ ὁ δεῖνα, ὅτε φυγεῖν τὸ ἀνάλωμα· ὡμολόγησε μὲν δὴ, διεκρούετο δὲ, εἰς τὰ Παναθήναια φήσας ἀποπέμψειν· Λέγε δὴ τὴν μαρτυρίαν τὴν Ἀπολλοφάνους, εἶτα τὴν τῶν ἄλλων παρόντων.

Μαρτυρία. Φέρε δὴ καὶ ὅσους αὐτὸς ἐλυσάμην τῶν αἰχμαλώτων, εἴπω πρὸς ὑμᾶς· ἐν ὅσῳ γὰρ οὐχὶ παρόντος πω τοῦ φιλίππου, διετρίβομεν ἐν Πέλλῃ. ἔνιοι τῶν ἑαλωκότων, ὅσοι περ ἦσαν ἐξηγγυημένοι, ἀπιστοῦντες ὡς ἐμοὶ δοκεῖ, μὴ δυνήσεσθαι μετὰ ταῦτα πεῖσαι τὸν φίλιππον, ἑαυτοὺς ἔφασαν βούλεσθαι λύσασθαι, καὶ μηδεμίαν τούτου φιλίππῳ χάριν ἔχειν· καὶ ἐδανείζοντο, ὁ μὲν, τρεῖς μνᾶς, ὁ δὲ, πέντε, ὁ δὲ, ὅπως συνέβαινεν ἑκάστῳ τὰ λύτρα· ἐπειδὴ τοίνυν ὡμολόγησεν ὁ φίλιππος τοὺς λοιποὺς λύσασθαι, συγκαλέσας ἐγὼ τούτους, οἷς αὐτὸς ἔχρησα τἀργύριον, καὶ τὰ πεπραγμένα ὑπομνήσας, ἵνα μὴ δοκοῖεν ἔλαττον ἔχειν σπευσθέντες, μηδ' ἐκ τῶν ἰδίων λελυτρῶσθαι πένητες ἄνθρωποι, τῶν ἄλλων ὑπὸ τοῦ φιλίππου προσδοκωμένων ἀφεθήσεσθαι, ἔδωκα δωρεὰν τὰ λύτρα· καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, λέγε καὶ ταύτας τὰς μαρτυρίας.

Μαρτυρίαι· Ὅσα μὲν τοίνυν ἀφῆκα χρήματα, καὶ δωρεὰν ἔδωκα τοῖς ἀτυχοῦσι τῶν πολιτῶν, ταῦτ' ἐστίν· ὅταν δὲ οὗτος λέγῃ αὐτίκα δὴ πρὸς ὑμᾶς, τί δήποτε ὡς φὴς ὦ Δημόσθενες, ἀπὸ τοῦ συνειπεῖν ἐμὲ Φιλοκράτει γνοὺς οὐδὲν ὑμᾶς ὑγιὲς πράττοντας, τὴν μετὰ ταῦτα πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους συνεπρέσβευσας πάλιν, καὶ οὐκ ἐξωμόσω; ταῦτα μέμνησθε, ὅτι

τούτοις ὡμολογήκειν ἥξειν, ὡς ἐλυσάμην, καὶ κομιεῖν τὰ λύτρα, καὶ σώσειν εἰς δύναμιν· δεινὸν ἦν ἐν τῷ ψεύσασθαι, καὶ προέσθαι δυςυχοῦντας ἀνθρώπους πολίτας· ἰδίᾳ δ' ἐξομοσάμενον οὐ πάνυ καλὸν, οὐδ' ἀσφαλὲς ἦν ἐκεῖσε πλανᾶσθαι· ἐπεὶ εἰ μὴ διὰ τὸ τούτους βούλεσθαι σῶσαι, ἐξώλης ἀπολοίμην καὶ προώλης, εἰ καὶ προσλαβὼν γ' ἂν ἀργύριον πάνυ πολὺ, μετὰ τούτων ἐπρέσβευσα· σημεῖον δὲ, ἐπὶ γὰρ τὴν τρίτην πρεσβείαν δίς με χειροτονησάντων ὑμῶν δὶς ἐξωμοσάμην· καὶ παρὰ ταύτην ἀποδημίαν πάντα τἀναντία ἔπραττον τούτοις· ὧν μὲν τοίνυν αὐτοκράτωρ ἦν ἐγὼ κατὰ τὴν πρεσβείαν, τοῦτον ἔσχε τὸν τρόπον ὑμῖν· ἃ δ' οὗτοι πλείους ὄντες ἐνίκων, ἅπαντ' ἀπόλωλε· καίτοι καὶ τἄλλα ἂν πάντα ἀκολούθως τούτοις ἐπέπρακτο, εἴ τις ἐπείθετό μοι· οὐ γὰρ ἔγωγε οὕτως ἄθλιος, οὐδ' ἄφρων ἦν ὥστε χρήματα μὲν διδόναι λαμβάνοντας ὁρῶν ἑτέρους, ὑπὲρ τῆς πρὸς ὑμᾶς φιλοτιμίας· ἃ δ' ἄνευ μὲν δαπάνης οἷά τε ἦν πραχθῆναι, πολλῷ δὲ μείζονας εἶχεν ὠφελείας πάσῃ τῇ πόλει, ταῦτ' οὐκ ἐβουλόμην γίγνεσθαι· καὶ σφόδρα γε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οἶμαι, περιῆσαν οὗτοί μου· φέρε δὴ, τί τούτῳ πέπρακται παρὰ ταῦτα καὶ τί τῷ Φιλοκράτει, θεάσασθε· παράλληλα γὰρ ἔσται φανερώτερα. Πρῶτον μὲν τοίνυν Φωκέας ἐκσπόνδους καὶ Ἁλεῖς ἀπέφηναν, καὶ Κερσοβλέπτην, καὶ παρὰ τὸ ψήφισμα, καὶ τὰ πρὸς ὑμᾶς εἰρημένα· εἶτα τὸ ψήφισμα ἐπεχείρησαν κινεῖν, καὶ μεταίρειν, ἐφ' ᾧ πρεσβεύοντες ἥκομεν· εἶτα Καρδιανοὺς Φιλίππῳ συμμάχους ἐνέγραψαν, καὶ τὴν μὲν γραφεῖσαν ἐπιστολὴν ὑπ' ἐμοῦ πρὸς ὑμᾶς ἀπεψηφίσαντο μὴ πέμπειν, αὐτοὶ δ' οὐδὲν ὑγιὲς γράψαντες ἀπέπεμψαν· εἶθ' ὁ γενναῖος οὑτοσὶ ἐμὲ μὲν τὸν δῆμον ἔφη τὸν ὑμέτερον καταλύσειν ἐπαγγέλλεσθαι Φιλίππῳ, ὅτι ταῦτ' ἐπέπληττον, οὐ μόνον αἰσχρὰ νομίζων, ἀλλὰ καὶ δεδιὼς μὴ συναπόλωμαι διὰ τούτους· αὐτὸς δὲ ἰδίᾳ πάντα τὸν χρόνον ἐντυγχάνων οὐδ' ἐπαύσατο Φιλίππῳ· καὶ τὰ μὲν ἄλλα σιωπῶ· Δερκύλος δ' αὐτὸν ἐν Φεραῖς τινι νύκτα ἐφύλαττεν, οὐκ ἐγὼ, τὸν παῖδα ἔχων τὸν ἐμὸν τουτονί· καὶ λαβὼν ἐξιόντα ἐκ τῆς Φιλίππου σκηνῆς ἐμοὶ τὸν παῖδα ἐκέλευσεν ἀπαγγέλλειν, καὶ αὐτὸν μεμνῆσθαι· καὶ τὸ τελευταῖον ὁ βδελυρὸς οὗτος καὶ ἀναιδὴς νύκτωρ καὶ ἡμέραν ἀπιόντων ἡμῶν ἀπελείφθη

παρὰ

παρὰ φιλίππῳ· καὶ ταῦτα ὅτι ἀληθῆ λέγω, πρῶτον μὲν αὐτὸς ἐγὼ συγγραψάμενος, καὶ καταστὰς ἐμαυτὸν ὑπεύθυνον μαρτυρήσω· εἶτα τῶν ἄλλων πρέσβεων ἕκαστον καλῶ, καὶ δυοῖν θάτερον, ἢ μαρτυρεῖν, ἢ ἐξόμνυσθαι ἀναγκάσω· ἐὰν δ' ἐξομνύωσιν, ἐπιορκοῦντας ἐξελέγξω παρ' ὑμῖν φανερῶς.

Μαρτυρία. Οἵοις μὲν τοίνυν κακοῖς καὶ πράγμασι κατὰ τὴν ἀποδημίαν ἅπασαν συνεσχόμην, ἑωράκατε· τί γὰρ αὐτοὺς οἴεσθε ἐκεῖ ποιεῖν ἐγγὺς ὄντας τοῦ διδόντος, οἳ θ' ὑμῶν ὁρώντων τῶν καὶ τιμῆσαι κυρίων ὄντων, καὶ τοὐναντίον κολάσαι, τοιαῦτα ποιοῦσι; Συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορημένα ἀπ' ἀρχῆς, ἵνα ὅσα ὑμῖν ὑπεσχόμην ἀρχόμενος τοῦ λόγου, δείξω πεποιηκώς· ἐπέδειξα οὐδὲν ἀληθὲς ἀπηγγελκότα, ἀλλὰ φενακίσαντα ὑμᾶς, μάρτυσι τοῖς γεγενημένοις αὐτοῖς, οὐ λόγοις χρώμενος· ἐπέδειξα αἴτιον γεγενημένον τοῦ μὴ θέλειν ὑμᾶς ἀκούειν ἐμοῦ τἀληθῆ, ταῖς ὑποσχέσεσι, καὶ τοῖς ἐπηγγέλμασι τοῖς τότε καταληφθέντας τότε, πάντα τἀναντία συμβεβουλευκότα, ἢ ἔδει, καὶ τῇ μὲν τῶν συμμάχων ἀντειπόντα εἰρήνῃ, τῇ δὲ Φιλοκράτους συνηγορηκότα, τοὺς χρόνους κατατρίψαντα, ἵνα μηδ' εἰ βούλησθε, δύναισθε ἐξελθεῖν εἰς Φωκέας, καὶ ἄλλα ἐπὶ τῆς ἀποδημίας, πολλὰ καὶ δεινὰ εἰργασμένον, προδεδωκότα πάντα, πεπρακότα, δῶρα ἔχοντα, οὐδὲν ἐλλελοιπότα μοχθηρίας· οὐκοῦν ταῦτα ὑπεσχόμην ἐν ἀρχῇ, ταῦτα ἐπέδειξα. Ὁρᾶτε τοίνυν τὰ μετὰ ταῦτα· ἁπλοῦς γάρ ἐστιν ὁ μέλλων λόγος οὑτοσὶ πρὸς ὑμᾶς ἤδη· ὀμωμόκατε ψηφιεῖσθαι κατὰ τοὺς νόμους καὶ τὰ ψηφίσματα τοῦ δήμου, καὶ τῆς βουλῆς τῶν πεντακοσίων· φαίνεται δ' οὗτος πάντα τἀναντία τοῖς νόμοις, τοῖς ψηφίσμασι, τοῖς δικαίοις πεπρεσβευκώς· οὐκοῦν ἑαλωκέναι προσήκει, παρά γε νοῦν ἔχουσι δικασταῖς· εἰ γὰρ ἄλλο μηδὲν ἠδίκει, δύο τῶν πεπραγμένων ἐσθ' ἱκανὰ αὐτὸν ἀποκτεῖναι· οὐ γὰρ μόνον Φωκέας, ἀλλὰ καὶ Θρᾴκην προδέδωκε φιλίππῳ· καίτοι δύο χρησιμωτέρους τόπους τῆς οἰκουμένης οὐδ' ἂν εἷς ἐπιδεῖξαι τῇ πόλει, κατὰ μὲν γῆν, Πυλῶν, ἐκ Θαλάττης δὲ, τοῦ Ἑλλησπόντου, ἃ συναμφότερα οὗτοι πεπράκασιν αἰσχρῶς, καὶ καθ' ὑμῶν ἐγκεχειρίκασι φιλίππῳ· τοῦτο τοίνυν αὐτὸ ἄνευ τῶν ἄλλων, ἡλίκον ἐστὶν ἀδίκημα,

τὸ Θρᾴκην καὶ τὰ τείχη προέσθαι; μυρία ἂν εἴη λέγειν, καὶ ὅσοι διὰ ταῦτα ἀπολώλασι παρ' ὑμῖν· οἱ δὲ, ὅτι χρήματα πάμπολλα ὠφλήκασιν, οὐ χαλεπὸν δεῖξαι, Ἐργόφιλος, Κηφισόδοτος, Τιμόμαχος, τὸ παλαιόν ποτε Ἐργοκλῆς, Διονύσιος, ἄλλοι, οὓς ὀλίγου δέω σύμπαντας εἰπεῖν ἐλάττω τὴν πόλιν βεβλαφέναι τούτου· ἀλλ' ἔτι γὰρ τότε, ὦ ἄνδρες ἀθηναῖοι, ἐκ λογισμοῦ τὰ δεινὰ ἐφυλάττεσθε ὑμεῖς καὶ προεωρᾶσθε, νυνὶ δ' ὅ,τι ἂν μὴ καθ' ἡμέραν ὑμᾶς ὀχλῇ, καὶ παρὸν λυπῇ, παροράτε· εἶτα τηνάλλως ἐνταῦθα ψηφίζεσθε, ἀποδοῦναι δὲ καὶ Κερσοβλέπτῃ τὸν Φίλιππον τοὺς ὅρκους, μὴ μετέχειν δὲ τῶν ἐν Ἀμφικτύοσιν, ἐπανορθώσασθαι δὲ τὴν εἰρήνην· καίτοι τούτων οὐδενὸς ἂν τῶν ψηφισμάτων ἔδει, εἰ πλεῖν οὗτος ἤθελε καὶ τὰ προσήκοντα ποιεῖν· νυνὶ δ' ἃ μὲν ἦν πλεύσασι σῶσαι, βαδίζειν κελεύων ἀπολώλεκεν, ἃ δ' εἰποῦσι τἀληθῆ, ψευδόμενος. Ἀγανακτήσει τοίνυν αὐτίκα δὴ μάλα, ὡς ἐγὼ πυνθάνομαι, εἰ μόνος τῶν ἐν τῷ δήμῳ λεγόντων λόγων εὐθύνας ὑφέξει· ἐγὼ δ' ὅτι μὲν πάντες ἂν εἰκότως ὧν λέγουσι δίκην ὑπέχοιεν, εἴπερ ἐπ' ἀργυρίῳ τι λέγοιεν, παραλείψω, ἀλλ' ἐκεῖνο λέγω· εἰ μὲν Αἰσχίνης ἰδιώτης ὢν ἀπελήρησέ τι καὶ διήμαρτε, μὴ σφόδρα ἀκριβολογήσησθε, ἀλλ' ἐάσατε, συγγνώμην ἔχετε· εἰ δὲ πρεσβευτὴς ὢν ἐπὶ χρήμασιν ἐξεπίτηδες ἐξηπάτηκεν ὑμᾶς, μὴ ἀφῆτε, μηδ' ἀνάσχησθε,* ὡς οὐ δεῖ δίκην ὧν εἶπεν, ὑποσχεῖν· τίνος γὰρ ἄλλου δεῖ δίκην παρὰ πρέσβεων, ἢ λόγων λαμβάνειν; εἰσὶ γὰρ οἱ πρέσβεις οὐ τριήρων, οὐδὲ ὁπλιτῶν, οὐδ' ἀκροπόλεως κύριοι, οὐδεὶς γὰρ πρέσβεσι ταῦτα ἐγχειρίζει, ἀλλὰ λόγων καὶ χρόνων· τοὺς μὲν οὖν χρόνους εἰ μὲν μὴ προκατέλαβε τῆς πόλεως, οὐκ ἀδικεῖ, εἰ δ' ἀπώλεσεν, ἠδίκηκε· τοὺς δὲ λόγους, εἰ μὲν ἀληθεῖς ἀπήγγελκεν, ἢ συμφέροντας, ἀποφευγέτω· εἰ δὲ καὶ ψευδεῖς, καὶ μισθοῦ, καὶ ἀσυμφόρους, ἁλισκέσθω· οὐδὲν γὰρ ἔσθ' ὅ,τι μεῖζον ἂν ὑμᾶς ἀδικήσειέ τις, ἢ ψευδῆ λέγων· οἷς γὰρ ἐστιν ἐν λόγοις ἡ πολιτεία, πῶς ἂν οὗτοι μὴ ἀληθεῖς ὦσιν, ἀσφαλῶς ἐστι πολιτεύεσθαι; ἐὰν δὲ δὴ καὶ πρὸς ἃ τοῖς ἐχθροῖς συμφέρει, δῶρα τις λαμβάνων λέγῃ, πῶς οὐχὶ καὶ κινδυνεύσετε; οὐδέ γε τοὺς χρόνους ἴσον ἐστ' ἀδίκημα ὀλιγαρχίας, ἢ τυράννου παρελέσθαι, καὶ ὑμῶν,

οὐδ'

οὐδ' ὀλίγου γε δεῖ· ἐν ἐκείναις γάρ, οἶμαι, ταῖς πολιτείαις πάντα ἐξ ἐπιτάγματος ὀξέως γίνεται, ὑμῖν δέ, πρῶτον μὲν περὶ πάντων τὴν βουλὴν ἀκοῦσαι καὶ προβουλεῦσαι δεῖ, καὶ τοῦθ' ὅταν ᾖ κήρυξι καὶ πρεσβείαις προσγεγραμμένον, οὐκ ἀεί· εἶτ' ἐκκλησίαν ποιῆσαι, καὶ ταύτην ὅταν ἐκ τῶν νόμων καθήκῃ· εἶτα κρατῆσαι, καὶ περιγενέσθαι δεῖ τοὺς τὰ βέλτιστα λέγοντας τῶν ἢ δι' ἄγνοιαν, ἢ διὰ μοχθηρίαν ἀντιλεγόντων· ἐφ' ἅπασι δὲ τούτοις ἐπειδὰν καὶ δεδογμένον ᾖ, καὶ συμφέρον ἤδη φαίνηται, χρόνον δεῖ δοθῆναι τῇ τῶν πολλῶν ἀδυναμίᾳ, ἐν ᾧ καὶ ποριοῦνται ταῦθ' ὧν ἂν δέωνται ὅπως ἂν τὰ δόξαντα καὶ δυνηθῶσι ποιῆσαι· ὁ δὴ τοὺς χρόνους τούτους ἀναιρῶν, τῆς οἵας παρ' ὑμῖν ἐστι πολιτείας, οὐ χρόνους ἀνῄρηκεν οὗτος, οὔ· ἀλλὰ τὰ πράγματα ἁπλῶς ἀφῄρηται· ἔστι τοίνυν τις πρόχειρος λόγος πᾶσι τοῖς ἐξαπατᾶν ὑμᾶς βουλομένοις, οἱ ταράττοντες τὴν πόλιν, οἱ διακωλύοντες φίλιππον εὖ ποιῆσαι τὴν πόλιν· πρὸς οὓς ἐγὼ λόγον μὲν οὐδένα ἐρῶ, τὰς δὲ ἐπιστολὰς ὑμῖν ἀναγνώσομαι τὰς τοῦ φιλίππου, καὶ τοὺς καιρούς, ἐφ' ὧν ἕκαστα ἐξηπατήθητε, ὑπομνήσω· ἵνα εἰδῆθ' ὅτι τὸ ψυχρὸν τοῦτο ὄνομα, τὸ ἄχρι κόρου παρελήλυθ' ἐκεῖνος φενακίζων ὑμᾶς.

Ἐπιστολὴ φιλίππου.

Οὕτω τοίνυν αἰσχρά, καὶ πολλά, καὶ πάντα καθ' ὑμῶν πεπρεσβευκώς, περιιὼν λέγει, τί δ' ἂν εἴποι τις περὶ Δημοσθένους, ὃς τῶν συμπρέσβεων κατηγορεῖ; νὴ Δία εἴτε βουλόμενός γε, εἴτε μή, παρ' ὅλην μὲν τὴν ἀποδημίαν ὑπὸ σοῦ τοιαῦτα ἐπιβεβουλευμένος, δυοῖν δὲ αἱρέσεων ἐσῶν μοι νυνί, ἢ τοιούτων ὄντων τῶν πεπραγμένων, δοκεῖν κοινωνεῖν ὑμῖν, ἢ κατηγορεῖν· ἐγὼ δ' οὐδὲ συμπεπρεσβευκέναι φημί σοι, πρεσβεῦσαι μὲν τοι σὲ μὲν πολλὰ καὶ δεινά, ἐμαυτὸν δ' ὑπὲρ τουτωνὶ τὰ βέλτιστα· ἀλλὰ Φιλοκράτης σοι συμπεπρέσβευκε, κἀκείνῳ σὺ καὶ Φρύνων· ὑμεῖς γὰρ ταῦτα ἐπράττετε, καὶ ταῦτα ἅπασιν ὑμῖν ἤρεσκε· ποῦ δ' ἅλες; ποῦ τράπεζαι; ποῦ σπονδαί; ταῦτα γὰρ τραγῳδεῖ περιιών, ὥσπερ οὐχὶ τοὺς ἀδικοῦντας τούτων ὄντας προδότας, ἀλλὰ τοὺς τὰ δίκαια ποιοῦντας· ἐγὼ δ' οἶδ' ὅτι πάντες οἱ πρυτάνεις θύουσιν ἑκάστοτε κοινῇ, καὶ συνδειπνοῦσιν ἀλλήλοις, καὶ συσπένδουσι, καὶ οὐ διὰ τοῦτο οἱ χρηστοὶ τοὺς πονηροὺς μιμοῦνται· ἀλλ' ἐὰν ἀδικοῦν-

τι

τι λάβοισί τινα αὐτῶν, τῇ βουλῇ καὶ τῷ δήμῳ δηλοῦσι· καὶ ἡ βουλὴ τὰ αὐτὰ ταῦτα εἰσιτήρια ἔθυσε, συνειστιάθη, σπονδῶν ἱερῶν ἐκοινώνησαν οἱ στρατηγοί, σχεδὸν ὡς εἰπεῖν, αἱ ἀρχαὶ πᾶσαι· ἆρ᾽ οὖν διὰ ταῦτα τοῖς ἀδικοῦσιν αὐτῶν ἔδωκαν ἄδειαν, πολλοῦ γε καὶ δεῖ· Λέων Τιμαγόρου κατηγόρει συμπεπρεσβευκὼς τέτταρα ἔτη, Εὔβουλος Θάρρηκος, καὶ Σμικύθου συσσεσιτηκώς· Κόνων ὁ παλαιὸς ἐκεῖνος Ἀδειμάντου συστρατηγήσας· πότεροι οὖν τοὺς ἅλας, καὶ τὰς σπονδὰς παρέβαινον Αἰσχίνη, οἱ προδιδόντες, καὶ παραπρεσβεύοντες καὶ οἱ δωροδοκοῦντες, ἢ οἱ κατηγοροῦντες; οἱ ἀδικοῦντες δηλονότι τὰς ὅλας γε τῆς πατρίδος σπονδάς, ὥσπερ σύ, καὶ οὐ μόνον τὰς ἰδίας.

Ἵνα τοίνυν εἰδῆτε ὅτι οὐ μόνον τῶν δημοσίᾳ ποτὲ ἐληλυθότων ὡς Φίλιππον ἀνθρώπων, ἀλλὰ καὶ τῶν ἰδίᾳ, καὶ πάντων οὗτοι φαυλότατοι καὶ πονηρότατοι γεγόνασι, μικρὸν ἀκούσατέ μου ἔξω τι τῆς πρεσβείας ταυτησί· ἐπειδὴ γὰρ εἷλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπια ἐποίει, εἰς δὲ τὴν θυσίαν ταύτην, καὶ τὴν πανήγυριν πάντας τοὺς τεχνίτας συνήγαγεν· ἑστιῶν δ᾽ αὐτοὺς καὶ στεφανῶν τοὺς νενικηκότας ἤρετο Σάτυρον τουτονὶ τὸν κωμικὸν ὑποκριτήν· τί δὴ μόνος οὐδὲν ἐπαγγέλλεται; ἢ τίνα ἐν αὐτῷ μικροψυχίαν, ἢ πρὸς αὐτὸν ἀηδίαν ἐνεωρακὼς εἴη; εἰπεῖν δέ φασι τὸν Σάτυρον, ὅτι ὧν μὲν οἱ ἄλλοι δέονται, οὐδενὸς ὢν ἐν χρείᾳ τυγχάνει· ἃ δ᾽ ἂν αὐτὸς ἐπαγγείλαιτο ἡδέως, ῥᾷστα μὲν ἐστι Φιλίππῳ δοῦναι, καὶ χαρίσασθαι πάντων, δεδοικέναι δέ, μὴ διαμάρτῃ· κελεύσαντος δ᾽ ἐκείνου λέγειν, καί τι καὶ νεανιευσαμένου τοιοῦτον ὡς οὐδὲν ὅ, τι οὐ ποιήσει, εἰπεῖν αὐτόν φασι, ὅτι ἦν αὐτῷ Ἀπολλοφάνης ὁ Πυδναῖος ξένος, καὶ φίλος· ἐπειδὴ δὲ δολοφονηθεὶς ἐτελεύτησεν ἐκεῖνος, φοβηθέντες οἱ συγγενεῖς αὐτοῦ ὑπεξέθεντο τὰς θυγατέρας παιδία ὄντα εἰς Ὄλυνθον· αὗται νῦν, ἔφη, τῆς πόλεως ἁλούσης αἰχμάλωτοι γεγόνασι, καὶ εἰσὶ παρὰ σοί, ἡλικίαν ἔχουσαι γάμου· ταύτας αἰτῶ σε καὶ δέομαι, δός μοι· βούλομαι δέ σε ἀκοῦσαι καὶ μαθεῖν, οἵαν μοι δώσεις δωρεάν, * ἐὰν ἄρα δῷς, ἀφ᾽ ἧς ἐγὼ κερδανῶ μὲν οὐδέν, προῖκα δὲ προσθεὶς ἐκδώσω, καὶ οὐ περιόψομαι παθούσας οὐδὲν ἀνάξιον, οὔθ᾽ ἡμῶν, οὔτε τοῦ πατρός· ὡς δὲ ἀκοῦσαι τοὺς παρόντας ἐν τῷ συμποσίῳ, τοσοῦτον κρό-

κρότον, καὶ ἔπαινον, καὶ θόρυβον παρὰ πάντων γενέσθαι, ὥστε τὸν Φίλιππον παθεῖν τι, καὶ δοῦναι· καίτοι τῶν ἀποκτεινάντων ἦν Ἀλέξανδρον τὸν ἀδελφὸν τοῦ Φιλίππου οὗτος ὁ Ἀπολλοφάνης. Ἐξετάσωμεν δὴ πρὸς τὸ τοῦ Σατύρου τούτου συμπόσιον, ἕτερον συμπόσιον τὸ τούτων ἐν Μακεδονίᾳ γενόμενον, καὶ θεάσασθαι εἰ παραπλήσιον τούτῳ, καὶ ὅμοιον· κληθέντες γὰρ οὗτοι πρὸς Ξενόφρονα τὸν υἱὸν τοῦ Φαιδίμου τοῦ τῶν τριάκοντα, ᾤχοντο· ἐγὼ δὲ οὐκ ἐπορεύθην· ἐπειδὴ δὲ ἧκον εἰς τὸ πίνειν, εἰσάγει τινὰ Ὀλυνθίαν γυναῖκα, εὐπρεπῆ μὲν, ἐλευθέραν δὲ καὶ σώφρονα, ὡς τὸ τέλος ἐδήλωσε· ταύτην τὸ μὲν πρῶτον οὑτοσὶ πίνειν ἠνάγκαζον ἡσυχῇ, καὶ τρώγειν οὗτοι, μοι δοκεῖν, ὡς διηγεῖτο Ἰατροκλῆς ἐμοὶ τῇ ὑστεραίᾳ· ὡς δὲ προῄει τὸ πρᾶγμα, καὶ διεθερμαίνοντο, κατακλίνεσθαι, καί τι καὶ ᾄδειν ἐκέλευον· ἀδημονούσης δὲ τῆς ἀνθρώπου, καὶ οὔτε ἐθελούσης, οὔτε ἐπισταμένης, ὕβριν τὸ πρᾶγμα ἔφασκεν οὑτοσὶ καὶ ὁ Φρύνων, καὶ οὐκ ἀνεκτὸν εἶναι τὴν θεοῖς ἐχθρῶν τε, καὶ ἀλιτηρίων Ὀλυνθίων αἰχμάλωτον οὖσαν τρυφᾶν· καὶ κάλει παῖδα, καὶ ἱμάντα τις φερέτω· ἧκεν οἰκέτης ἔχων ῥυτῆρα, καὶ πεπωκότων οἶμαι, καὶ μικρῶν ὄντων τῶν παροξυνόντων, εἰπούσης τι, καὶ δακρυσάσης ἐκείνης, περιρρήξας τὸν χιτωνίσκον ὁ οἰκέτης ξαίνει κατὰ τοῦ νώτου πολλάς· ἔξω δ' αὑτῆς οὖσα ὑπὸ τοῦ κακοῦ, καὶ τοῦ πράγματος ἡ γυνὴ, ἀναπηδήσασα προσπίπτει πρὸς τὰ γόνατα τῷ Ἰατροκλεῖ, καὶ τὴν τράπεζαν ἀνατρέπει, καὶ εἰ μὴ ἐκεῖνος ἀφείλετο, ἀπώλετ' ἂν παροινουμένη· καὶ γὰρ ἡ παροινία τοῦ καθάρματος τουτουῒ, δεινή· καὶ περὶ ταύτης τῆς ἀνθρώπου, καὶ ἐν Ἀρκαδίᾳ λόγος ἦν ἐν τοῖς μυρίοις, καὶ Διόφαντος ἐν ὑμῖν ἀπήγγειλε, ἃ νῦν μαρτυρεῖν αὐτὸν ἀναγκάσω, καὶ κατὰ Θετταλίαν πολὺς λόγος, καὶ πανταχοῦ· καὶ τοιαῦτα συνειδὼς ἑαυτῷ πεπραγμένα ὁ ἀκάθαρτος οὑτοσὶ τολμήσει βλέπειν εἰς ὑμᾶς; καὶ τὸν βεβιωμένον αὐτῷ βίον, αὐτίκα δὴ μάλα ἐρεῖ λαμπρᾷ τῇ φωνῇ; ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι· οὐκ ἴσασιν οὗτοι, τὸ μὲν ἐξ ἀρχῆς τὰς βίβλους ἀναγινώσκοντά σε τῇ μητρὶ τελούσῃ, καὶ παῖδα ὄντα ἐν θιάσοις καὶ μεθύουσιν ἀνθρώποις καλινδούμενον; μετὰ ταῦτα δὲ ταῖς ἀρχαῖς ὑπογραμματεύοντα, καὶ δυοῖν, ἢ τριῶν δραχμῶν πονηρὸν ὄντα; τελευταῖα δὲ ἔναγχος χο-

ρηγίοις

χορηγίοις ἀλλοτρίοις ἐπὶ τῷ τριταγωνιστεῖν ἀγαπητῶς διατρεφόμενον; ποῖον ἂν εἴποις βίον, ὃν οὐ βεβίωκας, ἐπεὶ ὅν γε βεβιωμένος σοι πιστὸς φαίνεται· ἀλλὰ δὴ τὴν ἐξουσίαν· οὗτος ἄλλον ἔκρινε παρ' ὑμῖν ἐπὶ πορνείᾳ· ἀλλὰ μή πω ταῦτα, ἀλλὰ τὰς μαρτυρίας μοι λέγε πρῶτον ταυτασί.

Μαρτυρίαι. Τοσούτων τοίνυν καὶ τοιούτων ὄντων, ὦ ἄνδρες δικασταί, ὧν ἀδικῶν ὑμᾶς ἐξελήλεγκται, ὧν εἰς τί κακὸν οὐκ ἔνι; δωροδόκος, κόλαξ, ταῖς ἀραῖς ἔνοχος, ψεύστης, τῶν φίλων προδότης, πάντα ἔνεστι τὰ δεινότατα, πρὸς οὐδὲν οὐδὲ τούτων ἀπολογήσεται· οὐδ' ἔχει δικαίαν οὐδ' ἁπλῆν εἰπεῖν ἀπολογίαν οὐδεμίαν· ἃ δ' ἐγὼ πέπυσμαι μέλλειν αὐτὸν λέγειν, ἐστὶ μὲν ἐγγυτάτω μανίας· οὐ μὴν, ἀλλ' ἴσως τῷ μηδὲν ἔχοντι δίκαιον ἄλλο εἰπεῖν, ἀνάγκη πάντα μηχανᾶσθαι· ἀκούω γὰρ αὐτὸν ἐρεῖν, ὡς ἄρα ἐγὼ πάντων ὧν κατηγορῶ, κοινωνὸς γέγονα, καὶ συνήρεσκέ ποτέ μοι, καὶ συνέπραττον αὐτῷ, ἔπειτα ἐξαίφνης μεταβέβλημαι καὶ κατηγορῶ· ἔστι δὲ ὑπὲρ μὲν τῶν πεπραγμένων οὔτε δικαία, οὔτε προσήκουσα ἡ τοιαύτη ἀπολογία, ἐμοῦ μέντοι τις κατηγορία· ἐγὼ μὲν γὰρ εἰ ταῦτα πεποίηκα, φαῦλός εἰμι ἄνθρωπος, τὰ δὲ πράγματα οὐδὲν βελτίω διὰ τοῦτο, οὐδὲ πολλοῦ δεῖ, οὐ μὴν ἀλλ' ἔγωγε οἶμαί μοι προσήκειν ἀμφότερα ὑμῖν ἐπιδεῖξαι, καὶ ὅτι ψεύσεται, ταῦτα ἐὰν λέγῃ, καὶ τὴν δικαίαν ἥτις ἐστὶν ἀπολογία, φράσεται· ἡ μὲν τοίνυν δικαία καὶ ἁπλῆ, ἢ ὡς οὐ πέπρακται τὰ κατηγορημένα δεῖξαι, ἢ ὡς πεπραγμένα συμφέρει τῇ πόλει· τούτων δ' οὐδέτερον δύναιτ' ἂν οὗτος ποιῆσαι· οὔτε γὰρ ὡς συμφέρει δήπου Φωκέας ἀπολωλέναι, καὶ Πύλας Φίλιππον ἔχειν, καὶ Θηβαίους ἰσχύειν, καὶ ἐν Εὐβοίᾳ στρατιώτας εἶναι, καὶ Μεγάροις ἐπιβουλεύειν, καὶ ἀνώμοτον εἶναι τὴν εἰρήνην, λέγειν αὐτῷ ἔνεστιν, οἷς τότε τἀναντία ἀπήγγελλε πρὸς ὑμᾶς, ὡς συμφέροντα καὶ γενησόμενα, οὔτε ὡς οὐ πέπρακται ταῦτα, δυνήσεται πεῖσαι τοὺς αὐτοὺς ἑωρακότας ὑμᾶς καὶ εὖ εἰδότας· οὐκοῦν ὡς οὐ κεκοινώνηκα τούτοις μηδενὸς, λοιπόν μοι δεῖξαι· βούλεσθε οὖν πάντα τὰ ἄλλα ἀφεὶς, ἃ παρ' ὑμῖν ἀντεῖπον, ἃ ἐν τῇ ἀποδημίᾳ προὔκρουον, ὡς ἅπαντα τὸν χρόνον ἠναντιούμην, αὐτοὺς παράσχωμαι μάρτυρας τουτουσί, ὡς πάντα τἀναντία ἐμοὶ, καὶ τα-

τούτοις πέπρακται, καὶ χρήματα οὗτοι μὲν ἔχουσιν ἐφ' ὑμῖν, ἐγὼ δ' οὐκ ἠθέλησα λαβεῖν; θεάσασθε δή· τίνα τῶν ἐν τῇ πόλει φήσαιτ' ἂν βδελυρώτατον εἶναι, καὶ πλείστης ὀλιγωρίας καὶ ἀναιδείας μεστόν· οὐδεὶς οὐδ' ἂν ἁμαρτὼν ὑμῶν ἄλλον εὖ οἶδ' ὅτι φήσειεν ἢ Φιλοκράτην· τίνα δὲ φθέγγεσθαι μέγιστον ἁπάντων, καὶ σαφέστατ' ἂν εἰπεῖν ὅ, τι βούλοιτο τῇ φωνῇ; Αἰσχίνην οἶδ' ὅτι τουτονί· τίνα δ' οὗτοι μὲν ἄτολμον καὶ δειλὸν πρὸς τοὺς ὄχλους φασίν, ἐγὼ δ' εὐλαβῆ; ἐμέ· οὐδὲν γὰρ πώποτ' οὔτ' ἠνώχλησα, οὔτε μὴ βουλομένους ὑμᾶς βεβίασμαι· οὐκοῦν ἐν πάσαις ταῖς ἐκκλησίαις, ὁσάκις λόγος γέγονε περὶ τούτων, καὶ κατηγοροῦντος ἀκούετέ μου, καὶ ἐλέγχοντος ἀεὶ τούτους, καὶ λέγοντος ἄντικρυς, ὅτι χρήματα εἰλήφασι, καὶ πάντα πεπράκασι τὰ πράγματα τῆς πόλεως· καὶ τούτων οὐδεὶς πώποτ' ἀκούων ταῦτα ἀντεῖπεν, οὐδὲ διῆρε τὸ στόμα, οὐδ' ἔδειξεν ἑαυτόν· τί ποτ' οὖν ἐστι τὸ αἴτιον; ὅτι οἱ βδελυρώτατοι πάντων τῶν ἐν τῇ πόλει καὶ μέγιστον φθεγγόμενοι, τοῦ καὶ ἀτολμοτάτου πάντων ἐμοῦ, καὶ οὐδενὸς μεῖζον φθεγγομένου τοσοῦτον ἡττῶνται; ὅτι τἀληθές ἰσχυρόν ἐστι, καὶ τοὐναντίον ἀσθενές· τὸ συνειδέναι πεπρακόσιν ἑαυτοῖς τὰ πράγματα τοῦτο παραιρεῖται τὴν θρασύτητα τὴν τούτων, τοῦτο ἀποστρέφει τὴν γλῶτταν, ἐμφράττει τὸ στόμα, ἄγχει, σιωπᾶν ποιεῖ· τὸ τοίνυν τελευταῖον, ἴστε δήπου πρώην ἐν Πειραιεῖ, ὅτ' αὐτὸν οὐκ εἰᾶτε πρεσβεύειν, βοῶντα ὡς εἰσαγγελεῖ με, καὶ γράψεται, καὶ ἰοὺ ἰού· καί τοι, ταῦτα μέν ἐστι μακρῶν, καὶ πολλῶν ἀγώνων καὶ λόγων ἀρχή, ἐκεῖνα δὲ ἁπλᾶ, καὶ δύο ἢ τρία ἴσως ῥήματα, ἃ κἂν ἐχθὲς ἐωνημένος ἄνθρωπος εἰπεῖν ἠδυνήθη, ἄνδρες Ἀθηναῖοι, τουτὶ τὸ πρᾶγμα πάνδεινόν ἐστιν· οὑτοσὶ κατηγορεῖ ταῦτα ἐμοῦ, ὧν αὐτὸς κοινωνὸς γέγονε· καὶ χρήματα εἰληφέναι φησὶν ἐμέ, αὐτὸς εἰληφὼς, ἢ μετειληφώς· τούτων μὲν τοίνυν οὐδὲν εἶπεν, οὐδ' ἐφθέγξατο, οὐδ' ἤκουσεν ὑμῶν οὐδείς· ἄλλα δὲ ἠπείλει· διὰ τί; ὅτι ταῦτα μὲν αὑτῷ συνῄδει πεπραγμένα, καὶ δοῦλος ἦν τῶν ῥημάτων τούτων· οὔκουν προσῄει πρὸς ταῦθ' ἡ διάνοια, ἀλλ' ἀνεδύετο· ἐπελαμβάνετο γὰρ αὐτοῖς τὸ συνειδέναι· λοιδορεῖσθαι δὲ ἄλλα ἅττα οὐδεὶς ἐκώλυεν αὐτόν, οὐδὲ βλασφημεῖν. Ὃ τοίνυν μέγιστον ἁπάντων, καὶ οὐ λόγος, ἀλλ' ἔργον ἤδη· βουλομένου γὰρ ἐμοῦ τὰ

δί-

δίκαια ὥσπερ ἐπρέσβευσα δὶς, οὕτω καὶ λόγον ὑμῖν δοῦναι δὶς, προσελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς λογισταῖς, ἔχων μάρτυρας πολλοὺς, ἀπηγόρευε μὴ καλεῖν ἐμὲ εἰς τὸ δικαστήριον, ὡς δεδωκότα εὐθύνας, καὶ οὐκ ὄντα ὑπεύθυνον· καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον· τί οὖν ἦν τοῦτο; τῆς προτέρας ἐκείνης πρεσβείας, ἧς οὐδεὶς κατηγόρει δοὺς λόγον οὐκ ἐβούλετο αὖθις εἰσιέναι περὶ ταύτης, ἧς νῦν εἰσέρχεται, ἐν ᾗ πάντα τὰ ἀδικήματα ἐνῆν· ἐκ δὲ τοῦ δὶς ἐμὲ εἰσελθεῖν ἀνάγκη περιΐστατο καὶ τούτῳ πάλιν εἰσιέναι· διὰ ταῦτα οὐκ εἴα καλεῖν· καί τοι τοῦτο τὸ ἔργον, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερ' ὑμῖν ἐπιδείκνυσι σαφῶς καὶ κατεγνωκότα ἑαυτοῦ τοῦτον, ὥστε μηδενὶ νῦν ὑμῶν εὐσεβῶς ἔχειν ἀποψηφίσασθαι αὐτοῦ, καὶ μηδὲν ἀληθὲς ἐροῦντα περὶ ἐμοῦ· εἰ γὰρ εἶχε, τότ' ἂν καὶ λέγων, καὶ κατηγορῶν ἐξητάζετο· οὐ μὰ Δία οὐκ ἀπηγόρευε καλεῖν· ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας. Ἀλλὰ μὴν, ἐάν γέ τι ἔξω τῆς πρεσβείας βλασφημῇ περὶ ἐμοῦ κατὰ πολλὰ, οὐκ ἂν εἰκότως ἀκούοιτε αὐτοῦ· οὐ γὰρ ἐγὼ κρίνομαι τήμερον, οὐδ' ἐγχεῖ μετὰ ταῦθ' ὕδωρ οὐδεὶς ἐμοί· τί οὖν ἐστι ταῦτα, πλὴν δικαίων λόγων ἀπορία; τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο κρινόμενος, ἔχων ὅ, τι ἀπολογήσεται· ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες δικασταὶ, εἰ ἐκρινόμην μὲν ἐγὼ, κατηγόρει δὲ Αἰσχίνης οὑτοσὶ, Φίλιππος δ' ἦν ὁ κρίνων, εἶτα ἐγὼ μηδὲν ἔχων εἰπεῖν ὡς οὐκ ἀδικῶ, κακῶς ἔλεγον τουτονὶ, καὶ προπηλακίζειν ἐπεχείρουν, οὐκ ἂν οἴεσθε καὶ κατ' αὐτὸ τοῦτο ἀγανακτῆσαι τὸν Φίλιππον, εἰ παρ' ἐκείνῳ τοὺς ἐκείνου τις εὐεργέτας κακῶς λέγει; μὴ τοίνυν ὑμεῖς χείρους γένησθε Φιλίππου, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζεται, περὶ τούτων ἀναγκάζετε ἀπολογεῖσθαι. Λέγε μοι τὴν μαρτυρίαν.

Μαρτυρία. Οὐκοῦν ἐγὼ μὲν ἐκ τοῦ μηδὲν ἐμαυτῷ συνειδέναι δεινὸν καὶ λόγον διδόναι, καὶ πάντα τὰ ἐκ τῶν νόμων ὑπέχειν ᾤμην δεῖν· οὑτοσὶ δὲ τἀναντία· πῶς οὖν ταὐτὰ ἐμοὶ καὶ τούτῳ ταῦτα πέπρακται; ἢ πῶς ἔνεστι τούτῳ ταῦτα πρὸς ὑμᾶς λέγειν, ἃ μηδ' ᾐτιάσατο πρότερον πώποτε; οὐδαμῶς δήπου· ἀλλ' ὅμως ἐρεῖ, καὶ νὴ Δί' εἰκότως γε· ἴστε γὰρ δήπου τοῦθ' ὅτι, ἀφ' οὗ γεγόνασιν ἄνθρωποι, καὶ κρίσεις γίνονται, οὐδεὶς πώποτ'.

ποθ' ὁμολογῶν ἀδικεῖν ἑάλω, ἀλλ' ἀναισχυντοῦσιν, ἀρ-
νοῦνται, ψεύδονται, προφάσεις πλάττονται, πάντα
ποιοῦσιν, ὑπὲρ τοῦ μὴ δοῦναι δίκην· ὧν οὐδενὶ δεῖ πα-
ρακρουσθῆναι τήμερον ὑμᾶς, ἀλλ' ἀφ' ὧν ἴστε αὐτοί,
τὰ πράγματα κρῖναι, μὴ τοῖς ἐμοῖς λόγοις, μηδὲ
τοῖς τούτου προσέχειν, μὴ δέ γε τοῖς μάρτυσιν, οὓς οὗ-
τος ἑτοίμους ἕξει μαρτυρεῖν ὅ τι ἂν, Φιλίππῳ χορηγῷ
χρώμενος· ὄψεσθε δ' ὡς ἑτοίμως αὐτῷ μαρτυρήσουσι·
μηδὲ γε εἰ καλὸν καὶ μέγα οὗτος φθέγξεται, μη-
δ' εἰ φαῦλον ἐγώ· οὐ γὰρ ῥητόρων, οὐδὲ λόγων κρίσιν
ὑμᾶς τήμερον, εἴπερ εὖ φρονεῖτε, προσήκει ποιεῖν, ἀλλ'
ὑπὲρ πραγμάτων αἰσχρῶς καὶ δεινῶς ἀπολωλότων, τὴν
ὑπάρχουσαν αἰσχύνην εἰς τοὺς αἰτίους ἀπώσασθαι, τὰ
πεπραγμένα ἅπαντες ἐπίστασθε ἐξετάσαντες· τίνα
οὖν ἐστι ταῦτα, ἃ ὑμεῖς ἴστε, καὶ οὐ παρ' ἡμῶν ὑμᾶς ἀ-
κούσεσθαι δεῖ· εἰ μὲν γὰρ ἅπαντα ὅσα ὑπέσχεθ' ὑμῖν
ἐκ τῆς εἰρήνης γέγονε, καὶ τοσαύτης ἀνανδρίας, καὶ κα-
κίας ὁμολογεῖτε ὑμεῖς εἶναι μεστοί, ὥστε μήτε ἐν τῇ
χώρᾳ τῶν πολεμίων ὄντων, μήτε ἐκ θαλάττης πο-
λιορκούμενοι, μήτε ἐν ἄλλῳ μηδενὶ δεινῷ τῆς πόλεως
οὔσης, ἀλλὰ καὶ σῖτον εὔωνον ὠνούμενοι, καὶ τὰ ἄλλα οὐ-
δὲν χεῖρον πράττοντες ἢ νῦν προειδότες καὶ προακηκοό-
τες παρὰ τούτων, καὶ τοὺς συμμάχους ἀπολουμένους, καὶ
Θηβαίους ἰσχυροὺς γενησομένους, καὶ τὰ ἐπὶ Θρᾴκης Φί-
λιππον ληψόμενον, καὶ ἐν Εὐβοίᾳ κατασκευασθησόμε-
να ὁρμητήρια ἐφ' ὑμᾶς, καὶ πάντα ἃ πέπρακται γε-
νησόμενα, εἶτα τὴν εἰρήνην ἐποιήσασθε ἀγαπητῶς,
ἀποψηφίσασθε Αἰσχίνου, καὶ μὴ πρὸς τοσούτοις αἰσ-
χροῖς, καὶ ἐπιορκίαν προσκτήσησθε· οὐδὲν γὰρ ὑμᾶς ἀ-
δικεῖ, ἀλλ' ἐγὼ μαίνομαι καὶ τετύφωμαι νῦν κατηγορῶν
αὐτοῦ· εἰ δ' ἅπαντα τἀναντία τούτων, καὶ πολλὰ καὶ φιλάν-
θρωπα εἰπόντες, Φίλιππον φιλεῖν τὴν πόλιν, Φωκέας σώ-
σειν, Θηβαίους παύσειν τῆς ὕβρεως, ἔτι πρὸς τούτοις
μείζονα, ἢ κατ' Ἀμφίπολιν εὖ ποιήσειν ὑμᾶς ἂν τύ-
χῃ τῆς εἰρήνης, Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν, εἰ ταῦτ'
εἰπόντες καὶ ὑποσχόμενοι πάντα ἐξηπατήκασι, καὶ
πεφενακίκασι, καὶ μόνον οὐ τὴν Ἀττικὴν ὑμῶν περιῄ-
ρηνται, καταψηφίσασθε· καὶ μὴ πρὸς τοῖς ἄλλοις
οἷς ὕβρισθε· οὐ γὰρ ἔγωγ' οἶδ' ὅτι χρὴ λέγειν ἄλλο,
καὶ ὑπὲρ ὧν οὗτοι δεδωροδοκήκασι, ὑμεῖς τὴν ἀρὰν καὶ
τὴν ἐπιορκίαν οἴκαδε ἀπενέγκησθε. ἔτι τοίνυν κἀ-

κεῖνο

κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τίνος ἕνεκα ἐγὼ μηδὲν ἠδικηκότων τούτων κατηγορεῖν ἂν προῃρούμην; οὐ γὰρ εὑρήσετε· ἡδὺ πολλοὺς ἐχθροὺς ἔχειν; οὐδ' αὖ ἀσφαλές· ἀλλ' ὑπῆρχέ μοι πρὸς τοῦτον ἀπέχθειά τις; οὐδεμία· τί οὖν; ἐφοβοῦ περὶ σεαυτοῦ, καὶ διὰ δειλίαν ταύτην ἡγήσω σωτηρίαν; καὶ γὰρ ταῦτα ἀκήκοα αὐτὸν λέγειν· καίτοι μηδενὸς ὄντος Αἰσχίνη δεινοῦ, μηδὲ ἀδικήματος, ὡς σὺ φῄς· εἰ γὰρ αὖ ταῦτ' ἐρεῖ, σκοπεῖτε, ὦ ἄνδρες δικασταὶ, εἰ ἐφ' οἷς ὁ μηδοτιοῦν ἀδικῶν ἐφοβούμην ἐγὼ, μὴ διὰ τούτους ἀπόλωμαι· τί τούτους προσήκει παθεῖν τοὺς αὐτοὺς ἠδικηκότας; ἀλλ' οὐ διὰ ταῦτα, ἀλλὰ διὰ τί σου κατηγορῶ; συκοφαντῶ νὴ Δία, ἵνα ἀργύριον λάβω παρὰ σοῦ; καὶ πότερον κρεῖττον ἦν μοι παρὰ Φιλίππου λαβεῖν τοῦ διδόντος πολὺ, καὶ μηδενὸς τούτων ἔλαττον, καὶ φίλον κἀκεῖνον ἔχειν, καὶ τούτους, ἦσαν γὰρ ἂν ἦσάν μοι φίλοι τῶν αὐτῶν κεκοινωνηκότι· οὐδὲ γὰρ νῦν ἔχθραν πατρικὴν ἔχουσι πρὸς ἐμὲ, ἀλλ' ὅτι τῶν πεπραγμένων οὐ μετέσχηκα, ἢ παρὰ τούτων, ἀφ' ὧν εἰλήφασι μεταιτεῖν; κἀκείνῳ τε ἐχθρὸν εἶναι καὶ τούτοις; καὶ τοὺς μὲν αἰχμαλώτους ἐκ τῶν ἰδίων τοσούτων χρημάτων λύσασθαι, μικρὰ δ' ἀξιοῦν παρὰ τούτων αἰσχρῶς μετ' ἔχθρας λαμβάνειν; οὐκ ἔστι ταῦτα, ἀλλ' ἀπήγγειλα μὲν τἀληθῆ, καὶ ἀπεσχόμην τοῦ λαβεῖν, τοῦ δικαίου, καὶ τῆς ἀληθείας ἕνεκα, καὶ τοῦ λοιποῦ βίου, νομίζων ὥσπερ ἄλλοι τινὲς παρ' ὑμῖν, καὶ αὐτὸς ὢν ἐπιεικὴς τιμηθήσεσθαι, καὶ πλέον ἕξειν τῶν πολλῶν κατὰ τοῦτο, καὶ οὐκ ἀνταλλακτέον εἶναί μοι τὴν πρὸς ὑμᾶς φιλοτιμίαν, οὐδενὸς κέρδους· μισῶ δὲ τούτους, ὅτι μοχθηροὺς καὶ θεοῖς ἐχθροὺς εἶδον ἐν τῇ πρεσβείᾳ, καὶ ἀπεστέρημαι καὶ τῶν ἰδίων φιλοτιμιῶν διὰ τὴν τούτων δωροδοκίαν, πρὸς ὅλην δυσχερῶς ὑμῶν τὴν πρεσβείαν ἐσχηκότων· κατηγορῶ δὲ νυνὶ, καὶ ἐπὶ τὰς εὐθύνας ἥκω, τὸ μέλλον προορώμενος, καὶ βουλόμενος ἀγῶνι, καὶ δικαστηρίῳ διωρίσθαι παρ' ὑμῖν, ὅτι τἀναντία ἐμοὶ, καὶ τούτοις πέπρακται· καὶ δέδοικα δέδοικα (εἰρήσεται γὰρ, ὦ ἄνδρες δικασταὶ, πάντα, ἃ φρονῶ πρὸς ὑμᾶς) μὴ τότε μὲν τούτοις συνεπισπάσησθέ με τὸν μηδοτιοῦν ἀδικοῦντα, νῦν δ' ἀναπεπτωκότες ἦτε· παντάπασι γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐκλελύσθαι μοι δοκεῖτε, καὶ παθεῖν ἀναμένειν τὰ δεινά· ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ φυλάττεσθαι, οὐδὲ φροντίζειν τῆς πόλεως πάλαι

κατὰ τοὺς πολλοὺς, καὶ δεινοὺς τρόπους ἀδικουμένης, οὐκ οἴεσθε δεινὸν εἶναι καὶ ὑπερφυές· καὶ γὰρ εἴ τι σμικρὸν ἐγνώκειν, καὶ λέγειν ἐξάγομαι· ἴστε δήπου Πυθοκλέα τουτονὶ τὸν Πυθοδώρου, τούτῳ πάνυ φιλανθρώπως ἐκεχρήμην ἐγὼ, καὶ ἀηδὲς ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τὴν ἡμέραν ταύτην οὐδέν· οὗτος ἐκτρέπεταί με νῦν ἀπαντῶν, ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται· κἂν ἀναγκασθῇ που συντυχεῖν, ἀποπηδήσει εὐθέως, μή τις αὐτὸν ἴδῃ λαλοῦντα ἐμοί· μετὰ δὲ Αἰσχίνου περιέρχεται τὴν ἀγορὰν κύκλῳ, καὶ βουλεύεται, καὶ σκοπεῖ· οὐκοῦν δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον, τοῖς μὲν τὰ Φιλίππου πράγματα ᾑρημένοις θεραπεύειν, οὕτως ἀκριβῆ τὴν παρ' ἐκείνου πρὸς ἑκάτερα αἴσθησιν ὑπάρχειν, ὥστε ἕκαστον ὥσπερανεὶ παρεστηκότος αὐτοῦ, μηδ' ὧν ἂν ἐνθάδε πράξῃ, μηδὲν ἡγεῖσθαι λήσειν, ἀλλὰ φίλους τε νομίζειν, οὓς ἂν ἐκείνῳ δοκῇ, καὶ μὴ φίλους ὡσαύτως, τοῖς δὲ πρὸς ὑμᾶς ζῶσι, καὶ τῆς παρ' ὑμῶν τιμῆς γλιχομένοις, καὶ μὴ προδεδωκόσι ταύτην τοσαύτην κωφότητα, καὶ τοσοῦτο σκότος παρ' ὑμῶν ἀπαντᾶν, ὥστε τοῖς ἀλιτηρίοις τούτοις ἐξ ἴσου νῦν ἐμὲ ἀγωνίζεσθαι· καὶ ταῦτα παρ' ὑμῖν τοῖς ἅπαντα εἰδόσι· βούλεσθε οὖν εἰδέναι καὶ ἀκοῦσαι τὸ τούτων αἴτιον; ἐγὼ δὴ φράσω· ἀξιῶ δὲ μηδένα ἄχθεσθαί μοι λέγοντι τἀληθῆ, ὅτι ἐκεῖνος μὲν ἓν οἶμαι σῶμα ἔχων καὶ ψυχὴν μίαν παντὶ θυμῷ καὶ φιλεῖ τοὺς ἑαυτὸν εὖ ποιοῦντας, καὶ μισεῖ τοὺς τἀναντία· ὑμῶν δὲ ἕκαστος, πρῶτον μὲν οὔτε τὸν εὖ ποιοῦντα τὴν πόλιν αὐτὸν εὖ ποιεῖν ἡγεῖται, οὔτε τὸν κακῶς, ἀλλ' ἕτερά ἐστιν ἑκάστῳ προυργιαίτερα, ὑφ' ὧν παράγεσθε πολλάκις, ἔλεος, φθόνος, ὀργὴ, χαρίζεσθαι τῷ δεηθέντι, ἄλλα μυρία· ἂν γὰρ ἅπαντά τις ἐκφύγῃ τἆλλα, τούς γε οὐδένα βουλομένους εἶναι τοιοῦτον, οὐκ ἐκφεύξεται· ἡ δ' ἐφ' ἑκάστου τούτων ἁμαρτία κατὰ μικρὸν ὑπορρέουσα, ἀθρόως τῇ πόλει βλάβη γίνεται· ὧν μηδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, πάθητε τήμερον, μηδ' ἀφῆτε τοῦτον, ὃς ὑμᾶς τηλικαῦτα ἠδίκηκε· καὶ γὰρ ὡς ἀληθῶς τίς ἔσται λόγος περὶ ὑμῶν, εἰ τοῦτον ἀφήσετε; Ἀθήνηθεν ἐπρέσβευσάν τινες ὡς Φίλιππον τουτονὶ, Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης· τί οὖν; ὁ μὲν πρὸς τῷ μηδὲν ἐκ τῆς πρεσβείας λαβεῖν, τοὺς αἰχμαλώτας ἐκ τῶν ἰδίων ἐλύσατο, ὁ δὲ ὧν τὰ τῆς πόλεως πράγματα χρημά-

των

των ἀπέδοτο, τούτων πόρνας ἠγόραζε καὶ ἰχθῦς περιῄει· καὶ ὁ μὲν τὸν υἱὸν ἔπεμψε Φιλίππῳ πρὶν εἰς ἄνδρας ἐγγράψαι, ὁ μιαρὸς Φρυνών, ὁ δ᾽ οὐδὲν ἀνάξιον οὔτε τῆς πόλεως, οὔτε αὑτοῦ διεπράξατο, καὶ ὁ μὲν χορηγῶν καὶ τριηραρχῶν ἔτι καὶ ταῦτ᾽ ᾤετο δεῖν ἐθελοντὴς ἀναλίσκειν. λύσασθαι τοὺς αἰχμαλώτους, μηδένα ἐν συμφορᾷ τῶν πολιτῶν δι᾽ ἔνδειαν περιορᾶν· ὁ δὲ, τοσούτου δεῖ τῶν ὑπαρχόντων τινὰ αἰχμάλωτον σῶσαι, ὥσθ᾽ ὅλον τόπον, καὶ πλείους ἢ μυρίους μὲν ὁπλίτας, ὁμοῦ δὲ πλείους ἢ χιλίους ἱππέας τῶν ὑπαρχόντων συμμάχων, ὅπως αἰχμάλωτοι γένωνται Φιλίππῳ, συμπαρεσκεύασε· τί οὖν μετὰ ταῦτα; Ἀθηναῖοι λαβόντες, ᾔδεσαν μὲν γὰρ πάλαι· τί δέ; τοὺς μὲν χρήματα εἰληφότας καὶ δῶρα, καὶ καταισχύναντας ἑαυτοὺς, τὴν πόλιν, τοὺς ἑαυτῶν παῖδας ἀφίεσαν, καὶ νοῦν ἔχειν ἡγοῦντο, καὶ τὴν πόλιν εὐθηνεῖσθαι· τὸν δὲ κατηγοροῦντα τί; ἐμβεβροντῆσθαι, τὴν πόλιν ἀγνοεῖν, οὐκ ἔχειν ὅποι τὰ ἑαυτοῦ ῥίπτει· καὶ τίς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ἰδὼν τὸ παράδειγμα, δίκαιον αὑτὸν παρασχεῖν ἐθελήσει; τίς προῖκα πρεσβεύειν; εἰ μήτε λαβεῖν, μήτε τῶν εἰληφότων ἀξιοπιστότερον παρ᾽ ὑμῖν εἶναι δοκεῖν ὑπάρξει; ὥστε οὐ μόνον κρίνετε τούτους τήμερον, οὔ· ἀλλὰ καὶ νόμον τούτοις τίθεσθε εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον, πότερον χρημάτων αἰσχρῶς ὑπὲρ τῶν ἐχθρῶν πρεσβεύειν ἅπαντας προσήκει, ἢ προῖκα ὑπὲρ ὑμῶν τὰ βέλτιστα ἀδωροδοκήτως· ἀλλὰ μὴν περὶ μὲν τῶν ἄλλων, οὐδενὸς προσδεῖσθε μάρτυρος· ὡς δὲ τὸν υἱὸν ἔπεμψεν ὁ Φρυνών, κάλει μοι τούτου τοὺς μάρτυρας.

Μάρτυρες. Τοῦτον μὲν τοίνυν οὐκ ἔκρινεν Αἰσχίνης, ὅτι τὸν αὑτοῦ παῖδα ἐπ᾽ αἰσχύνῃ πρὸς Φίλιππον ἔπεμψεν· εἰ δέ τις ὢν ἐφ᾽ ἡλικίας, τὴν ἰδέαν ἑτέρου βελτίων μὴ προϊδόμενος τὴν ἐξ ἐκείνης τῆς ὄψεως ὑποψίαν, ἰταμώτερον τῷ μετὰ ταῦτα ἐχρήσατο βίῳ, τοῦτον ὡς πεπορνευμένον κέκρικε· φέρε δὴ περὶ τῆς ἑστιάσεως καὶ τοῦ ψηφίσματος εἴπω· μικροῦ γε, ἃ μάλιστά με δεῖ πρὸς ὑμᾶς εἰπεῖν, παρῆλθον· τῆς πρώτης ἐκείνης πρεσβείας, γράφων τὸ προβούλευμα ἐγὼ, καὶ πάλιν ἐν τῷ δήμῳ ταῖς ἐκκλησίαις, ἐν αἷς ἐμέλλετε βουλεύεσθαι περὶ τῆς εἰρήνης, οὐδενὸς οὔτε λόγου πω παρὰ τούτων, οὔτ᾽ ἀδικήματος ὄντος φανεροῦ,

τὸν νόμον ἔθος ποιῶν, καὶ ἐπῄνεσα τούτους, καὶ εἰς τὸ πρυτανεῖον ἐκάλεσα· καὶ νὴ Δί' ἔγωγε, καὶ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ἐξένισα, καὶ πάνυ γε, ὦ ἄνδρες Ἀθηναῖοι, λαμπρῶς· ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς καὶ ἐπὶ τοῖς τοιούτοις ἐκεῖ σεμνυνομένους ὡς εὐδαίμονας καὶ λαμπρὰς, εὐθὺς ἡγούμην ἐν τούτοις πρῶτος αὐτὸς περιεῖναι δεῖν αὐτῶν, καὶ μεγαλοψυχότερος φαίνεσθαι· ταῦτα δὴ παρέξεται νῦν οὗτος λέγων, ὡς αὐτὸς ἐπῄνεσεν ἡμᾶς, καὶ αὐτὸς εἱστία τοὺς πρέσβεις, τὸ, πότε οὐ διορίζων· ἔστι δὲ ταῦτα πρὸ τοῦ τὴν πόλιν ἠδικῆσθαί τι, καὶ φανεροὺς τούτους πεπρακότας αὑτοὺς γενέσθαι, ὅτε ἄρτι μὲν ἧκον οἱ πρέσβεις τὸ πρῶτον, ἀκοῦσαι δὲ ἔδει τὸν δῆμον τί λέγουσι· οὐδέ πω δὲ οὐθ' οὗτος συνερῶν δῆλος ἦν τῷ Φιλοκράτει, οὔτ' ἐκεῖνος τοιαῦτα γράψων· ἂν δὴ ταῦτα λέγῃ, μέμνησθε τοὺς χρόνους, ὅτι τῶν ἀδικημάτων εἰσὶ πρότεροι· μετὰ ταῦτα δὲ, οὐδὲν ἐμοὶ πρὸς τούτους οἰκεῖον, οὐδὲ κοινὸν γέγονε· Λέγε τὴν μαρτυρίαν.

Μαρτυρία. Ἴσως τοίνυν ἀδελφὸς αὐτῷ συνερεῖ, Φιλοχάρης, καὶ Ἀφόβητος, πρὸς οὓς ἀμφοτέρους ὑμῖν, πολλὰ καὶ δίκαιά ἐστιν εἰπεῖν· ἀνάγκη δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, μετὰ παρρησίας διαλεχθῆναι, μηδὲν * ὑποστελλόμενον· ἡμεῖς Ἀφόβητε, καὶ σὺ Φιλόχαρες, ἴσμεν σὲ μὲν τὰς ἀλαβαστροθήκας γράφοντα, καὶ τὰ τύμπανα, τούτους δὲ γραμματέας καὶ τοὺς τυχόντας ἀνθρώπους· καὶ οὐδεμιᾶς κακίας ταῦτα, ἀλλ' οὐδὲ στρατηγίας γε ἄξια· πρεσβειῶν, στρατηγιῶν, τῶν μεγίστων τιμῶν ἠξιώσαμεν· εἰ τοίνυν μηδὲν ὑμῶν ἠδίκει μηδεὶς, οὐχ ἡμεῖς χάριν ὑμῖν οὐδενὸς, ἀλλ' ὑμεῖς ἡμῖν δικαίως ἂν ἔχοιτε τούτων· πολλοὺς γὰρ ὑμῶν μᾶλλον ἀξίους τιμᾶσθαι παρέντες, ἡμεῖς ὑμᾶς ἐσεμνύνομεν· εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς, οἷς ἐτιμᾶσθε, ἠδίκηκέ τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, πόσῳ μᾶλλον ἂν μισοῖσθε δικαίως, ἢ σώζοισθε; ἐγὼ μὲν οἶμαι, πολλῷ· βιάσονται τοίνυν ἴσως μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄντες, καὶ τὸ, * συγγνώμη ἀδελφῷ βοηθεῖν προσειληφότες· ὑμεῖς δὲ μὴ ἡττᾶσθε, ἐκεῖνο ἐνθυμούμενοι, ὅτι τούτοις καὶ τούτου προσήκει φροντίζειν, ὑμῖν δὲ τῶν νόμων, καὶ ὅλης τῆς πόλεως, καὶ παρὰ πάντα τῶν ὅρκων, οὓς αὐτοὶ κάθησθε ὀμωμοκότες· καὶ γὰρ εἴ τινων δεδέηνται τουτονὶ σώζειν, πότερ' ἂν μηδὲν ἀδικῶν φαίνηται τὴν πόλιν,

ἢ κἂν

ἢ κἂν ἀδικῶν, σκοπεῖτε· εἰ μὲν γὰρ μὴ ἀδικῶν, κἀγώ φημι δεῖν· εἰ δ' ὅλως κἂν ὁτιοῦν, ἐπιορκεῖν δεδέηται· οὐ γὰρ εἰ κρύβδην ἐστὶν ἡ ψῆφος, λήσει τοὺς θεούς· ἀλλὰ καὶ τοῦτο, καὶ πάντων ἄριστα ὁ θεὶς τὸν νόμον εἶδε, τὸ κρύβδην ψηφίζεσθαι· διὰ τί; ὅτι τούτων μὲν οὐδεὶς εἴσεται τὸν ἑαυτῷ κεχαρισμένον ὑμῶν· οἱ θεοὶ δὲ εἴσονται καὶ τὸ δαιμόνιον τὸν μὴ τὰ δίκαια ψηφισάμενον· παρ' ὧν κρεῖττόν ἐστιν ἑκάστῳ τὰς ἀγαθὰς ἐλπίδας τοῖς παισὶ καὶ ἑαυτῷ τὰ δίκαια γνόντα καὶ τὰ προσήκοντα περιποιήσασθαι, ἢ τὴν ἀφανῆ καὶ ἄδηλον χάριν τούτοις καταθέσθαι· καὶ ἀφεῖναι τοῦτον, ὃς αὐτὸς ἑαυτοῦ καταμεμαρτύρηκε· τίνα γὰρ Αἰσχίνη μάρτυρα μείζω παράσχωμαι τοῦ πολλὰ καὶ δεινὰ πεπρεσβεῦσθαί σοι, ἢ σὲ κατὰ σεαυτοῦ; ὃς γὰρ ᾠήθης χρῆναι τὸν φανερόν τι ποιῆσαι βουληθέντα τῶν σοὶ πεπρεσβευμένων, τηλικαύτῃ καὶ τοιαύτῃ συμφορᾷ περιβαλεῖν, δῆλοι ὅτι δεινὸν ἄν τι παθεῖν σαυτὸν ἤλπιζες, εἰ πύθοινθ' οὗτοι τὰ πεπραγμένα σοι· τοῦτο τοίνυν ἂν περ ὑμεῖς εὖ φρονῆτε, καθ' αὑτοῦ συμβέβηκε τούτῳ πεπρᾶχθαι· οὐ μόνον κατὰ τοῦθ' ὅτι παμμέγεθες σημεῖόν ἐστι τῶν πεπρεσβευμένων, ἀλλ' ὅτι καὶ κατηγορῶν ἐκείνους τοὺς λόγους εἶπεν, οἳ κατ' αὐτοῦ νῦν ὑπάρξουσιν· ἃ γὰρ ὥρισω σὺ δίκαια ὅτε Τίμαρχον ἔκρινες, ταῦτα δήπου. ταῦτα καὶ κατὰ σοῦ προσήκει τοῖς ἄλλοις ἰσχύειν· ἔλεγε τοίνυν τότε πρὸς τοὺς δικαστάς, ὅτι ἀπολογήσεται δὲ Δημοσθένης ὑπὲρ αὐτοῦ, καὶ κατηγορήσει τῶν ἐμοὶ πεπρεσβευμένων· εἶτα ἂν ὑμᾶς ἀπαγάγῃ τῷ λόγῳ, νεανιεύσεται, καὶ περιιὼν ἐρεῖ πῶς, τί; τοὺς δικαστὰς ἀπαγαγὼν ἀπὸ τῆς ὑποθέσεως, ᾠχόμην τὸ πρᾶγμα αὐτῶν ὑφελόμενος· μὴ σύ γε, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζῃ, ὑπὲρ τούτων ἀπολογοῦ· τότε δὲ ἡνίκα ἐκεῖνον ἔκρινες, ἐξῆν σοι κατηγορεῖν καὶ λέγειν ὅ, τι ἐβούλου· ἀλλὰ μὴν καὶ ἐπὶ τοῖς δικασταῖς ἔλεγες, οὐδένα μάρτυρα ἔχων, ἐφ' οἷς ἔκρινες τὸν ἄνθρωπον, παρασχέσθαι·

Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ
Λαοὶ φημίζουσι· θεός νύ τίς ἐστι καὶ αὐτή.

Οὐκοῦν Αἰσχίνη καὶ σὲ πάντες οὗτοι χρήματα ἐκ τῆς πρεσβείας φασὶν εἰληφέναι· ὥστε καὶ κατὰ σοῦ δήπουθεν, φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ λαοὶ φημίζουσι· ὅσῳ γὰρ αὖ σε πλείους ἢ ἐκεῖνον αἰτιῶνται,

θεώρησον ὡς ἔχει· τὸν μὲν Τίμαρχον οὐδ' οἱ πρόσχωροι πάντες ἐγίγνωσκον, ὑμᾶς δὲ τοὺς πρέσβεις οὐδεὶς Ἑλλήνων, οὐδὲ βαρβάρων ἐστὶν ὅς τις οὐ φησὶ χρήματα ἐκ τῆς πρεσβείας εἰληφέναι· ὥστ' εἴπερ ἀληθὴς ἡ φήμη, καὶ καθ' ὑμῶν ἐστιν ἡ παρὰ τῶν πολλῶν· ἣν ὅτι πιστὴν εἶναι δεῖ, καὶ θεός γέ τις ἐστι καὶ αὐτή· καὶ ὅτι σοφὸς ἦν ὁ ποιητὴς ὁ ταῦτα ποιήσας· σὺ διώρισας αὐτός· ἔτι τοίνυν ἰαμβεῖα δήπου συλλέξας ἐπέραινεν, οἷον.

Ὅς τις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ,
Οὐ πώποτ' ἠρώτησα, γιγνώσκων, ὅτι,
Τοιοῦτός ἐστιν οἷς περ ἥδεται ξυνών.

Εἶτα τὸν εἰς τὰς ὄρνεις εἰσιόντα, καὶ μετὰ πιτταλάκου περιιόντα, καὶ τοιαῦτ' εἰπών, ἀγνοεῖτ' ἔφη, ποῖόν τινα ἡγεῖσθαι δεῖ; οὐκοῦν Αἰσχίνη καὶ κατὰ σοῦ τὰ ἰαμβεῖα ταῦτ' ἁρμόσει νῦν ἐμοί· κἂν ἐγὼ λέγω πρὸς τούτους, ὀρθῶς καὶ προσηκόντως ἐρῶ· ὅς τις δ' ὁμιλῶν ἥδεται, καὶ ταῦτα πρεσβεύων Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα, γιγνώσκων, ὅτι ἀργύριον εἴληφεν οὗτος, ὥσπερ Φιλοκράτης ὁ ὁμολογῶν· λογογράφους τοίνυν καὶ σοφιστὰς ἀποκαλῶν τοὺς ἄλλους, καὶ ὑβρίζειν πειρώμενος, αὐτὸς ἐξελεγχθήσεται τούτοις ὢν ἔνοχος· ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖα, ἐκ Φοίνικός ἐστιν Εὐριπίδου· τοῦτο δὲ τὸ δρᾶμα οὐδεπώποτε, οὔτε Θεόδωρος, οὔτε Ἀριστόδημος ὑπεκρίναντο· οἷς οὗτος τὰ τρίτα λέγων διετέλεσεν, ἀλλὰ Μόλων ἠγωνίζετο, καὶ εἰ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν· Ἀντιγόνην δὲ Σοφοκλέους πολλάκις μὲν Θεόδωρος, πολλάκις δὲ Ἀριστόδημος ὑποκέκριται, ἐν ᾗ πεποιημένα ἰαμβεῖα καλῶς καὶ συμφερόντως ὑμῖν πολλάκις οὗτος εἰρηκώς, καὶ ἀκριβῶς ἐξεπιστάμενος, παρέλιπεν· ἴστε γὰρ δήπου τοῦθ' ὅτι ἐν πᾶσι τοῖς δράμασι τοῖς τραγικοῖς ἐξαίρετόν ἐστιν ὥσπερ γέρας τι τοῖς τριταγωνισταῖς, τὸ τοὺς τυράννους, καὶ τοὺς τὰ σκῆπτρα ἔχοντας εἰσιέναι· ταῦτα τοίνυν ἐν τῷ δράματι τούτῳ σκέψασθε, ὁ Κρέων Αἰσχίνης οἷα λέγων πεποίηται τῷ ποιητῇ· ἃ οὔτε πρὸς αὐτὸν οὗτος ὑπὲρ τῆς πρεσβείας διελέχθη, οὔτε πρὸς τοὺς δικαστὰς εἶπε. Λέγε.

# ΙΑΜΒΕΙΑ ΣΟΦΟΚΛΕΟΥΣ,

## ΕΞ ΑΝΤΙΓΟΝΗΣ.

Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
Ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
Ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ·
Ἐμοὶ γὰρ ὅς τις πᾶσαν εὐθύνων πόλιν,
Μὴ τῶν ἀρίςων ἅπτεται βουλευμάτων,
Ἀλλ' ἐκ φόβου του γλῶσσαν ἐγκλείσας ἔχει,
Κάκιςος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ·
Καὶ μείζον' ὅς τις ἀντὶ τῆς αὑτοῦ πάτρας
Φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω.
Ἐγὼ γὰρ, ἴςω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεὶ,
Οὔτ' ἂν σιωπήσαιμι τὴν ἄτην ὁρῶν
Στείχουσαν ἀςοῖς ἀντὶ τῆς σωτηρίας,
Οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς
Θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
Ἥδ' ἐςὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι
Πλέοντες ὀρθῆς τοὺς φίλους ποιούμεθα.

Τούτων οὐδὲν Αἰσχίνης εἶπε πρὸς αὑτὸν ἐν τῇ πρεσβείᾳ· ἀλλ' ἀντὶ μὲν τῆς πόλεως τὴν Φιλίππου ξενίαν, καὶ φιλίαν πολλῷ μείζονα ἡγήσατο αὑτῷ, καὶ λυσιτελεστέραν, ἐρρῶσθαι πολλὰ φράσας τῷ σοφῷ Σοφοκλεῖ· τὴν δὲ ἄτην ὁρῶν ςείχουσαν ὁμοῦ τὴν ἐπὶ Φωκέας ςρατείαν, οὐ προεῖπεν, οὐδὲ προεξήγγειλεν, ἀλλὰ τοὐναντίον, συνέκρυψε, καὶ συνέπραξε, καὶ τοὺς βουλομένους εἰπεῖν διεκώλυσεν, οὐκ ἀναμνησθεὶς, ὅτι ἥδ' ἐςὶν ἡ σώζουσα, καὶ ταύτης ἔπι τελοῦσα μὲν ἡ μήτηρ αὐτοῦ καὶ καθαίρουσα, καὶ καρπουμένη τὰς τῶν χρωμένων οἰκίας ἐξέθρεψε τοσούτους τουτουσὶ, διδάσκων δ' ὁ πατὴρ γράμματα, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, πρὸς τῷ τοῦ ἥρωος τοῦ ἰατροῦ, ὅπως ἠδύνατο, ἀλλ' οὖν ἐν ταύτῃ γε ἔζη· ὑπογραμματεύοντες δὲ ἔτι καὶ ὑπηρετοῦντες ἁπάσαις ταῖς ἀρχαῖς ἀργύριον εἰλήφεσαν· καὶ τὸ τελευταῖον ὑφ' ὑμῶν γραμματεῖς χειροτονηθέντες, δύο ἔτη διετράφησαν ἐν τῇ θόλῳ, πρεσβεύων δ' ἀπέςαλτο νῦν οὗτος ἐκ ταύτης· τούτων οὐδὲν ἐσκέψατο, οὐδ' ὅπως ὀρθὴ πλεύσεται,

ται, προὔδοτο· ἀλλ' ἀνέτρεψε, καὶ κατέδυσε, καὶ τὸ καθ' αὐτὸν ὅπως ἐπὶ τοῖς ἐχθροῖς ἔσται, παρεσκεύασεν· εἶτ' οὐ σὺ σοφιστὴς καὶ πονηρός γε; οὐ σὺ λογογράφος, καὶ θεοῖς ἐχθρός; ὃς ἃ μὲν πολλάκις ἠγωνίσω καὶ ἀκριβῶς ἐξηπίστασο, ὑπερέβης· ἃ δὲ οὐδεπώποτε ἐν τῷ βίῳ ὑπεκρίνω, ταῦτα ζητήσας ἐπὶ τῷ τῶν πολιτῶν βλάψαι τινὰ, εἰς μέσον ἐνήνεγκας. Φέρε δὴ καὶ περὶ τοῦ Σόλωνος ὃν εἶπε λόγον, σκέψασθε· ἔφη γὰρ τὸν Σόλωνα ἀνακεῖσθαι τῆς τῶν τότε δημηγορούντων σωφροσύνης παράδειγμα, εἴσω τὴν χεῖρα ἔχοντα ἀναβεβλημένον, ἐπιπλήττων τι καὶ λοιδορούμενος τῇ τοῦ Τιμάρχου προπετείᾳ· καί τοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι· ἀπὸ Σόλωνος δὲ ὁμοῦ διακόσιά ἐστιν ἔτη, καὶ τετταράκοντα εἰς τὸν νυνὶ χρόνον· ὥσθ' ὁ δημιουργὸς ὁ τοῦτο πλάσας τὸ σχῆμα, οὐ μόνον οὐκ αὐτὸς ἦν κατ' ἐκεῖνον τὸν χρόνον, ἀλλ' οὐδ' ὁ πάππος αὐτοῦ· τοῦτο μὲν τοίνυν εἶπε τοῖς δικασταῖς, καὶ ἐμιμήσατο, ὃ δὲ τοῦ σχήματος ἦν τούτου πολλῷ τῇ πόλει λυσιτελέστερον, τὸ τὴν ψυχὴν τὴν Σόλωνος ἰδεῖν, καὶ τὴν διάνοιαν ταύτην οὐκ ἐμιμήσατο, ἀλλὰ πᾶν τοὐναντίον· ἐκεῖνος μέν γε ἀφεστηκυίας Σαλαμῖνος ἀθηναίων, καὶ θάνατον ζημίαν ψηφισαμένων ἄν τις εἴπῃ κομίζεσθαι, τὸν ἴδιον κίνδυνον ὑποθεὶς, ἐλεγεῖα ποιήσας ᾖδε· καὶ τὴν μὲν χώραν ἔσωσε τῇ πόλει, τὴν δ' ὑπάρχουσαν αἰσχύνην, ἀπήλλαξεν· οὗτος δὲ, ἣν βασιλεὺς καὶ πάντες οἱ ἕλληνες ὑμετέραν ἔγνωσαν Ἀμφίπολιν ταύτην ἐξέδωκε, καὶ ἀπέδοτο, καὶ τῷ ταῦτα γράφοντι συνεῖπε Φιλοκράτει· ἄξιόν γε· οὐ γὰρ ἦν Σόλωνος αὐτῷ μεμνῆσθαι, καὶ οὐ μόνον ἐνταῦθα ταῦτ' ἐποίησεν, ἀλλὰ κἀκεῖσε ἐλθὼν, οὐδὲ τοὔνομα ἐφθέγξατο τῆς χώρας, ὑπὲρ ἧς ἐπρέσβευε· καὶ ταῦτα αὐτὸς ἀπήγγειλε πρὸς ὑμᾶς· μέμνησθε γὰρ δή που λέγοντ' αὐτὸν, ὅτι περὶ Ἀμφιπόλεως εἶχον μὲν κἀγὼ λέγειν, ἵνα δ' ἐγχωρῇ Δημοσθένει περὶ αὐτοῦ εἰπεῖν, παρέλιπον· ἐγὼ δὲ παρελθὼν, οὐδὲν ἔφην τούτων ὧν ἐβούλετο εἰπεῖν πρὸς φίλιππον ἐμοὶ παραλιπεῖν· θᾶττον γὰρ ἂν τοῦ αἵματος, ἢ λόγου μεταδοῦναί τινι· ἀλλ' οἶμαι χρήματ' εἰληφότα, οὐκ ἦν ἀντιλέγειν πρὸς φίλιππον, τὸν ὑπὲρ τούτου δεδωκότα ὅπως ἐκείνην μὴ ἀποδῷ. Λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνος ἐλεγεῖα ταυτὶ, ἵν'

εἰδῆ-

εἴδετε, ὅτι ὁ Σόλων ἐμίσει τοὺς, οἷος οὗτος, ἀνθρώπους· οὐ λέγειν οὕτω τὴν χεῖρα ἔχοντα Αἰσχίνη δεῖ, οὔ· ἀλλὰ πρεσβεύειν οὕτω τὴν χεῖρα ἔχοντα· σὺ δ' ἐκεῖ προτείνας καὶ ὑποσχὼν καὶ καταισχύνας τούτους, ἐνθάδε σεμνολογῇ, καὶ λογάρια δύστηνα μελετήσας καὶ φωνασκήσας οὐκ οἴει δίκην δώσειν τηλικούτων καὶ τοσούτων ἀδικημάτων, κἂν πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλὴν περινοστῇς, καὶ ἐμοὶ λοιδορῇ· Λέγε σύ.

## Ε'ΛΕΓΕΙ'Α ΣΟ'ΛΩΝΟΣ.

Ἡμετέρα δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
Αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων·
Τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει·
Αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν,
Ἀστοὶ βούλονται χρήμασι πειθόμενοι·
Δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
Ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν·
Οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
Εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ·

Πλουτοῦσι δ' ἀδίκοις ἔργμασι πειθόμενοι.

Οὔθ' ἱερῶν κτεάνων, οὔτε τι δημοσίων
Φειδόμενοι, κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
Οὐδὲ φυλάσσονται σεμνὰ δίκης θέμεθλα·
Ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα,
Τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισαμένη.
Τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον·
Εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην.
Ἣ στάσιν ἔμφυλον, πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
Ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
Ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ,
Τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλους·
Ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
Ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
Πραθέντες, δεσμοῖσι τ' ἀεικελίοισι δεθέντες·

Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ.
Αὔλειοι δὲ τ' ἔχειν ἐκ ἐθέλουσι θύραι.
Ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν· εὗρε δὲ πάντως
Εἴ γέ τις ἢ φεύγων ἐν μυχῷ, ἢ θαλάμῳ·
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει.
Ὡς κακὰ πλεῖστα πόλει δυσνομίη παρέχει.
Εὐνομίη δ' εὔκοσμα, καὶ ἄρτια πάντ' ἀποφαίνει,
Καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας·
Τραχέα λειαίνει, παύει, κόρον, ὕβριν ἀμαυροῖ,
Αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα·
Εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ' ἔργα
Πραΰνει, παύει δ' ἔργα διχοστασίης·
Παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς
Πάντα κατ' ἀνθρώπους ἄρτια, καὶ πινυτά.

Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τῶν τοιούτων ἀνθρώπων οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν, οὕς φησι τὴν πόλιν σώζειν; ἐγὼ δ' ἀεὶ μὲν ἀληθῆ τὸν λόγον τοῦτον ἡγοῦμαι καὶ βούλομαι, ὡς ἄρα οἱ θεοὶ σώζουσιν ἡμῶν τὴν πόλιν, τρόπον δέ τινα ἡγοῦμαι, καὶ βούλομαι, καὶ τὰ νῦν συμβεβηκότα πάντα ἐπὶ ταῖς εὐθύναις ταυταισὶ, δαιμονίας τινὸς εὐνοίας ἔνδειγμα τῇ πόλει γεγενῆσθαι· σκοπεῖτε γάρ· ἄνθρωπος πολλὰ καὶ δεινὰ πρεσβεύσας, καὶ χώρας ἐκδεδωκὼς, ἐν αἷς τοὺς θεοὺς ὑφ' ὑμῶν καὶ τῶν συμμάχων τιμᾶσθαι προσῆκεν, ἠτίμωσεν ὑπακούσαντά τινα αὐτοῦ κατήγορον· διὰ τί; ἵνα μήτε ἐλέου, μήτε συγγνώμης ἐφ' οἷς αὐτὸς ἠδίκησε, τύχῃ· ἀλλὰ καὶ κατηγορῶν ἐκείνου, καὶ ὑμᾶς λέγειν προείλετο ἐμέ· καὶ πάλιν ἐν τῷ δήμῳ γραφὰς ἀποίσειν, καὶ τοιαῦτα ἠπείλει· διὰ τί; ἵνα ὡς μετὰ πλείστης συγγνώμης παρ' ὑμῶν, ὁ τὰ τούτου πονηρεύματα ἀκριβέστατα εἰδὼς ἐγὼ, καὶ παρηκολουθηκὼς ἅπασι, κατηγορῶ· ἀλλὰ καὶ διακρουόμενος πάντα τὸν ἔμπροσθεν χρόνον εἰσελθεῖν εἰς τοιοῦτον ὑπῆκται καιρὸν, ἐν ᾧ τῶν ἐπιόντων ἕνεκα, εἰ μηδενὸς ἄλλου, οὐχ οἷόν τε οὐδ' ἀσφαλὲς ὑμῖν δεδωροδοκηκότα τοῦτον ἀθῷον ἐᾶσαι· ἀεὶ μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει μισεῖν, καὶ κολάζειν τοὺς προδότας καὶ δωροδόκους, μάλιστα δὲ νῦν ἐπὶ καιρῷ τοῦτο γένοιτ' ἂν, καὶ πάντας ὠφελήσειεν ἀνθρώπους κοινῇ· νόσημα γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, δεινὸν ἐμπέπτωκεν εἰς τὴν Ἑλλάδα, καὶ χαλεπὸν, καὶ

πολλῆς

πολλῆς τινος εὐτυχίας, καὶ τῆς παρ᾽ ὑμῶν ἐπιμελείας δεόμενον· οἱ γὰρ ἐν ταῖς πόλεσι γνωριμώτατοι, καὶ προεστάναι τῶν κοινῶν ἀξιούμενοι τὴν αὐτῶν προδιδόντες ἐλευθερίαν οἱ δυστυχεῖς, αὐθαίρετον αὐτοῖς ἐπάγονται δουλείαν, φιλίππῳ ξενίαν, καὶ ἑταιρίαν, καὶ φιλίαν, καὶ τοιαῦθ᾽ ὑποκοριζόμενοι, οἱ δὲ λοιποὶ, καὶ τὰ κύρια ἅττα ποτ᾽ ἐστὶν ἐν ἑκάστῃ τῶν πόλεων, οὓς ἔδει τούτους κολάζειν, καὶ παραχρῆμα ἀποκτιννύναι, τοσούτου ἀπέχουσι τοῦ τοιοῦτόν τι ποιεῖν, ὥστε θαυμάζουσι, καὶ ζηλοῦσι· καὶ βούλοιτ᾽ ἂν αὐτὸς ἕκαστος τοιοῦτος εἶναι. Καί τοι τουτὶ τὸ πρᾶγμα, καὶ τὰ τοιαῦτα ζηλώματα, Θετταλῶν μὲν, ὦ ἄνδρες ἀθηναῖοι, μέχρι μὲν ἐχθὲς καὶ πρώην τὴν ἡγεμονίαν, καὶ τὸ κοινὸν ἀξίωμα ἀπολωλέκει· νυνὶ δ᾽ ἤδη καὶ τὴν ἐλευθερίαν παραιρεῖται· τὰς γὰρ ἀκροπόλεις αὐτῶν ἐνίων Μακεδόνες φρουροῦσι· εἰς Πελοπόννησον δὲ εἰσελθὸν, τὰς ἐν Ἤλιδι σφαγὰς πεποίηκε· καὶ τοσαύτης παρανοίας, καὶ μανίας ἐνέπλησε τοὺς ταλαιπώρους ἐκείνους, ὥσθ᾽ ἵνα ἀλλήλων ἄρχωσι, καὶ φιλίππῳ χαρίζωνται, συγγενεῖς αὐτῶν, καὶ πολίτας μιαιφονεῖν· καὶ οὐδ᾽ ἐνταῦθ᾽ ἕστηκεν· ἀλλ᾽ εἰς Ἀρκαδίαν εἰσελθὸν, πάντ᾽ ἄνω καὶ κάτω τἀκεῖ πεποίηκε, καὶ νῦν Ἀρκάδων πολλοὶ (προσῆκον αὐτοῖς ἐπ᾽ ἐλευθερίᾳ μέγιστον φρονεῖν ὁμοίως ὑμῖν, μόνοι γὰρ ἁπάντων ὑμεῖς αὐτόχθονές ἐστε) κἀκεῖνοι φίλιππον θαυμάζουσι, καὶ χαλκοῦν ἱστᾶσι, καὶ στεφανοῦσι· καὶ τὸ τελευταῖον ἂν εἰς Πελοπόννησον ἴῃ, δέχεσθαι ταῖς πόλεσιν εἰσὶν ἐψηφισμένοι· ταυτὶ δὲ ταῦτα Ἀργεῖοι· ταῦτα νὴ τὴν δήμητρα, εἰ δεῖ μὴ ληρεῖν, εὐλαβείας οὐ μικρᾶς δεῖται· ὡς βαδίζον γε κύκλῳ, καὶ δεῦρο εἰσελήλυθεν, ὦ ἄνδρες ἀθηναῖοι, τὸ νόσημα τοῦτο· ἕως δ᾽ ἔτ᾽ ἐστὶν ἐν ἀσφαλεῖ φυλάξασθε· καὶ τοὺς πρώτους εἰσαγαγόντας, ἀτιμώσατε· εἰ δὲ μὴ, σκοπεῖτε, ὅπως μὴ τηνικαῦτα εὖ λέγεσθαι δόξῃ τὰ νῦν εἰρημένα· ὅτε, οὐδ᾽ ὅ, τι χρὴ ποιεῖν ἕξετε· οὐχ ὁρᾶτε ὡς ἐναργὲς, ὦ ἄνδρες ἀθηναῖοι, καὶ σαφὲς παράδειγμα οἱ ταλαίπωροι γεγόνασιν Ὀλύνθιοι; οἱ παρ᾽ οὐδὲν οὕτως, ὡς τὰ τοιαῦτα ποιεῖν, ἀπολώλασιν οἱ δείλαιοι· ἔχοιτε δ᾽ ἂν ἐξετάσαι καθαρῶς ἐκ τῶν συμβεβηκότων αὐτοῖς· ἐκεῖνοι γὰρ, ἡνίκα μὲν τετρακοσίους ἱππέας ἐκέκτηντο μόνον, καὶ σύμπαντες οὐδὲν ἦσαν πλείους πεντακισχιλίων τὸν ἀριθμὸν, οὔπω Χαλκιδέων πάντων εἰς ἓν συνῳ-

κισμυρίων, Λακεδαιμονίων ἐπ' αὐτοὺς ἐλθόντων καὶ πεζῇ καὶ ναυτικῇ πολλῇ δυνάμει· ἴστε γὰρ δήπου τοῦθ' ὅτι γῆς, καὶ θαλάττης ἦρχον, ὡς ἔπος εἰπεῖν, Λακεδαιμόνιοι κατ' ἐκείνους τοὺς χρόνους· ἀλλ' ὅμως τηλικαύτης ἐπ' αὐτοὺς ἐλθούσης δυνάμεως, οὔτε τὴν πόλιν, οὔτε φρούριον οὐδὲν ἀπώλεσαν· ἀλλὰ καὶ μάχας πολλὰς ἐκράτησαν, καὶ τρεῖς τῶν πολεμάρχων ἀπέκτειναν, καὶ τὸ τελευταῖον, ὅπως ἐβούλοντο, οὕτω τὸν πόλεμον κατέθεντο· ἐπειδὴ δὲ δωροδοκεῖν ἤρξαντό τινες, καὶ δι' ἀβελτηρίαν οἱ πολλοί, μᾶλλον δὲ διὰ δυστυχίαν, τούτους πιστοτέρους ἡγήσαντο τῶν ὑπὲρ αὐτῶν λεγόντων· καὶ Λασθένης μὲν ἤρεψε τὴν οἰκίαν τοῖς ἐκ Μακεδονίας δοθεῖσι ξύλοις· Εὐθυκράτης δὲ βοῦς ἔτρεφε πολλὰς τιμὴν οὐδενὶ δούς· ἕτερος δέ τις ἧκεν ἔχων πρόβατα· ἄλλος δέ τις ἵππους, οἱ δὲ πολλοὶ καὶ καθ' ὧν ταῦτα ἐγίγνετο, οὐχ ὅπως ὠργίζοντο, ἢ κολάζειν ἠξίουν τοὺς ταῦτα ποιοῦντας, ἀλλ' ἀπέβλεπον, ἐζήλουν, ἐτίμων, ἄνδρας ἡγοῦντο· ἐπειδὴ ταῦθ' οὕτω προήγετο, καὶ τὸ δωροδοκεῖν ἐκράτησε, χιλίους μὲν ἱππέας κεκτημένοι, πλείους δὲ ὄντες ἢ μύριοι, πάντας δὲ τοὺς περιχώρους ἔχοντες συμμάχους, μυρίοις δὲ ξένοις, καὶ τριήρεσι πεντήκοντα ὑμῶν βοηθησάντων αὐτοῖς, καὶ ἔτι τῶν πολιτῶν τετρακισχιλίοις, οὐδὲν αὐτοὺς τούτων ἠδυνήθη σῶσαι· ἀλλὰ πρὶν ἐξελθεῖν ἐνιαυτὸν πολέμου, τὰς πόλεις ἁπάσας ἀπολωλέκεσαν τὰς ἐν τῇ Χαλκιδικῇ οἱ προδιδόντες, καὶ Φίλιππος οὐκ ἔτ' εἶχεν ὑπακούειν τοῖς προδιδοῦσιν, οὐδ' εἶχεν ὅ, τι πρῶτον λάβῃ· πεντακοσίους δ' ἱππέας προδοθέντας ὑπ' αὐτῶν τῶν ἡγεμόνων, ἔλαβεν αὐτοῖς ὅπλοις ὁ Φίλιππος, ὅσους οὐδεὶς πώποτε ἄλλος ἀνθρώπων· καὶ οὔτε τὸν ἥλιον ᾐσχύνοντο οἱ ταῦτα ποιοῦντες, οὔτε τὴν γῆν πατρίδα οὖσαν ἐφ' ἧς ἕστασαν, οὔτε ἱερά, οὔτε τάφους, οὔτε τὴν μετὰ ταῦτα γιγνομένην αἰσχύνην ἐπὶ τοῖς τοιούτοις ἔργοις· οὕτως ἔκφρονας, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ παραπλῆγας τὸ δωροδοκεῖν ποιεῖ· ὑμᾶς οὖν ὑμᾶς δεῖ φρονεῖν δεῖ τοὺς πολλούς, καὶ μὴ ἐπιτρέπειν τὰ τοιαῦτα, ἀλλὰ κολάζειν δημοσίᾳ· καὶ γὰρ ἂν καὶ ὑπερφυὲς εἴη, εἰ κατὰ μὲν τῶν Ὀλυνθίους προδόντων, πολλὰ, καὶ δεινὰ ἐψηφίσασθε, τοὺς δὲ παρ' ὑμῖν αὐτοῖς ἀδικοῦντας, μὴ κολάζοντες φαίνοισθε. Λέγε οὖν τὸ ψήφισμα τὸ περὶ τῶν Ὀλυνθίων.

Ψήφισ-

Ψήφισμα. Ταῦτα ὑμεῖς, ὦ ἄνδρες δικασταί, ὀρθῶς καὶ καλῶς πᾶσιν Ἕλλησί τε, καὶ βαρβάροις δοκεῖτε ἐψηφίσθαι, κατ' ἀνδρῶν προδοτῶν, καὶ θεοῖς ἐχθρῶν· ἐπειδὴ τοίνυν τὸ δωροδοκεῖν πρότερον τοῦ τὰ τοιαῦτα ποιεῖν ἐστι, καὶ δι' ἐκεῖνο καὶ τάδε πράττουσί τινες, ὃν ἄν, ὦ ἄνδρες ἀθηναῖοι, δωροδοκοῦντα ἴδητε, τοῦτον καὶ προδότην εἶναι νομίζετε. εἰ δὲ ὁ μὲν καιρούς, ὁ δὲ πράγματα, ὁ δὲ στρατιώτας προδίδωσιν, ὧν ἂν ἕκαστος ὑμῶν, οἶμαι, κύριος γένηται, ταῦτα διαφθείρει· μισεῖν δὲ ὁμοίως τοὺς τοιούτους ἅπαντας προσήκει· ἔστι δ' ὑμῖν, ὦ ἄνδρες ἀθηναῖοι, περὶ τούτων μόνοις πάντων τῶν ἄλλων ἀνθρώπων οἰκείοις χρῆσθαι παραδείγμασι, καὶ τοὺς προγόνους, οὓς ἐπαινεῖτε δικαίως, ἔργῳ μιμεῖσθαι, εἰ μὴ τὰς μάχας, μηδὲ τὰς στρατείας, μηδὲ τοὺς κινδύνους, ἐν οἷς ἦσαν ἐκεῖνοι λαμπροί, συμβαίνει καιρός, ἀλλ' ἄγετε ἡσυχίαν ὑμεῖς ἐν τῷ παρόντι, ἀλλὰ τό γε σωφρονεῖν αὐτῶν μιμεῖσθε, τούτου γὰρ πανταχοῦ χρεία, καὶ οὐδέν ἐστι πραγματωδέστερον, οὐδ' ὀχληρότερον τὸ καλῶς φρονεῖν τοῦ κακῶς· ἀλλ' ἐν τῷ ἴσῳ χρόνῳ νυνὶ καθήμενος ὑμῶν ἕκαστος, ἂν μὲν ἃ χρὴ γιγνώσκῃ περὶ τῶν πραγμάτων, καὶ ψηφίζηται, βελτίω τὰ κοινὰ ποιήσει τῇ πόλει, καὶ ἄξια τῶν προγόνων πράξει· ἂν δ' ἃ μὴ δεῖ, φαυλότερα καὶ ἀνάξια τῶν προγόνων ποιήσει· τί οὖν ἐκεῖνοι περὶ τούτων ἐφρόνουν; ταυτὶ λαβὼν ἀνάγνωθι γραμματεῦ· δεῖ γὰρ ὑμᾶς εἰδέναι, ὅτι ἐπὶ τοῖς τοιούτοις ἔργοις ῥᾳθυμεῖτε, ὧν θάνατον κατεγνώκασιν οἱ πρόγονοι. Λέγε ταῦτα·

Γράμματα ἐκλογῆς.

Ἀκούετε, ὦ ἄνδρες ἀθηναῖοι, τῶν γραμμάτων λεγόντων, Ἄρθμιον τὸν Πυθώνακτος τὸν Ζελείτην ἐχθρὸν εἶναι καὶ πολέμιον τοῦ δήμου τῶν ἀθηναίων, καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος ἅπαν· διὰ τί; ὅτι τὸν χρυσόν, τὸν ἐκ τῶν βαρβάρων εἰς τοὺς ἕλληνας ἤγαγεν· οὐκοῦν ἐστὶν ὡς ἔοικεν ἐκ τούτων ἰδεῖν, ὅτι οἱ πρόγονοι μὲν ὑμῶν, ὅπως μηδὲ ἄλλος ἀνθρώπων μηδεὶς ἐπὶ χρήμασι, μηδὲν ἐργάσηται κακὸν τὴν ἑλλάδα, ἐφρόντιζον· ὑμεῖς δὲ οὐδὲ τὴν πόλιν αὐτὴν ὅπως μηδεὶς τῶν πολιτῶν ἀδικήσῃ, προορᾶσθε· νὴ Δί' ἀλλ' ὅπως ἔτυχε, ταῦτα τὰ γράμματα ἕστηκεν; ἀλλ' ὅλης οὔσης ἱερᾶς τῆς ἀκροπόλεως ταυτησὶ καὶ πολλὴν εὐρυχωρίαν ἐχούσης παρὰ τὴν χαλκῆν τὴν μεγάλην ἀθηνᾶν ἐν δεξιᾷ ἕστηκεν,

ἣν

ἦν ἀριστεῖον ἡ πόλις τοῦ πρὸς τοὺς βαρβάρους πολέμου δόντων Ἑλλήνων τὰ χρήματα ταῦτα ἀνέθηκε· τότε μὲν τοίνυν οὕτω σεμνὸν ἦν τὸ δίκαιον, καὶ τὸ κολάζειν τοὺς τὰ τοιαῦτα ποιοῦντας ἔντιμον, ὥστε τῆς αὐτῆς ἠξιοῦτο στάσεως τό, τε ἀριστεῖον τῆς θεοῦ, καὶ αἱ κατὰ τῶν τὰ τοιαῦτα ἀδικούντων τιμωρίαι· νῦν δὲ, γέλως, ἄδεια, αἰσχύνη, εἰ μὴ τὴν ἄγαν ταύτην ἐξουσίαν σχήσετε νῦν ὑμεῖς· Νομίζω τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ καθ' ἕν τι μόνον τοὺς προγόνους μιμουμένους ὀρθῶς ἂν ποιεῖν, ἀλλὰ καὶ κατὰ πάντα, ὅσα ἔπραττον ἐφεξῆς· ἐκεῖνοι τοίνυν, ὡς ἅπαντες οἶδ' ὅτι τὸν λόγον τοῦτον ἀκηκόατε, Καλλίαν τὸν Ἱππονίκου ταύτην τὴν ὑπὸ πάντων θρυλλουμένην εἰρήνην πρεσβεύσαντα, ἵππου μὲν δρόμον ἡμέρας πεζῇ μὴ καταβαίνειν ἐπὶ τὴν θάλατταν βασιλέα, ἐντὸς δὲ Χελιδονέων καὶ Κυανέων πλοίῳ μακρῷ μὴ πλεῖν, ὅτι δῶρα λαβεῖν ἔδοξε πρεσβεύσας, μικροῦ μὲν ἀπέκτειναν, ἐν δὲ ταῖς εὐθύναις πεντήκοντα ἐπράξαντο τάλαντα· καίτοι καλλίω ταύτης εἰρήνην οὔτε πρότερον, οὔθ' ὕστερον οὐδεὶς ἂν εἰπεῖν ἔχοι πεποιημένην τὴν πόλιν· ἀλλ' οὐ τοῦτο ἐσκόπουν· τούτου μὲν γὰρ ἡγοῦντο τὴν ἑαυτῶν ἀρετὴν, καὶ τὴν τῆς πόλεως δόξαν, αἰτίαν εἶναι· τὸ δὲ προῖκα, ἢ μὴ, τὸν τρόπον τοῦ πρεσβευτοῦ· τοῦτον οὖν δίκαιον ἠξίουν παρέχεσθαι καὶ ἀδωροδόκητον τὸν προσιόντα τοῖς κοινοῖς· ἐκεῖνοι μὲν οὖν οὕτως ἐχθρὸν ἡγοῦντο τὸ δωροδοκεῖν καὶ ἀλυσιτελὲς τῇ πόλει ὥστε μήτ' ἐπὶ πράξεως μηδεμιᾶς, μήτε ἐπ' ἀνδρὸς ἐᾶν γίγνεσθαι· ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν αὐτὴν εἰρήνην ἑωρακότες τὰ μὲν τῶν συμμάχων τῶν ὑμετέρων τείχη καθῃρηκυῖαν, τὰς δὲ τῶν πρέσβεων οἰκίας οἰκοδομοῦσαν, καὶ τὰ μὲν τῆς πόλεως κτήματα ἀφῃρημένην, τούτοις δ' ἃ μηδὲ ὄναρ ἤλπισαν πώποτε, κτησαμένην, οὐκ αὐτοὶ τούτους ἀπεκτείνατε, ἀλλὰ κατηγόρου προσδεῖσθε καὶ λόγῳ κρίνετε, ὧν ἔργῳ τὰ ἀδικήματα πάντες ὁρῶσιν. Οὐ τοίνυν τὰ παλαιὰ ἄν τις ἔχοι μόνον εἰπεῖν, καὶ διὰ τούτων τῶν παραδειγμάτων ὑμᾶς ἐπὶ τιμωρίαν παρακαλέσαι, ἀλλ' ἐφ' ὑμῶν τουτωνὶ τῶν ἔτι ζώντων ἀνθρώπων πολλοὶ δίκην δεδώκασιν, ὧν ἐγὼ τοὺς μὲν ἄλλους παραλείψω, τῶν δ' ἐκ πρεσβείας, ἣ πολὺ ταύτης ἐλάττω κακὰ τὴν πόλιν εἴργασαι, θανάτῳ ζημιωθέντων, ἑνὸς ἢ δυοῖν ἐπιμνησθήσομαι· Καί μοι λέγε τουτὶ τὸ ψήφισμα λαβών.

Ψήφισ-

Ψήφισμα. Κατὰ τουτὶ τὸ ψήφισμα, ὦ ἄνδρες ἀθηναῖοι, τῶν πρέσβεων ἐκείνων ὑμεῖς θάνατον κατεγνώκατε, ὧν εἷς ἦν Ἐπικράτης, ἀνήρ, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, σπουδαῖος, καὶ πολλὰ χρήσιμος τῇ πόλει· καὶ τῶν ἐκ Πειραιῶς καταγαγόντων τὸν δῆμον, καὶ ἄλλως δημοτικός· ἀλλ' ὅμως οὐδὲν αὐτὸν ὠφέλησε τούτων, δικαίως, οὐ γὰρ ἐφ' ἡμισείᾳ χρηστὸν εἶναι δεῖ τὸν τὰ τηλικαῦτα διοικεῖν ἀξιοῦντα, οὐδὲ τὸ πιστευθῆναι προσλαβόντα παρ' ὑμῶν, εἰς τὸ μείζω δύνασθαι κακουργεῖν καταχρῆσθαι, ἀλλ' ἁπλῶς μηδὲν ὑμᾶς ἀδικεῖν ἑκόντα· εἰ τοίνυν τι τούτων ἄπρακτόν ἐστι τούτοις, ἐφ' οἷς ἐκείνων θάνατον κατέγνωσαι, ἐμὲ ἀποκτείνατε ἤδη· σκοπεῖτε γάρ· ἐπειδὴ παρὰ τὰ γράμματα, φησίν, ἐπρέσβευσαν ἐκεῖνοι, καὶ τὸ ψήφισμα· καὶ τοῦτ' ἐστὶ τῶν ἐγκλημάτων τὸ πρῶτον· οὗτοι δὲ οὐ παρὰ τὰ γράμματα; οὐ τὸ μὲν ψήφισμα ἀθηναίοις, καὶ τοῖς ἀθηναίων συμμάχοις εἶναι κελεύει τὴν εἰρήνην, οὗτοι δὲ Φωκέας ἐκσπόνδους ἀπέφηναν; οὐ τὸ μὲν ψήφισμα τοὺς ἄρχοντας ὁρκοῦν τοὺς ἐν ταῖς πόλεσιν, οὗτοι δὲ οὓς ὁ φίλιππος αὐτοῖς προσέπεμψε, τούτους ὥρκισαν; οὐ τὸ μὲν ψήφισμα οὐδαμοῦ μόνους ἐντυγχάνειν φιλίππῳ, οὗτοι δ' οὐδὲν ἐπαύσαντο ἰδίᾳ χρηματίζοντες; καὶ ἠλέγχθησάν τινες αὐτῶν ἐν τῇ βουλῇ οὐ τἀληθῆ ἀπαγγέλλοντες· οὗτοι δέ γε καὶ ἐν τῷ δήμῳ. καὶ ὑπὸ τοῦ; τοῦτο γάρ ἐστι τὸ λαμπρόν, ὑπ' αὐτῶν τῶν πραγμάτων· οἷς γὰρ ἀπήγγειλαν οὗτοι πάντα δήπου γέγονε τἀναντία· οὐδὲ ἐπιστέλλοντες, φησί, τἀληθῆ· οὐκοῦν οὗτοι· καὶ καταψευδόμενοι τῶν συμμάχων, καὶ δῶρα λαμβάνοντες· ἀντὶ μὲν τοίνυν τοῦ καταψεύδεσθαι, παντελῶς ἀπολωλεκότες· πολλῷ δὲ δήπου τοῦτο τοῦ καταψεύσασθαι δεινότερον· ἀλλὰ μήν, ὑπέρ γε τοῦ δῶρα εἰληφέναι, εἰ μὲν ἠρνοῦντο, ἐξελέγχειν τὸ λοιπὸν ἂν ἦν· ἐπειδὴ δὲ ὡμολόγουν; ἀπάγειν δήπου προσῆκε. Τί οὖν, ὦ ἄνδρες ἀθηναῖοι, τούτων οὕτως ἐχόντων, ὑμεῖς ἐκείνων τῶν ἀνδρῶν ὄντες, οἱ δέ, καί τινες αὐτῶν ἔτι ζῶντες ὑπομένετε τὸν μὲν εὐεργέτην τοῦ δήμου καὶ τὸν ἐκ Πειραιῶς Ἐπικράτην ἐκπεσεῖν καὶ κολασθῆναι, καὶ πάλιν πρῴην Θρασύβουλον ἐκεῖνον τὸν Θρασυβούλου τοῦ δημοτικοῦ υἱόν, καὶ τὸν ἀπὸ Φυλῆς καταγαγόντος τὸν δῆμον, τάλαντα δέκα ὠφληκέναι, καὶ τὸν ἀφ' Ἁρμοδίου, καὶ Ἀριστογείτονος, καὶ τῶν τὰ μέγιστα ἀγαθὰ ὑμᾶς ἐρ-

γασμ-

γεγενημένων, οὓς νόμῳ διὰ τὰς εὐεργεσίας, ἃς ὑπῆρξαν εἰς ὑμᾶς, ἐν ἅπασι τοῖς ἱεροῖς, ἐπὶ ταῖς θυσίαις, σπονδῶν, καὶ κρατήρων κοινωνοὺς πεποίησθε, καὶ ᾄδετε, καὶ τιμᾶτε ἐξ ἴσου τοῖς ἥρωσι, καὶ τοῖς θεοῖς, τούτους μὲν πάντας τὴν ἐκ τῶν νόμων δίκην ὑπεσχηκέναι, καὶ μήτε συγγνώμην, μήτε ἔλεον, μήτε παιδία κλάοντα ὁμώνυμα τῶν εὐεργετῶν, μήτ' ἄλλο μηδὲν αὐτοὺς ὠφεληκέναι, τὸν δὲ Ἀτρομήτου τοῦ γραμματιστοῦ, καὶ Γλαυκοθέας τῆς τοὺς θιάσους συναγούσης, ἐφ' οἷς ἑτέρα τέθνηκεν ἱέρεια, τοῦτον ὑμᾶς λαβόντας τὸν τῶν τοιούτων, τὸν οὐδὲ καθ' ἓν χρήσιμον τῇ πόλει, οὐκ αὐτόν, οὐ πατέρα, οὐκ ἄλλον οὐδένα τῶν τούτου, ἀφήσετε; ποῖος γὰρ ἵππος, ποία τριήρης, ποία στρατεία, ποία χορηγία, τίς χορός, τίς λειτουργία, τίς εἰσφορά, τίς εὔνοια, ποῖος κίνδυνος, τί τούτων ἁπάντων ἐν παντὶ χρόνῳ γέγονε παρὰ τούτων τῇ πόλει; καίτοι, κἂν εἰ ταῦτα πάντα ὑπῆρχεν. ἐκεῖνο δὲ μὴ προσῆν, τὸ, δικαίως, καὶ προῖκα πεπρεσβευκέναι, ἀπολωλέναι δήπου προσήκει αὐτῷ· εἰ δὲ μήτε ταῦτα, μήτε ἐκεῖνα, οὐ τιμωρήσεσθε; οὐκ ἀναμνησθήσεσθε, ὧν οὗτος κατηγορῶν ἔλεγε Τιμάρχου; ὡς οὐδέν ἐστιν ὄφελος πόλεως, ἥτις μὴ νεῦρα ἐπὶ τοὺς ἀδικοῦντας ἔχει, οὐδὲ πολιτείας, ἐν ᾗ συγγνώμη καὶ παραγγελία τῶν νόμων μεῖζον ἰσχύουσι· οὐδὲ ἐλεεῖν ὑμᾶς οὔτε τὴν μητέρα δεῖν τὴν Τιμάρχου γραῦν γυναῖκα, οὔτε τὰ παιδία, οὔτε ἄλλον οὐδένα· ἀλλ' ἐκεῖνο ὁρᾶν, ὅτι εἰ προήσεσθε τὰ τῶν νόμων, καὶ τὰ τῆς πολιτείας, οὐχ εὑρήσετε τοὺς ὑμᾶς αὐτοὺς ἐλεήσοντας· ἀλλ' ὁ μὲν ταλαίπωρος ἄνθρωπος ἠτίμωται, ὅτι τοῦτον εἶδεν ἀδικοῦντα· τοῦτον δ' ἀθῷον ἐάσετε εἶναι; διὰ τί; εἰ γὰρ παρὰ τῶν εἰς ἑαυτοὺς ἐξαμαρτανόντων τηλικαύτην ἠξίωσε δίκην Αἰσχίνης λαβεῖν, παρὰ τῶν εἰς τὰ τῆς πόλεως τηλικαῦτα ἡμαρτηκότων, ὧν εἷς οὗτος ὢν ἐξελέγχεται, πηλίκην ὑμᾶς προσήκει λαβεῖν τοὺς ὀμωμοκότας καὶ δικάζοντας; νὴ Δί', οἱ νέοι γὰρ * ὑμῖν δι' ἐκεῖνον ἔσονται τὸν ἀγῶνα βελτίους· οὐκοῦν καὶ διὰ τόνδε οἱ πολιτευόμενοι, δι' ὧν τὰ μέγιστα κινδυνεύεται τῇ πόλει· προσήκει δὲ καὶ τούτων φροντίζειν. Ἵνα τοίνυν εἰδῆτε, ὅτι καὶ τοῦτον ἀπώλεσε τὸν Τίμαρχον, οὐ μὰ Δία οὐχὶ τῶν ὑμετέρων παίδων, ὅπως ἔσονται σώφρονες, προορῶν· εἰσὶ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ νῦν σώφρονες· μὴ γὰρ οὕτω γένοιτο κακῶς τῇ πόλει, ὥστε ἀφο-

Ἀφοβήτου καὶ Αἰσχίνου σωφρονιστῶν δεηθῆναι τοὺς νεωτέρους, ἀλλ' ὅτι βουλεύων ἔγραψεν, ἄν τις ὡς Φίλιππον ὅπλα ἄγων ἁλῷ, ἢ σκεύη τριηρικά, θάνατον εἶναι τὴν ζημίαν· σημεῖον δέ, πόσον γὰρ ἐδημηγόρει χρόνον Τίμαρχος; πολὺν· ἐκεῖνον τὸν ἦν Αἰσχίνης ἅπαντα, ἐν τῇ πόλει, καὶ οὐδεπώποτε ἠγανάκτησεν, οὐδὲ δεινὸν ἡγήσατο εἶναι τὸ πρᾶγμα· εἰ ὁ τοιοῦτος λέγει, ἕως εἰς Μακεδονίαν ἐλθών, ἑαυτὸν ἐμίσθωσε· Λέγε δή μοι τὸ ψήφισμα λαβὼν αὐτὸ τὸ Τιμάρχου.

Ψήφισμα· Ὁ μὲν τοίνυν ὑπὲρ ὑμῶν γράψας, μὴ ἄγειν ἐν τῷ πολέμῳ πρὸς Φίλιππον ὅπλα, εἰ δὲ μή, θανάτῳ ζημιοῦσθαι, ἀπόλωλε, καὶ ὕβρισται· ὁ δὲ καὶ τὰ τῶν ὑμετέρων συμμάχων ὅπλα ἐκείνῳ παραδοὺς οὑτοσί, κατηγορεῖ, καὶ περὶ πορνείας ἔλεγεν, ὦ γῆ καὶ θεοί, δυοῖν μὲν κηδεσταῖν παρεστηκότοιν, οὓς ἰδόντες ἂν ὑμεῖς ἀνεκράγοιτε, Νικίου τε τοῦ βδελυροῦ, ὃς ἑαυτὸν ἐμίσθωσεν εἰς Αἴγυπτον Χαβρίᾳ, καὶ τοῦ καταράτου Κυρηβίωνος, ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ προσωπείου κωμάζει· καὶ τί ταῦτα; ἀλλὰ τὸν ἀδελφὸν ὁρῶν Ἀφόβητον· ἀλλὰ δῆτα ἄνω ποταμῶν ἐκείνῃ τῇ ἡμέρᾳ πάντες ὅσοι οἱ περὶ πορνείας ἐρρύησαν λόγοι. καὶ μὴν εἰς ὅσην ἀτιμίαν τὴν πόλιν ὑμῶν ἡ τούτου πονηρία, καὶ ψευδολογία καταστήσασα ἔχει, πάντα τὰ ἄλλα ἀφείς, ὃ πάντες ὑμεῖς ἴστε, ἐρῶ· πρότερον μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τί παρ' ὑμῖν ἐψήφισαι, τοῦτο ἐπετήρουν οἱ ἄλλοι πάντες Ἕλληνες· νῦν δὲ δὴ περιερχόμεθα ἡμεῖς, τί δέδοκται τοῖς ἄλλοις σκοποῦντες καὶ ὠτακουστοῦντες· τί τὰ τῶν Ἀρκάδων; τί τὰ τῶν Ἀμφικτυόνων; ποῖ πάρεισι Φίλιππος; ζῇ, ἢ τέθνηκεν; οὐ τοιαῦτα ποιοῦμεν; ἐγὼ δὲ οὐ δέδοικα, εἰ Φίλιππος ζῇ· ἀλλ' εἰ τῆς πόλεως τέθνηκε τὸ τοὺς ἀδικοῦντας μισεῖν, καὶ τιμωρεῖσθαι· οὐδὲ φοβεῖ με Φίλιππος, ἂν τὰ παρ' ὑμῶν ὑγιαίνῃ· ἀλλ' εἰ παρ' ὑμῖν ἄδεια γενήσεται τοῖς παρ' ἐκείνου μισθαρνεῖν βουλομένοις, καὶ συνεροῦσί τινες τούτοις τῶν ὑφ' ὑμῶν πεπιστευμένων, καὶ πάντα τὸν ἔμπροσθεν χρόνον ἀρνούμενοι μὴ πράττειν ὑπὲρ Φιλίππου, νῦν ἀναβήσονται· ταῦτα φοβεῖ με· τί γὰρ δήποτε Εὔβουλε Ἡγησίλεῳ μὲν κρινομένῳ, ὃς ἀνεψιός ἐστί σοι, καὶ Θρασυβούλῳ πρώην τῷ Νικηράτου θείῳ, ἐπὶ μὲν τῆς πρώτης ψήφου οὐδ' ὑπακοῦσαι καλούμενος ἠθέλησας; εἰς δὲ τὸ τίμημα ἀναβὰς ὑπὲρ μὲν ἐκείνων

οὐδ'

οὐδ' ὅπου ἔλεγες, ἐδέου δὲ τῶν δικαστῶν συγγνώμην ἔχειν σοι; εἶτα ὑπὲρ μὲν συγγενῶν καὶ ἀναγκαίων ἀνθρώπων οὐκ ἀνεβαίνες· ὑπὲρ Αἰσχίνου δὲ ἀναβήσῃ; ὃς ἡνίκα ἔκρινεν Ἀριστοφῶν Φιλόνικον, καὶ δι' ἐκείνου τῶν σοὶ πεπραγμένων κατηγόρει, συγκατηγόρει μετ' ἐκείνου σοῦ· καὶ τῶν ἐχθρῶν τῶν σῶν εἷς ἐξητάζετο· ἐπειδὴ δὲ σὺ μὲν τουτουσὶ διαδεξάμενος, καὶ φήσας καταβαίνειν εἰς Πειραιᾶ δεῖν ἤδη, καὶ χρήματα εἰσφέρειν, καὶ τὰ θεωρικὰ στρατιωτικὰ ποιεῖν, ἢ χειροτονεῖν ἃ συνεῖπε μὲν οὗτος, ἔγραψε δὲ ὁ βδελυρὸς Φιλοκράτης, ἐξ ὧν ἀντὶ καλῆς αἰσχρὰν συνέβη γενέσθαι τὴν εἰρήνην· οὗτοι δ' ἐπειδὴ τοῖς μετὰ ταῦτα ἀδικήμασι πάντα ἀπολωλέκασι, τηνικαῦτα διήλλαξαι; καὶ ἐν μὲν τῷ δήμῳ * κατηγορῶν φιλίππου καὶ κατὰ τῶν παίδων ὤμνυες, ἦ μὴν ἀπολωλέναι φίλιππον, ἂν βούλησθε, νῦν δὲ βοηθήσεις τούτῳ; πῶς οὖν ἀπολεῖται, ὅταν τοὺς παρ' ἐκείνου δωροδοκοῦντας σὺ σῴζῃς; τί γὰρ δή ποτε Μοιροκλέα μὲν ἔκρινας, εἰ παρὰ τῶν τὰ μέταλλα ἐωνημένων εἴκοσιν ἐξέλεξε δραχμὰς παρ' ἑκάστου, καὶ Κηφισοφῶντα γραφὴν ἱερῶν χρημάτων ἐδίωκες, εἰ τρισὶν ὕστερον ἡμέραις ἐπὶ τὴν τράπεζαν ἔθηκεν ἑπτὰ μνᾶς; τοὺς δὲ ἔχοντας ὁμολογοῦντας ἐξελεγχομένους ἐπ' αὐτοφώρῳ ἐπὶ τῷ τῶν συμμάχων ὀλέθρῳ ταῦτα πεποιηκότας, τούτους οὐ κρίνεις, ἀλλὰ καὶ σῴζειν κελεύεις; καὶ μὴν, ὅτι ταῦτα μὲν ἐστι φοβερὰ, καὶ προνοίας καὶ φυλακῆς πολλῆς δεόμενα, ἐφ' οἷς δὲ ἐκείνους σὺ ἔκρινας, γέλως, ἐκεῖθεν ὄψεσθε· ἦσαν ἐν Ἤλιδι κλέπτοντες τὰ κοινά τινες; καὶ μάλα εἰκός γε· ἔστιν οὖν ὅστις μετέσχεν αὐτόθι νῦν τούτων τοῦ καταλῦσαι τὸν δῆμον; οὐδὲ εἷς· τί δέ; ἦσαν ὅτε ἦν Ὄλυνθος, τοιοῦτοί τινες ἄλλοι; ἐγὼ μὲν οἶμαι· ἆρ' οὖν διὰ τούτους ἀπώλετο Ὄλυνθος; οὔ· τί οὖν; Μεγάροις οὐκ οἴεσθ' εἶναί τινα κλέπτην, καὶ παρεκλέγοντα τὰ κοινά; ἀνάγκη καὶ πέφηνε· τίς οὖν αἴτιος αὐτόθι νῦν τούτων συμβεβηκότων πραγμάτων; οὐδὲ εἷς· ἀλλὰ ποῖοι, καὶ τίνες εἰσὶν οἱ τὰ τηλικαῦτα καὶ τοιαῦτα ἀδικοῦντες; οἱ νομίζοντες αὐτοὺς ἀξιόχρεως εἶναι τοῦ φιλίππου ξένοι, καὶ φίλοι προσαγορεύεσθαι, οἱ στρατηγιῶν τε, καὶ προστασίας ἀξιούμενοι· οἱ μείζους τῶν πολλῶν οἰόμενοι δεῖν εἶναι· οὐ Περίλαος ἐκρίνετο ἔναγχος ἐν τοῖς Μεγάροις ἐν τοῖς τριακοσίοις, ὅτι πρὸς φίλιππον ἀφίκετο, καὶ παρελθὼν Πτοιόδωρος

δωρος αὐτὸν ἐξητήσατο καὶ πλούτῳ, καὶ γένει, καὶ δόξῃ πρῶτος Μεγαρέων, καὶ πάλιν ὡς Φίλιππον ἐξέπεμψε; καὶ μετὰ ταῦτα ὁ μὲν ἧκεν ἄγων τοὺς ξένους, ὁ δ' ἔνδον ἐτύρβαζε τοιαῦτα; οὐ γάρ ἐστιν ἐκ ἔσθ' ὅ, τι τῶν πάντων μᾶλλον εὐλαβεῖσθαι δεῖ, ἢ τὸ, μείζω τινὰ τῶν πολλῶν ἐᾶν γίγνεσθαι· μή μοι σωζέσθω, μηδ' ἀπολλύσθω μηδεὶς, ὃν ἐὰν ὁ δεῖνα βούληται, ἀλλ' ὃν ἂν τὰ πεπραγμένα σώζῃ· καὶ τοὐναντίον τούτῳ τῆς προσηκούσης ψήφου παρ' ὑμῶν ὑπαρχέτω τυγχάνειν· τοῦτο γάρ ἐστι δημοτικόν· ἔτι τοίνυν πολλοὶ παρ' ὑμῖν ἐπὶ καιρῶν γεγόνασιν ἰσχυροὶ, Καλλίστρατος ἐκεῖνος, αὖθις Ἀριστοφῶν, Διόφαντος, τούτων ἕτεροι πρότερον· ἀλλὰ ποῦ τούτων ἕκαστος ἐπρώτευεν; ἐν τῷ δήμῳ· ἐν δὲ τοῖς δικαστηρίοις οὐδεὶς πω μέχρι τῆς τήμερον ἡμέρας ὑμῶν, οὐδὲ τῶν νόμων, οὐδὲ τῶν ὅρκων κρείττων γέγονε· μὴ τοίνυν μηδὲ νῦν τοῦτον ἐάσητε· ὅτι γὰρ ταῦτα φυλάττοισθε ἂν εἰκότως μᾶλλον ὑμεῖς, ἢ τούτοις πιστεύοιτε, τὴν θεῶν ὑμῖν μαντείαν ἀναγνώσομαι, οἵπερ ἀεὶ σώζουσι τὴν πόλιν πολλῷ * τῶν προεστηκότων μᾶλλον· Λέγε τὰς μαντείας.

Μαντεῖαι. Ἀκούετε, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν θεῶν οἷα ὑμῖν προλέγουσι; εἰ μὲν τοίνυν πολεμούντων ὑμῶν ταῦτ' ἀνῃρήκασι, τοὺς στρατηγοὺς λέγουσι φυλάττεσθαι· πολέμου γάρ εἰσιν ἡγεμόνες οἱ στρατηγοί· εἰ δὲ πεποιημένων εἰρήνην, τοὺς ἐπὶ τῆς πολιτείας ἐφεστηκότας· οὗτοι γὰρ ἡγοῦνται, τούτοις πείθεσθε ὑμεῖς, ὑπὸ τούτων δέος ἐστὶ μὴ παρακρουσθῆτε· καὶ τὴν πόλιν δεῖν συνέχειν φησὶν ἡ μαντεία, ὅπως ἂν μίαν γνώμην ἔχωσιν ἅπαντες, καὶ μὴ τοῖς ἐχθροῖς ἡδονὴν ποιῶσι· πότερον οὖν οἴεσθ', ὦ ἄνδρες Ἀθηναῖοι, τὸν τοσαῦτα κακὰ εἰργασμένον, σωθέντα, ἢ δίκην δόντα ἡδονὴν Φιλίππῳ ποιῆσαι; ἐγὼ μὲν οἶμαι σωθέντα· φησὶ δέ γε ἡ μαντεία ἀεὶ δεῖν, ὅπως ἂν μὴ χαίρωσιν οἱ ἐχθροὶ ποιεῖν· ἅπασι τοίνυν μιᾷ γνώμῃ παρακελεύεται κολάζειν τοὺς ὑπηρετηκότας τι τοῖς ἐχθροῖς, ὁ Ζεὺς, ἡ Διώνη, πάντες οἱ θεοί· ἔξωθεν οἱ ἐπιβουλεύοντες, ἔνδοθεν δὲ οἱ συμπράττοντες· οὐκοῦν τῶν ἐπιβουλευόντων μὲν ἔργον, τὸ διδόναι, τῶν συμπραττόντων δὲ, λαμβάνειν, καὶ τοὺς εἰληφότας ἐκσώζειν. Ἔτι τοίνυν κἂν ἀπ' ἀνθρωπίνου λογισμοῦ τοῦτο ἴδοι τις, ὅτι πάντων ἐχθρότατον καὶ φοβερώτατον, τὸ τὸν προεστηκότα ἐᾶν

οἰκεῖον

οἰκεῖον γίγνεσθαι τοῖς μὴ τὴν αὐτὴν ἐπιθυμοῦσι τῷ δήμῳ· τίσι γὰρ τῶν πραγμάτων ἐγκρατὴς γέγονε Φίλιππος ἁπάντων, καὶ τίσι τὰ μέγιστα κατείργασται τῶν πεπραγμένων, σκέψασθε, τῷ παρὰ τῶν πωλούντων τὰς πράξεις ὠνεῖσθαι, τῷ τοὺς προεστηκότας ἐν ταῖς πόλεσι διαφθείρειν, καὶ ἐπαίρειν τούτους· ταῦτα τοίνυν ἐφ' ὑμῖν ἐστιν ἀμφότερα, ἐὰν βούλησθε ἀχρεῖα ποιῆσαι τήμερον, ἐὰν τῶν μὲν, μὴ ἐθέλητε ἀκούειν τοῖς τοιούτοις συνηγορούντων, ἀλλ' ἐπιδείξητε ἀκύρους ὄντας ὑμῶν· καὶ γὰρ φασὶν εἶναι κύριοι, τὸν δὲ πεπρακότα ἑαυτὸν κολάσητε, καὶ τοῦτον ἅπαντες ἴδωσι· παντὶ μὲν γὰρ εἰκότως ἂν ὀργισθείητε, ὦ ἄνδρες ἀθηναῖοι, τοιαῦτα πεποιηκότι, καὶ προδεδωκότι συμμάχους, καὶ φίλους, καὶ καιρούς, μεθ' ὧν καλῶς, ἢ κακῶς ἑκάστοις ἔχει τὰ πάντα, οὐ μὴν οὐδενὶ μᾶλλον * οὐδὲ δικαιότερον, ἢ τούτῳ· ὃς γὰρ ἑαυτὸν τάξας τῶν ἀπιστούντων εἶναι Φιλίππῳ, καὶ μόνος καὶ πρῶτος ἰδὼν, ὅτι κοινὸς ἐχθρὸς ἐκεῖνός ἐστιν ἁπάντων τῶν ἑλλήνων, ηὐτομόλησε καὶ προὔδωκε καὶ γέγονεν ἐξαίφνης ὑπὲρ Φιλίππου, πῶς οὐ πολλάκις ἐστὶν οὗτος ἄξιος ἀπολωλέναι; ἀλλὰ μὴν, ὅτι ταῦτα οὕτως ἔχει, αὐτὸς οὐχ οἷός τε ἀντειπεῖν ἔσται· τίς γάρ ἐστιν ὁ τὸν Ἴσχανδρον προσάγων ὑμῖν τὸ κατ' ἀρχὰς, ὃν παρὰ τῶν ἐν Ἀρκαδίᾳ φίλων τῇ πόλει δεῦρο ἥκειν ἔφη; τίς ὁ συσκευάζεσθαι τὴν ἑλλάδα καὶ Πελοπόννησον Φίλιππον βοῶν, ὑμᾶς δὲ καθεύδειν; τίς ὁ τοὺς καλοὺς καὶ μακροὺς καὶ πολλοὺς λόγους ἐκείνους δημηγορῶν, καὶ τὸ Μιλτιάδου καὶ Θεμιστοκλέους ψήφισμα ἀναγινώσκων, καὶ τὸν ἐν τῷ τῆς Ἀγραύλου τῶν ἐφήβων ὅρκον; οὐχ οὗτος; τίς ὁ πείσας ὑμᾶς μόνον οὐκ ἐπὶ τὴν ἐρυθρὰν θάλατταν πρεσβείας πέμπειν, ὡς ἐπιβουλευομένης μὲν ὑπὸ Φιλίππου τῆς ἑλλάδος, ὑμῖν δὲ προσῆκον προορᾶν ταῦτα, καὶ μὴ προΐεσθαι τὰ τῶν ἑλλήνων; οὐχ ὁ μὲν γράφων τὸ ψήφισμα Εὔβουλος ἦν, ὁ δὲ πρεσβεύων εἰς Πελοπόννησον Αἰσχίνης οὑτοσί; ἐλθὼν δὲ ἐκεῖσε ἅττα μὲν ποτὲ διελέχθη καὶ ἐδημηγόρησεν, αὐτὸς ἂν εἰδείη, ἃ δ' ἀπήγγειλε πρὸς ὑμᾶς, ὑμεῖς οἶδ' ὅτι μέμνησθε πάντες· βάρβαρόν τε γὰρ πολλάκις καὶ ἀλάστορα τὸν Φίλιππον ἀποκαλῶν, ἐδημηγόρει, καὶ τοὺς Ἀρκάδας ὑμῖν ἀπήγγειλεν, ὡς ἔχαιρον, εἰ προσέχει τοῖς πράγμασιν ἤδη, καὶ ἐγείρεται ἡ τῶν ἀθηναίων πόλις· ὃ δὲ πάντων μάλιστα ἀγανακτῆσαι ἔφη, συντυχεῖν γὰρ ἀπιὼν Ἀτρεστίδᾳ

παρὰ Φιλίππου πορευομένῳ, καὶ μετ' αὐτοῦ γύναια καὶ παιδάρια ὡς τριάκοντα βαδίζειν, αὐτὸς δὲ θαυμάσας ἐρέσθαι τινὰ τῶν ὁδοιπόρων, τίς ὁ ἄνθρωπός ἐστι, καὶ τίς ὁ ὄχλος ὁ μετ' αὐτοῦ· ἐπειδὴ δὲ ἀκοῦσαι ὅτι Ἀτρεστίδας παρὰ Φιλίππου τῶν Ὀλυνθίων αἰχμάλωτα * δωρεὰν ταῦτα ἔχων ἀπέρχεται, δεινὸν αὐτῷ τι δόξαι, καὶ δακρῦσαι, καὶ ὀδύρασθαι τὴν Ἑλλάδα, ὡς κακῶς διάκειται, ἢ τοιαῦτα πάθη περιορᾷ γινόμενα, καὶ συνεβούλευσεν ὑμῖν, πέμπειν τινὰς εἰς Ἀρκαδίαν, οἵτινες κατηγορήσουσι τῶν τὰ Φιλίππου πραττόντων· ἀκούειν γὰρ ἔφη τῶν φίλων, ὡς ἐὰν ἐπιστροφὴν ἡ πόλις ποιήσηται, καὶ πρέσβεις πέμψῃ, δίκην ἐκεῖνοι δώσουσι. Ταῦτα μὲν τοίνυν τότε καὶ μάλα, ὦ ἄνδρες Ἀθηναῖοι, καλὰ καὶ τῆς πόλεως ἄξια ἐδημηγόρει· ἐπειδὴ δὲ ἀφίκετο εἰς Μακεδονίαν, καὶ τὸν ἐχθρὸν εἶδε τὸν ἑαυτοῦ καὶ τῶν Ἑλλήνων τὸν Φίλιππον, ἆρά γε ὅμοια, ἢ παραπλήσια τούτοις; πολλοῦ γε καὶ δεῖ, ἀλλὰ μήτε τῶν προγόνων μεμνῆσθαι, μήτε τρόπαια λέγειν, μήτε βοηθεῖν μηδενὶ, τῶν τε συμβουλευόντων μετὰ τῶν Ἑλλήνων περὶ τῆς πρὸς Φίλιππον εἰρήνης βουλεύεσθαι, θαυμάζειν εἰ περὶ τῶν ὑμετέρων ἰδίων ἄλλον τινὰ δεῖ πεισθῆναι, εἶναί τε τὸν Φίλιππον αὐτὸν, Ἡράκλεις, Ἑλληνικώτατον ἀνθρώπων, δεινότατον λέγειν, φιλαθηναιότατον· οὕτω δὲ ἀτόπους τινὰς ἐν τῇ πόλει καὶ δυσχερεῖς ἀνθρώπους εἶναι, ὥστε οὐκ αἰσχύνεσθαι λοιδορουμένους αὐτῷ, καὶ βάρβαρον αὐτὸν ἀποκαλοῦντας· ἔστιν οὖν ὅπως ἂν ταῦτ' ἐκεῖνα προειρηκὼς ὁ αὐτὸς ἀνὴρ μὴ διαφθαρεὶς ἐτόλμησεν εἰπεῖν; τίς δέ ἐστιν; ὅστις ἂν τὸν Ἀτρεστίδαν τότε μισήσας διὰ τοὺς τῶν Ὀλυνθίων παῖδας καὶ τὰ γύναια, ταὐτὰ Φιλοκράτει νυνὶ πράττειν ὑπέμεινεν, ὃς γυναῖκας ἐλευθέρας τῶν Ὀλυνθίων ἤγαγε δεῦρο ἐφ' ὕβρει, καὶ οὕτως ἐπὶ τῷ βδελυρῶς βεβιωκέναι γιγνώσκετε, ὥστε μηδὲν ἐμὲ αἰσχρὸν εἰπεῖν νυνὶ περὶ αὐτοῦ δεῖν, μηδὲ δυσχερὲς, ἀλλὰ τοσοῦτον εἰπόντος μόνον, ὅτι Φιλοκράτης γυναῖκας ἤγαγε, πάντας ὑμᾶς εἰδέναι, καὶ τοὺς περιεστηκότας τὰ μετὰ ταῦτα, καὶ ἐλεεῖν εὖ οἶδ' ὅτι τὰς ἀτυχεῖς καὶ ταλαιπώρους ἀνθρώπους, ἃς οὐκ ἠλέησεν Αἰσχίνης, οὐδὲ ἐδάκρυσεν ἐπὶ ταύταις τὴν Ἑλλάδα, εἰ παρὰ τοῖς συμμάχοις ὑπὸ τῶν πρέσβεων ὑβρίζονται· ἀλλ' ὑπὲρ αὐτοῦ κλαήσει, τοῦ τὰ τοιαῦτα πεπρεσβευκότος, καὶ τὰ παιδία ἴσως παράξει καὶ ἀναβιβάσεται. ὑμεῖς δὲ ἐνθυμεῖσθε, ὦ ἄνδρες δι-

κασταί,

εἰσαὶ, πρὸς μὲν τὰ τούτου παιδία, ὅτι πολλῶν συμμάχων ὑμετέρων καὶ φίλων παῖδες ἀλῶνται, καὶ πτωχοὶ περιέρχονται δεινὰ πεπονθότες διὰ τοῦτον, οὓς ἐλεεῖν πολλῷ μᾶλλον ὑμῖν ἄξιον, ἢ τοὺς τοσαῦτα ἠδικηκότος, καὶ προδότου πατρός, καὶ ὅτι τοὺς ὑμετέρους παῖδας οὗτοι καὶ τοῖς ἐκγόνοις προσγράψαντες τὴν εἰρήνην, καὶ τῶν ἐλπίδων ἀπεστερήκασι· πρὸς δὲ τὰ αὐτοῦ τούτου δάκρυα, ὅτι νῦν ἔχετε ἄνθρωπον, ὃς εἰς Ἀρκαδίαν ἐκέλευεν ἐπὶ τοὺς ὑπὲρ φιλίππου πράττοντας πέμπειν τοὺς κατηγορήσοντας. Νῦν τοίνυν ὑμᾶς οὐκ εἰς Πελοπόννησον δεῖ πρεσβείαν πέμπειν, οὐδ' ὁδὸν μακρὰν βαδίζειν, οὐδὲ ἐφόδια ἀναλίσκειν, ἀλλὰ ἥκει τὸ βῆμα τουτωθοῖ προσελθόντα ἕκαστον ὑμῶν τὴν ὁσίαν καὶ δικαίαν ταύτην ψῆφον ὑπὲρ τῆς πατρίδος θέσθαι κατ' ἀνδρὸς, ὃς, ὦ γῆ καὶ θεοὶ, ἐκεῖνα ἃ διεξῆλθον ἐν ἀρχῇ δεδημηγορηκὼς τὸν Μαραθῶνα, τὴν Σαλαμῖνα, τὰς μάχας, τὰ τρόπαια ἐξαίφνης ὡς ἐπέβη Μακεδονίας, πάντα τἀναντία τούτοις ἔλεγε, μὴ προγόνων μεμνῆσθαι, μὴ τρόπαια λέγειν, μὴ βοηθεῖν μηδενὶ, μὴ κοινῇ μετὰ τῶν ἑλλήνων βουλεύεσθαι, μονονὰ καθελεῖν τὰ τείχη· καίτοι τούτων αἰσχίους λόγοι οὐδένες πώποτε ἐν τῷ παντὶ γεγόνασι χρόνῳ παρ' ὑμῖν. τίς γὰρ ἐστιν ἑλλήνων ἢ βαρβάρων οὕτω σκαιὸς, ἢ ἀνήκοος, ἢ σφόδρα μισῶν τὴν πόλιν τὴν ἡμετέραν, ὅστις, εἴ τις ἔροιτο, εἰπέ μοι, τῆς νῦν οὔσης ἑλλάδος ταυτησὶ καὶ οἰκουμένης, ἔσθ' ὅτι ταύτην ἂν τὴν προσηγορίαν εἶχεν, ἢ ᾤκεῖτο ὑπὸ τῶν νῦν ἐχόντων ἑλλήνων, εἰ μὴ τὰς ἀρετὰς ὑπὲρ αὐτῶν ἐκείνας οἱ ἐν Μαραθῶνι καὶ Σαλαμῖνι παρέσχοντο ἡμέτεροι πρόγονοι; οὐδ' ἂν εἷς εὖ οἶδ' ὅτι φήσειεν, ἀλλὰ πάντα ταῦθ' ὑπὸ τῶν βαρβάρων ἂν ἑαλωκέναι· εἶθ' οὓς μηδὲ τῶν ἐχθρῶν μηδεὶς ἂν τούτων τῶν ἐγκωμίων καὶ τῶν ἐπαίνων ἀποστερήσειε, τούτων Αἰσχίνης ὑμᾶς οὐκ ἐᾷ μεμνῆσθαι τοὺς ἐξ ἐκείνων, ἵνα αὐτὸς ἀργύριον λάβῃ· καὶ μὴν τῶν μὲν ἄλλων ἀγαθῶν οὐ μέτεστι τοῖς τεθνεῶσιν· οἱ δ' ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι τῶν οὕτω τετελευτηκότων ἴδιον κτῆμά εἰσιν· οὐδὲ γὰρ ὁ φθόνος αὐτοῖς ἔτι τηνικαῦτα ἐναντιοῦται· ὧν ἀποστερῶν ἐκείνους οὗτος αὐτὸς ἂν τῆς ἐπιτιμίας δικαίως νῦν στερηθείη· καὶ ταύτην ὑπὲρ τῶν προγόνων ὑμᾶς δίκην λάβοιτε παρ' αὐτοῦ· τοιούτοις μέντοι λόγοις, ὦ κακὴ κεφαλὴ, σὺ τὰ τῶν προγόνων ἔργα συλήσας, καὶ διασύρας τῷ λόγῳ, πάν-

τα τὰ πράγματα ἀπώλεσας· εἶτα γεωργὸς ἐκ τούτων, καὶ σεμνὸς γέγονας· καὶ γὰρ αὖ τοῦτο, πρὸ μὲν τοῦ πάντα τὰ κακὰ εἰργάσθαι τὴν πόλιν, ὡμολόγει γεγραμματευκέναι, καὶ χάριν ὑμῖν ἔχειν τοῦ χειροτονηθῆναι, καὶ μέτριον παρεῖχεν ἑαυτόν· ἐπειδὴ δὲ μυρία εἴργασται κακά, τὰς ὀφρῦς ἀνέσπακε· κἂν ὁ γεγραμματευκὼς Αἰσχίνης, εἴποι τις, ἐχθρὸς εὐθέως, καὶ κακῶς φησὶν ἀκηκοέναι· καὶ διὰ τῆς ἀγορᾶς πορεύεται θοιμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν, ἴσα βαίνων Πυθοκλεῖ, τὰς γνάθους φυσῶν, τῶν Φιλίππου ξένων καὶ φίλων εἷς οὗτος ὑμῖν ἤδη, τῶν ἀπαλλαγῆναι τοῦ δήμου βουλομένων, καὶ κλύδωνα καὶ μανίαν τὰ καθεστηκότα πράγματα ἡγουμένων· ὁ τέως ἔτι προσκυνῶν τὴν Θόλον. Βούλομαι τοίνυν ὑμῖν ἐπὶ κεφαλαίων ἐπελθεῖν, ὃν τρόπον ὑμᾶς κατεπολιτεύσατο Φίλιππος προσλαβὼν τούτους τοὺς θεοῖς ἐχθρούς· πάνυ δὲ ἄξιον ἐξετάσαι καὶ θεάσασθαι τὴν ἀπάτην ὅλην· τὸ μὲν γὰρ ἀπ' ἀρχῆς τῆς εἰρήνης ἐπιθυμῶν διαφορουμένης αὐτοῦ τῆς χώρας ὑπὸ τῶν λῃστῶν καὶ κεκλεισμένων τῶν ἐμπορίων, ὥστε ἀνόνητον ἐκεῖνον ἁπάντων εἶναι τῶν ἀγαθῶν, τοὺς τὰ φιλάνθρωπα λέγοντας ἐκείνους ἀπέστελλεν ὑπὲρ αὐτοῦ, τὸν Νεοπτόλεμον, τὸν Ἀριστόδημον, τὸν Κτησιφῶντα· ἐπειδὴ δὲ ἤλθομεν ὡς αὐτὸν ἡμεῖς οἱ πρέσβεις, ἐμισθώσατο μὲν τοῦτον εὐθέως, ὅπως συνερεῖ καὶ συναγωνιεῖται τῷ μιαρῷ Φιλοκράτει, καὶ τῶν τὰ δίκαια βουλομένων ἡμῶν πράττειν περιέσται· συνέγραψε δὲ ἐπιστολὴν ὡς ὑμᾶς, ᾗ μάλιστα ἂν ᾤετο τῆς εἰρήνης τυχεῖν· ἦν δὲ οὐδὲν μᾶλλον μέγα αὐτῷ καθ' ὑμῶν οὐδ' οὕτω πρᾶξαι, εἰ μὴ Φωκέας ἀπολεῖ· τοῦτο δὲ οὐκ ἦν εὔπορον· συνῆκτο γὰρ αὐτῷ τὰ πράγματα, ὥσπερ ἐκ τύχης, εἰς καιρὸν τοιοῦτον ὥστε ἢ μηδὲν ὧν ἐβούλετο εἶναι διαπράξασθαι, ἢ ἀνάγκην εἶναι ψεύσασθαι, ἐπιορκῆσαι, καὶ μάρτυρας τῆς αὑτοῦ κακίας πάντας Ἕλληνας καὶ βαρβάρους ποιήσασθαι· εἰ μὲν γὰρ προσδέξαιτο Φωκέας συμμάχους, καὶ μεθ' ὑμῶν τοὺς ὅρκους αὐτοῖς ἀποδοίη, τοὺς πρὸς Θετταλοὺς καὶ Θηβαίους ὅρκους παραβαίνειν εὐθὺς ἀναγκαῖον ἦν, ὧν τοῖς μὲν τὴν Βοιωτίαν συνεξαιρήσειν ὠμωμόκει· τοῖς δὲ τὴν Πυλαίαν συγκαταστήσειν· εἰ δὲ μὴ προσδέχοιτο, ὥσπερ οὐ προσίετο, οὐκ ἐάσειν ὑμᾶς παρελθεῖν αὐτὸν ἡγεῖτο, ἀλλὰ βοηθήσειν εἰς Πύλας· ὅπερ εἰ μὴ παρεκρούσθητε, ἐ-

ποιή-

ἐποιήσατε ἄν· εἰ δὲ τοῦτο γένοιτο, οὐκ οἴεται παρελθεῖν ἐλογίζετο, καὶ τοῦτο οὐ παρ' ἄλλου αὐτὸν ἔδει πυθέσθαι, ἀλλ' αὐτὸς ὑπῆρχε μάρτυς ἑαυτῷ τοῦ πράγματος· ὅτε γὰρ τὸ πρῶτον ἐκράτησε Φωκέας ὁ Φίλιππος, καὶ διέφθειρε τοὺς ξένους αὐτῶν, καὶ τὸν ἡγούμενον, καὶ στρατηγοῦντα Ὀνόμαρχον, τότε τῶν ὄντων ἀνθρώπων ἁπάντων οὐδενὸς οὔτε Ἑλλήνων, οὔτε βαρβάρου βοηθήσαντος Φωκεῦσι πλὴν ὑμῶν, οὐχ ὅπως παρῆλθεν, ἢ διεπράξατο ὧν ἐβουλήθη τι παρελθὼν, ἀλλ' οὐδὲ προσελθεῖν ἐγγὺς ἠδυνήθη· ᾔδει δὲ σαφῶς, οἶμαι, τοῦτο, ὅτι νῦν ἡνίκα ἐστασίαζε μὲν αὐτῷ τὰ Θετταλῶν, καὶ Φεραῖοι πρῶτον οὐ συνηκολούθουν, ἐκρατοῦντο δὲ Θηβαῖοι, καὶ μάχῃ ἡττῶντο, καὶ τρόπαιον ἀπ' αὐτῶν ἑστήκει, οὐκ ἔνεστι παρελθεῖν, εἰ βοηθήσεθ' ὑμεῖς· οὐδὲ ἂν ἐπιχειρῇ τοῖς ὅπλοις διαγωνίσεται, εἰ μή τις τέχνη προσγενήσεται· πῶς οὖν μήτε ψεύσομαι φανερῶς, μήτε ἐπιορκεῖν δόξας πάνθ' ὅσα βούλομαι, διαπράξομαι; πῶς; οὕτως. ἂν Ἀθηναίων τινὰς εὕρω τοὺς Ἀθηναίους ἐξαπατήσοντας· ταύτης γὰρ οὐκ ἔτ' ἐγὼ τῆς αἰσχύνης κληρονομῶ· ἐντεῦθεν οἱ μὲν παρ' ἐκείνου πρέσβεις προὔλεγον ὑμῖν, ὅτι Φωκέας οὐ προσδέχεται Φίλιππος συμμάχους· οὗτοι δὲ ἐκδεχόμενοι, τοιαῦτα ἐδημηγόρουν, ὡς φανερῶς μὲν, οὐχὶ καλῶς ἔχει τῷ Φιλίππῳ προσδέξασθαι τοὺς Φωκέας συμμάχους διὰ τοὺς Θηβαίους καὶ τοὺς Θετταλούς· ἐὰν δὲ γένηται τῶν πραγμάτων κύριος καὶ τῆς εἰρήνης τύχῃ, ἅπερ ἂν συνθέσθαι νῦν ἀξιώσαιμεν αὐτὸν, ταῦτα ποιήσει τότε· τὴν μὲν τοίνυν εἰρήνην ταύταις ταῖς ἐλπίσι καὶ ταῖς διδασκαλίαις καὶ ταῖς ἐπαγωγαῖς εὕρετο παρ' ὑμῶν ἄνευ Φωκέων· τὴν δὲ βοήθειαν ἔδει μετὰ ταῦτα κωλῦσαι τὴν εἰς τὰς Πύλας, ἐφ' ἣν αἱ πεντήκοντα τριήρεις ὅμως ἐφώρμουν, ἵν' εἰ πορεύοιτο Φίλιππος, κωλύοιτε ὑμεῖς· πῶς οὖν; τίς τέχνη πάλιν αὖ γενήσεται περὶ ταύτης; τοὺς χρόνους ὑμῶν ἀφελέσθαι, καὶ ἐπιστῆσαι τὰ πράγματα ἀγαγόντας ἄφνω, ἵνα μηδ' ἂν βούλησθε, δυνήσεσθε ἐξελθεῖν· οὐκοῦν ταῦθ' οὗτοι πράξαντες φαίνονται· ἐγὼ δ' ὥσπερ ἀκηκόατε ἤδη πολλάκις, οὐχὶ δυνηθεὶς προαπελθεῖν, ἀλλὰ καὶ μισθωσάμενος πλοῖον κατεκωλύθην ἐκπλεῦσαι· ἀλλὰ καὶ πιστεῦσαι Φωκέας ἔδει Φιλίππῳ, καὶ ἑκόντας ἑαυτοὺς ἐκδοῦναι, ἵνα μηδεὶς χρόνος ἐγγένηται τοῖς πράγμασι, μηδ' ἐναντίον ἔλθῃ ψήφισμα παρ' ὑμῶν

μηδέν·

μηδέν. ἐκεῖ ὡς μὲν οἱ Φωκεῖς σωθήσονται, παρὰ τῶν Ἀθηναίων πρέσβεων ἀπαγγελθήσεται· ὥστε καὶ εἴτις ἐμοὶ διαπιστεῖ, τούτοις πιστεύσας ἑαυτὸν ἐγχειριεῖ· τοὺς δὲ Ἀθηναίους αὐτοὺς μεταπεμψόμεθ' ἡμεῖς, ἵνα πάντα ὅσα ἂν βούλωνται, νομίζοντες ὑπάρχειν σφίσι, μηδὲν ἐναντίον ψηφίσωνται· οὗτοι δὲ τοιαῦτα ἀπαγγελοῦσι παρ' ὑμῶν καὶ ὑποσχήσονται· ἐξ ὧν μηδ' ἂν ὁτιοῦν ᾖ, κινηθήσονται. τοῦτον τὸν τρόπον καὶ τοιαύταις τέχναις ὑπὸ τούτων τῶν κακίστα ἀπολουμένων ἀνθρώπων πάντα τὰ πράγματα ἀπώλετο· καὶ γάρ τοι παραχρῆμα ἀντὶ μὲν τοῦ Θεσπιὰς καὶ Πλαταιὰς οἰκιζομένας ἰδεῖν, Ὀρχομενὸν καὶ Κορώνειαν ἠκούετε ἠνδραποδισμένας· ἀντὶ δὲ τοῦ, τὰς Θήβας ταπεινὰς γενέσθαι, καὶ περιαιρεθῆναι τὴν ὕβριν καὶ τὸ φρόνημα αὐτῶν, τὰ τῶν συμμάχων τῶν ὑμετέρων Φωκέων τείχη κατεσκάπτετο· Θηβαῖοι δὲ ἦσαν οἱ κατασκάπτοντες, οἱ διοικισθέντες ὑπ' Αἰσχίνου τῷ λόγῳ· ἀντὶ δὲ τοῦ, τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ἡμῖν παραδοθῆναι, ὁρμητήρια ἐφ' ἡμᾶς ἐν Εὐβοίᾳ Φίλιππος προσκατασκευάζεται, καὶ Γεραιστῷ καὶ Μεγάροις ἐπιβουλεύων διατελεῖ, ἀντὶ δὲ τοῦ τὸν Ὠρωπὸν ὑμῖν ἀποδοθῆναι, περὶ Δρυμοῦ καὶ τῆς πρὸς Πανάκτῳ χώρας μεθ' ὅπλων ἐξερχόμεθα, ὃ, τέως ἦσαν Φωκεῖς σῶοι, οὐδέποτε ἐποιήσαμεν· ἀντὶ δὲ τοῦ, τὰ πάτρια ἐν τῷ ἱερῷ κατασταθῆναι, καὶ τὰ χρήματα εἰσπραχθῆναι τῷ θεῷ, οἱ μὲν ὄντες Ἀμφικτύονες φεύγουσι καὶ ἐξελήλανται, καὶ ἀνάστατος αὐτῶν ἡ χώρα γέγονεν, οἱ δ' οὐδὲ πώποτε ἐν τῷ πρόσθεν γεγονότες Μακεδόνες βάρβαροι, νῦν Ἀμφικτύονες εἶναι βιάζονται· ἐὰν δέ τις περὶ τῶν ἱερῶν χρημάτων μνησθῇ, κατακρημνίζεται· ἡ πόλις δὲ, τὴν προμαντείαν ἀφῄρηται. καὶ γέγονε τὰ πράγματα πάντα, ὥσπερ αἴνιγμα τῇ πόλει· ὁ μὲν οὐδὲν ἔψευσται, καὶ πάντα ὅσα ἐβουλήθη διαπέπρακται· ὑμεῖς δὲ ἅπερ εὔξαισθε ἂν ἐλπίσαντες, τἀναντία τούτων ἑωράκατε γιγνόμενα, καὶ δοκεῖτε μὲν εἰρήνην ἄγειν, πεπόνθατε δὲ δεινότερα, ἢ πολεμοῦντες· οὗτοι δὲ χρήματα ἔχουσιν ἐπὶ τούτοις. καὶ μέχρι τῆς τήμερον ἡμέρας δίκην οὐ δεδώκασιν· ὅτι δὲ ταῦθ' ἁπλῶς δεδωροδόκηνται, καὶ πολλὰ ἔχουσι ἀπάντων τούτων οὗτοι, πολλαχόθεν ἔγωγ' οἶμαι δῆλον ὑμῖν εἶναι πάλαι, καὶ δέδοικα μὴ τοὐναντίον οὗ βουλο-

βούλομαι, ποιήσω, σφόδρα ἀκριβῶς δεικνύναι πεπραμένον, δι' ὄχλου πάλαι τοῦτο αὐτοὺς ὑμᾶς εἰδότας· ὅμως δ' οὖν ἔτι καὶ τόδε ἀκούσατε. Ἔστιν ὅντινα ὑμεῖς, ὦ ἄνδρες δικασταὶ, τῶν πρέσβεων ὧν ἔπεμψε Φίλιππος, χαλκοῦν στήσαιτ' ἂν ἐν ἀγορᾷ; τί δέ; δοίητ' ἂν ἐν Πρυτανείῳ σίτησιν, ἢ ἄλλην τινὰ δωρεὰν, αἷς τιμᾶτε τοὺς εὐεργέτας; ἐγὼ μὲν οὐκ οἶμαι· διὰ τί; οὔτε γὰρ ὑμεῖς γε ἀχάριστοί ἐστε, οὔτε ἄδικοι ἄνθρωποι; οὔτε κακοὶ, ἀλλ' ὅτι πάνθ' ὑπὲρ Φιλίππου καὶ οὐδὲ ἓν ὑπὲρ ὑμῶν ἔπραξαν, εἴποιτε ἂν καὶ ἀληθῆ, καὶ δίκαια· εἶτα οἴεσθε ὑμεῖς μὲν οὕτω γιγνώσκειν, τὸν δὲ Φίλιππον οὐχ οὕτως, ἀλλὰ τούτοις διδόναι τοσαύτας καὶ τηλικαύτας δωρεὰς, διότι ὑπὲρ ὑμῶν δικαίως καὶ καλῶς ἐπρεσβεύσαν; οὐκ ἔστι ταῦτα· τὸν γὰρ Ἡγήσιππον ὁρᾶτε, καὶ τοὺς μετ' αὐτοῦ πρέσβεις ὅπως ἐδέξατο· τὰ μὲν ἄλλα σιωπῶ, ἀλλὰ Ξενοκλείδην τουτονὶ τὸν ποιητὴν ἐξεκήρυξεν, ὅτι αὐτοὺς ὑπεδέξατο πολίτας ὄντας· τοῖς μὲν γὰρ ὑπὲρ ὑμῶν λέγουσι δικαίως ὅσα ἂν φρονῶσι, τοῦτον τὸν τρόπον προσφέρεται, τοῖς δὲ πεπρακόσιν ἑαυτοὺς, ὡς τούτοις· ταῦτ' οὖν μαρτύρων; ταῦτ' οὖν ἐλέγχων τινῶν ἔτι δεῖται μειζόνων; ταῦτ' ἀφαιρήσεταί τις ὑμῶν; εἶπε τοίνυν μοί τις ἄρτι προσελθὼν πρὸ τοῦ δικαστηρίου πρᾶγμα καινότατον πάντων, Χάρητος κατηγορεῖν αὐτὸν παρεσκευάσθαι, καὶ διὰ τούτου τοῦ τρόπου, καὶ διὰ τούτων τῶν λόγων ἐξαπατήσειν ὑμᾶς ἐλπίζειν· ἐγὼ δ' ὅτι μὲν πάντα τρόπον κρινόμενος Χάρης εὑρεθήσεται πιστῶς καὶ εὐνοϊκῶς ὅσον ἦν ἐπ' ἐκείνῳ, πράττων ὑπὲρ ὑμῶν· διὰ δὲ τοὺς ἐπὶ χρήμασι λυμαινομένους τοῖς πράγμασι πολλῶν ὑστερῶν, οὐ πάνυ διισχυρίζομαι, ἀλλ' ὑπερβολὴν ποιήσομαι· ἔστω γὰρ πάντα τἀληθῆ λέγειν περὶ αὐτοῦ τουτονί· καὶ οὕτω τοίνυν κομιδῆ γέλως ἐστὶ κατηγορεῖν ἐκείνου τουτονί· ἐγὼ γὰρ Αἰσχίνην οὐδενὸς αἰτιῶμαι τῶν ἐν τῷ πολέμῳ πραχθέντων· τούτων γάρ εἰσιν οἱ στρατηγοὶ ὑπεύθυνοι, οὐδὲ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην, ἀλλὰ μέχρι τούτου πάντα ἀφίημι· τί οὖν λέγω, καὶ πόθεν ἄρχομαι κατηγορεῖν; τοῦ ποιουμένης τῆς πόλεως εἰρήνην Φιλοκράτει συνειπεῖν, ἀλλὰ μὴ τοῖς τὰ βέλτιστα γράφουσι, καὶ τοῦ δῶρα εἰληφέναι, τοῦ μετὰ ταῦτα ἐπὶ τῆς ὑστέρας πρεσβείας τοὺς χρόνους κατατρῖψαι, καὶ μηδὲν ὧν προσετάξατε ὑμεῖς ποιῆσαι, τοῦ φενακίσαι τὴν πόλιν,

λιν, καὶ διασείσαντι ἐλπίδας, ὡς οὐχ βουλόμεθα ἡμεῖς, Φίλιππον πράξειν, πάντα ἀπολωλεκέναι, τὸ μετὰ ταῦτα ἑτέρων προλεγόντων, φυλάττεσθαι τὸν τοσαῦτα ἠδικηκότα, τοῦτον ἐκείνῳ συνηγορεῖν, ταῦτα κατηγορῶ, ταῦτα μέμνησθε· ἐπεὶ δικαίαν εἰρήνην καὶ ἴσην, καὶ μηδὲν πεπρακότας ἀνθρώπους, μηδὲ ψευσαμένους ὕστερον, κἂν ἐπῄνουν, καὶ στεφανοῦν ἐκέλευον· στρατηγὸς δ' εἴ τις ἠδίκηκεν ὑμᾶς, οὐχὶ κοινωνεῖ ταῖς νῦν εὐθύναις· ποῖος γὰρ στρατηγὸς Ἅλον, τίς δὲ Φωκέας ἀπολώλεκε; τίς δὲ Δορίσκον; τίς δὲ Κερσοβλέπτην; τίς δὲ ἱερὸν ὄρος; τίς δὲ Πύλας; τίς δὲ πεποίηκεν ἄχρι τῆς Ἀττικῆς ὁδὸν διὰ συμμάχων καὶ φίλων εἶναι Φιλίππῳ; τίς δὲ Κορώνειαν; τίς Ὀρχομενόν; τίς Εὔβοιαν ἀλλοτρίαν, τίς Μέγαρα πρώην ὀλίγου; τίς Θηβαίους ἰσχυρούς; τούτων γὰρ οὐδὲν τοσούτων καὶ τηλικούτων ὄντων διὰ τοὺς στρατηγοὺς ἀπώλετο· οὐδὲν τῇ εἰρήνῃ συγχωρηθὲν πεισθέντων ὑμῶν ἔχει Φίλιππος· ἀλλὰ διὰ τούτους ἀπόλωλε, καὶ τὴν τούτων δωροδοκίαν· ἂν τοίνυν ταῦτα μὲν φεύγῃ, πλανᾷ δὲ, καὶ πάντα μᾶλλον λέγῃ ἐκεῖνος, αὐτὸν δέχεσθε, οὐ στρατηγῷ δικάζομεν· οὐ περὶ τούτων κρίνῃ· μὴ λέγε εἴ τις αἴτιός ἐστι καὶ ἄλλος τοῦ τῶν Φωκέων ὀλέθρου, ἀλλ' ὡς οὐ σὺ συναίτιος εἶ, δεῖξον· τί οὖν, εἴ τι Δημοσθένης ἠδίκει, νῦν λέγεις, ἀλλ' οὐχ, ὅτε τὰς εὐθύνας ἐδίδου, κατηγόρεις; δι' αὐτὸ γὰρ εἰ τοῦτο ἀπολωλέναι δίκαιος· μὴ λέγε ὡς καλὸν εἰρήνη, μηδ' ὡς συμφέρον· οὐδεὶς γὰρ αἰτιᾶταί σε τοῦ πεποιῆσθαι τὴν πόλιν εἰρήνην, ἀλλ', ὡς οὐκ αἰσχρὰ καὶ ἐπονείδιστος καὶ πολλὰ ὕστερον ἐξηπατήμεθα, καὶ πάντα ἀπώλετο, ταῦτα λέγε· τούτων γὰρ ἁπάντων ἡμῖν αἴτιος σὺ δέδειξαι· καὶ τί δὴ μέχρι νυνὶ τὸν τὰ τοιαῦτα πεποιηκότα ἐπαινεῖς; ἂν οὕτω φυλάττητε αὐτὸν, οὐχ ἕξει τι λέγειν, ἀλλὰ τὸ μάλλως ἐνταῦθα ἐπαρεῖ τὴν φωνὴν, καὶ πεφωνασκηκὼς ἔσται. Καί τοι καὶ περὶ τῆς φωνῆς ἴσως εἰπεῖν ἀνάγκη· πάνυ γὰρ μέγα καὶ ἐπὶ ταύτῃ φρονεῖν αὐτὸν ἀκούω, ὡς καθυποκρινούμενον ὑμᾶς· ἐμοὶ δὲ δοκεῖτε ἀτοπώτατον ἁπάντων ἂν ποιῆσαι, εἰ ὅτε μὲν τὰ Θυέστου, καὶ τῶν ἐπὶ Τροίᾳ κακὰ ἠγωνίζετο, ἐξεβάλλετε αὐτὸν, καὶ ἐξεσυρίττετε ἐκ τῶν θεάτρων, καὶ μόνον οὐ κατελεύετε οὕτως, ὥστε τελευτῶντα τοῦ τριταγωνιστεῖν ἀποστῆναι· ἐπειδὴ δὲ οὐκ ἐπὶ

τῆς σκηνῆς, ἀλλ' ἐν τοῖς μεγίστοις τῆς πόλεως πράγμασι μυρία εἴργασαι κακά, τηνικαῦτα ὡς καλὸν φθεγγομένῳ προσέχοιτε; μηδαμῶς, μηδὲν ἀβέλτερον ὑμᾶς πάθητε· ἀλλὰ λογίζεσθε, ὅτι δεῖ κήρυκα μὲν ἂν δοκιμάζητε, εὔφωνος, σκοπεῖν, πρεσβευτὴν δὲ καὶ τῶν κοινῶν ἀξιοῦντά τι πράττειν, δίκαιον καὶ φρόνημα ἔχοντα ὑπὲρ μὲν ὑμῶν μέγα, πρὸς δὲ ὑμᾶς ἴσον· ὥσπερ ἐγὼ φίλιππον μὲν οὐκ ἐθαύμασα, τοὺς δὲ αἰχμαλώτους θαυμάσας ἔσωσα, οὐδὲν ὑπεστειλάμην· οὗτος δ' ἐκείνου μὲν προὐκυλινδεῖτο, καὶ τοὺς παιᾶνας ᾖδεν, ὑμῶν δὲ ὑπερεώρα· ἔτι τοίνυν, ὅταν μὲν ἴδητε δεινότητα, ἢ εὐφωνίαν, ἤ τι τῶν ἄλλων τῶν τοιούτων ἀγαθῶν ἐπὶ χρηστοῦ καὶ φιλοτίμου γεγενημένον ἀνθρώπου συγχαίρειν καὶ συνασκεῖν ἅπαντας δεῖ· κοινὸν γὰρ ὑμῖν ἅπασι τοῖς ἄλλοις τοῦτο τὸ ἀγαθὸν γίνεται· ὅταν δὲ ἐπὶ δωροδόκου καὶ πονηροῦ καὶ παντὸς ἥττονος λήμματος, ἀποκλείειν καὶ πικρῶς καὶ ἐναντίως ἀκούειν· ὡς πονηρία δυνάμεως δόξαν εὑρομένη παρ' ὑμῶν ἐπὶ τὴν πόλιν ἐστίν· ὁρᾶτε δ' ἀφ' ὧν οὗτος εὐδοκιμεῖ, ἡλίκα τῇ πόλει περιέστηκε πράγματα· αἱ μὲν τοίνυν ἄλλαι δυνάμεις ἐπιεικῶς εἰσιν αὐτάρκεις, ἡ δὲ τοῦ λέγειν, ἂν τὰ παρ' ὑμῶν τῶν ἀκουόντων ἀντιστῇ, διακόπτεται· οὕτως οὖν ἀκούετε τούτου, ὡς πονηροῦ καὶ δωροδόκου καὶ οὐδοτιοῦν ἐροῦντος ἀληθές. Ὅτι δ' οὐ μόνον κατὰ τἄλλα, ἀλλὰ καὶ τὰ πρὸς αὐτὸν τὸν φίλιππον πράγματα πανταχοῦ συμφέρει τουτονὶ ἑαλωκέναι, θεάσασθε· εἴτε γὰρ ἥξει ποτὲ εἰς ἀνάγκην τῶν δικαίων τι ποιεῖν τῇ πόλει, τὸν τρόπον μεταθήσεται· νῦν μὲν γὰρ προῄρηται τοὺς πολλοὺς ἐξαπατῶν, ὀλίγους θεραπεύειν· ἂν δὲ τούτους ἀπολωλότας πύθηται, ὑμῖν τοῖς πολλοῖς καὶ πάντων κυρίοις, τὰ λοιπὰ ποιεῖν βουλήσεται· εἴτ' ἐπὶ τῆς αὐτῆς ὥσπερ νῦν ἐξουσίας καὶ ἀσελγείας μενεῖ, τοὺς ὁτιοῦν ἂν ἐκείνῳ ποιήσοντας ἀνῃρηκότες ἐκ τῆς πόλεως ἔσεσθε, ἂν τούτους ἀνέλητε· εἰ γὰρ οἰόμενοι δίκην ὑφέξειν τοιαῦτα ἔπραξαν, τούτους, ἐὰν τὰ παρ' ὑμῶν αὐτοῖς ἀφεθῇ, τί οἴεσθε ποιήσειν; ποῖον Εὐθυκράτην; ποῖον Λασθένην; τίν' οὐχ ὑπερβαλεῖσθαι προδότην; τίνα δ' οὐ πάντων τῶν ἄλλων χείρω πολίτην ὑπάρξειν; ὁρῶντα τοῖς μὲν ἅπαντα πεπρακόσι χρήματα, δόξαν, ἀφορμήν, τὴν φιλίππου ξενίαν περιοῦσαν, τοῖς δὲ δικαίους τε παρέχου-

ρέχουσιν ἑαυτοὺς, καὶ προσκεκηλιδωκόσι χρήμασι, πράγμασι, ἀπεχθείας, φθόνους ὀφλίσκοντα παρ' ὑμῖν; μηδαμῶς· οὔτε γὰρ πρὸς δόξαν, οὔτε πρὸς εὐσέβειαν, οὔτε πρὸς ἀσφάλειαν, οὔτε πρὸς ἄλλο οὐδὲν ὑμῖν συμφέρει, τούτους ἀφεῖναι, ἀλλὰ τιμωρησαμένους παράδειγμα ποιῆσαι πᾶσι καὶ τοῖς πολίταις, καὶ τοῖς ἄλλοις Ἕλλησι.

ACADEMIA ESPAÑOLA BIBLIOTECA

# ΔΗΜΟΣΘΕ'ΝΟΥΣ

## ΚΑΤΑ' ΦΙΛΙ'ΠΠΟΥ

## ΛΟ'ΓΟΣ ΔΕΥ'ΤΕΡΟΣ.

Ὅταν, ὦ ἄνδρες ἀθηναῖοι, λόγοι γίγνωνται περὶ ὧν φίλιππος πράττει, καὶ βιάζεται παρὰ τὴν εἰρήνην ἀεὶ, τοὺς ὑπὲρ ὑμῶν λόγους καὶ δικαίους καὶ φιλανθρώπους ὁρῶ φαινομένους, καὶ λέγειν μὲν ἅπαντας ἀεὶ τὰ δέοντα δοκοῦντας τοὺς κατηγοροῦντας φιλίππου, γιγνόμενον δ' οὐδὲν, ὡς ἔπος εἰπεῖν, τῶν δεόντων, οὐδ' ὧν εἵνεκα ταῦτα ἀκούειν ἄξιον· ἀλλ' εἰς τοῦτο ἤδη προηγμένα τυγχάνει πάντα τὰ πράγματα τῇ πόλει, ὥστε ὅσῳ τις ἂν μᾶλλον καὶ φανερώτερον ἐξελέγχῃ φίλιππον, καὶ τὴν πρὸς ὑμᾶς εἰρήνην παραβαίνοντα, καὶ πᾶσι τοῖς ἕλλησιν ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί χρὴ ποιεῖν συμβουλεῦσαι χαλεπώτερον εἶναι. Αἴτιον δὲ τούτων, ὅτι πάντας, ὦ ἄνδρες ἀθηναῖοι, τοὺς πλεονεκτεῖν ζητοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν, οὐχὶ λόγοις δέον· πρῶτον μὲν ἡμεῖς οἱ παριόντες τούτων μὲν ἀφέσταμεν καὶ γράφειν καὶ συμβουλεύειν, διὰ τὴν πρὸς ὑμᾶς ἀπέχθειαν ὀκνοῦντες· οἷα ποιεῖ δὲ, ὡς δεινὰ καὶ χαλεπὰ καὶ τοιαῦτα διεξερχόμεθα· ἔπειθ' ὑμεῖς οἱ καθήμενοι, ὡς μὲν ἂν εἴποιτε δικαίους λόγους, καὶ λέγοντος ἄλλου συνιῆτε, ἄμεινον φιλίππου παρεσκευάσθε· ὡς δὲ κωλύσαιτ' ἂν ἐκεῖνον πράττειν ταῦτα, ἐφ' ὧν ἐστι νῦν, παντελῶς ἀργῶς ἔχετε· συμβαίνει δὴ πρᾶγμα ἀναγκαῖον οἶμαι καὶ ἴσως εἰκὸς, ἐν οἷς ἑκάτεροι διατρίβετε, καὶ περὶ ἃ σπουδάζετε, ταῦτ' ἄμεινον ἑκατέροις ἔχειν, ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δ' οἱ λόγοι· εἰ μὲν οὖν καὶ νῦν λέγειν δικαιότερα ὑμῖν ἐξαρκεῖ, ῥᾴδιον, καὶ πόνος οὐδεὶς πρόσεστι τῷ πράγματι· εἰ δ' ὅπως τὰ παρόντα ἐπανορθωθήσεται, δεῖ σκοπεῖν, καὶ μὴ προελθόντα ἔτι πορρωτέρω λήσει πάντας ἡμᾶς, μηδ' ἐπιστήσεται μέγεθος δυνάμεως, πρὸς ἣν οὐδ' ἀντάραι δυνη-

βουλευσόμεθα, οὐχ ὁ αὐτὸς τρόπος, ὥσπερ πρότερον τοῦ βουλεύεσθαι· ἀλλὰ καὶ τοῖς λέγουσιν ἅπασι, καὶ τοῖς ἀκούουσιν ὑμῖν τὰ βέλτιστα καὶ τὰ σώσοντ' ἀντὶ τῶν ῥᾴστων καὶ ἡδίστων προαιρετέον. Πρῶτον μὲν εἴ τις, ὦ ἄνδρες Ἀθηναῖοι, θαρρεῖ, ὁρῶν ἡλίκος ἤδη καὶ ὅσων κύριός ἐστι Φίλιππος, καὶ μηδένα οἴεται κίνδυνον φέρειν τοῦτο τῇ πόλει, μηδ' ἐφ' ὑμᾶς πάντα ταῦτα παρασκευάζεσθαι, θαυμάζω· καὶ δεηθῆναι πάντων ὁμοίως ὑμῶν βούλομαι, τοὺς λογισμοὺς ἀκοῦσαί μου διὰ βραχέων, δι' οὓς τἀναντία μοι παρέστηκε προσδοκᾶν, καὶ δι' ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον· ἵν' ἐὰν μὲν ἐγὼ δοκῶ βέλτιον τῶν ἄλλων προορᾶν, ἐμοὶ πεισθῆτε· ἐὰν δ' οἱ θαρροῦντες καὶ πεπιστευκότες αὐτῷ, τούτοις προσθῆσθε· ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, λογίζομαι τίνων ὁ Φίλιππος κύριος πρῶτον μετὰ τὴν εἰρήνην κατέστη, Πυλῶν, καὶ τῶν ἐν Φωκεῦσι πραγμάτων· τί οὖν; πῶς τούτοις ἐχρήσατο; ἃ Θηβαίοις συμφέρει, καὶ οὐχ ἃ τῇ πόλει, πράττειν προείλετο· τί δήποτε; ὅτι πρὸς πλεονεξίαν, οἶμαι, καὶ τὸ πάνθ' ὑφ' ἑαυτῷ ποιήσασθαι τοὺς λογισμοὺς ἐξετάζων, καὶ οὐ πρὸς εἰρήνην, οὐδ' ἡσυχίαν, οὐδὲ δίκαιον οὐδὲν οἶδε τοῦτο ὀρθῶς, ὅτι τῇ μὲν ἡμετέρᾳ πόλει, καὶ τοῖς ἡμετέροις ἤθεσιν οὐδὲν ἂν ἐνδείξαιτο τοιοῦτον, οὐδὲ πείσειεν, ὑφ' οὗ πεισθέντες ὑμεῖς, τῆς ἰδίας ἕνεκα ὠφελείας τῶν ἄλλων τινὰς Ἑλλήνων ἐκείνῳ προῆσθε· ἀλλὰ καὶ τοῦ δικαίου λόγον ποιούμενοι, καὶ τὴν προσοῦσαν ἀδοξίαν τῷ πράγματι φεύγοντες, καὶ πάνθ' ἃ προσήκει προορώμενοι ὁμοίως ἐναντιώσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν, ὥσπερ ἂν εἰ πολεμοῦντες τύχοιτε· τοὺς δὲ Θηβαίους ἡγεῖτο, ὅπερ συνέβη, ἀντὶ τῶν * ἑαυτοῖς γιγνομένων * τὰ λοιπὰ ἐάσειν, ὅπως βούλεται πράττειν * αὐτόν, καὶ οὐχ ὅπως ἀντιπράξειν καὶ διακωλύσειν, ἀλλὰ καὶ συστρατεύσειν, ἂν αὐτοὺς κελεύῃ, καὶ νῦν τοὺς Μεσσηνίους καὶ τοὺς Ἀργείους ταὐτὰ ὑπειληφὼς εὖ ποιεῖ, ὃ καὶ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον, ὦ ἄνδρες Ἀθηναῖοι· κέκρισθε γὰρ ἐκ τούτων τῶν ἔργων μόνοι τῶν πάντων μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλλήνων προέσθαι, μηδ' ἀνταλλάξασθαι μηδεμιᾶς χάριτος μηδ' ὠφελείας τῆς εἰς τοὺς Ἕλληνας εὐνοίας. Καὶ μὴν ταῦτ' εἰκότως καὶ περὶ ὑμῶν οὕτως ὑπείληφε, καὶ κατ' Ἀργείων καὶ Θηβαίων ὡς ἑτέρως, οὐ μόνον εἰς τὰ

παρόντα ὁρῶν, ἀλλὰ καὶ τὰ πρὸ τούτων λογιζόμενος· εὑρίσκει γὰρ οἶμαι καὶ ἀκούει, τοὺς μὲν ὑμετέρους προγόνους, ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων, ὥστ' αὐτοὺς ὑπακούειν βασιλεῖ, οὐ μόνον οὐκ ἀνασχομένους τὸν λόγον τοῦτον, ἡνίκα ἦλθεν Ἀλέξανδρος ὁ τούτων πρόγονος περὶ τούτων κῆρυξ, ἀλλὰ καὶ τὴν πόλιν ἐκλιπεῖν προελομένους, καὶ παθεῖν ὁτιοῦν ὑπομείναντας, καὶ μετὰ ταῦτα πράξαντας ταῦτα, ἃ πάντες μὲν ἀεὶ γλίχονται λέγειν, ἀξίως δ' εἰπεῖν οὐδεὶς δεδύνηται· διόπερ κἀγὼ παραλείψω δικαίως· ἔστι γὰρ μείζω τὰ ἐκείνων ἔργα, ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι· τοὺς δὲ Θηβαίων καὶ Ἀργείων προγόνους, τοὺς μὲν συστρατεύσαντας τῷ βαρβάρῳ, τοὺς δ' οὐκ ἐναντιωθέντας· οἶδεν οὖν ἀμφοτέρους ἰδίᾳ τὸ λυσιτελοῦν ἀγαπήσοντας, οὐχ ὅ, τι συνοίσει κοινῇ τοῖς Ἕλλησι σκεψομένους· ἡγεῖτο οὖν εἰ μὲν ὑμᾶς ἕλοιτο φίλους, ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι· εἰ δ' ἐκείνοις πρόσθοιτο, συνεργοὺς ἕξειν τῆς αὑτοῦ πλεονεξίας· διὰ ταῦτ' ἐκείνους ἀνθ' ὑμῶν καὶ τότε καὶ νῦν αἱρεῖται· οὐ γὰρ δὴ τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς ἢ ὑμῖν ἐνούσας, οὐδ' ἐν μὲν τῇ μεσογείᾳ τινὰ ἀρχὴν εὕρηκε, τῆς δ' ἐπὶ τῇ θαλάττῃ, καὶ τῶν ἐμπορίων ἀφέστηκεν· οὐδ' ἀμνημονεῖ τοὺς λόγους οὐδὲ τὰς ὑποσχέσεις, ἐφ' αἷς τῆς εἰρήνης ἔτυχεν. Ἀλλὰ νὴ Δία εἴποι τις ἄν, ὡς πάντα ταῦτα εἰδὼς οὐ πλεονεξίας ἕνεκεν, οὐδ' ὧν ἐγὼ κατηγορῶ, τότε ταῦτ' ἔπραξεν, ἀλλὰ τῷ δικαιοτέρους ἀξιοῦν τοὺς Θηβαίους ἢ ὑμᾶς· ἀλλὰ τοῦτον καὶ μόνον τῶν λόγων πάντων, οὐκ ἔνεστ' αὐτῷ νῦν εἰπεῖν· ὁ γὰρ Μεσσήνην Λακεδαιμονίοις ἀφιέναι κελεύων, πῶς ἂν Ὀρχομενὸν καὶ Κορώνειαν τότε Θηβαίοις παραδοὺς, τῷ δίκαια νομίζειν ταῦτ' εἶναι πεποιηκέναι, σκήψαιτο; ἀλλ' ἐβιάσθη νὴ Δία. τοῦτο γάρ ἐσθ' ὑπόλοιπον· καὶ παρὰ γνώμην τῶν Θετταλῶν ἱππέων, καὶ τῶν Θηβαίων ὁπλιτῶν ἐν μέσῳ ληφθεὶς, συνεχώρησε ταῦτα; καλῶς· οὐκοῦν φασὶ μὲν μέλλειν πρὸς τοὺς Θηβαίους αὐτὸν ὑπόπτως ἔχειν, καὶ λογοποιοῦσί τινες περιιόντες, ὡς Ἐλάτειαν τειχιεῖ· ὁ δὲ ταῦτα μὲν μέλλει, καὶ μελλήσει γε, ὡς ἐγὼ κρίνω· τοῖς Μεσσηνίοις δὲ καὶ τοῖς Ἀργείοις ἐπὶ τοὺς Λακεδαιμονίους συνεισβάλλειν οὐ μέλλει, ἀλλὰ καὶ ξένους εἰσπέμπει, καὶ χρήματ' ἀποστέλλει, καὶ δύναμιν μεγάλην ἔχων αὐτός ἐστι προσδόκιμος· τοὺς μὲν οὖν ὄντας ἐχθροὺς Θηβαίων Λακε-

δαιμο-

δαιμονίους ἀναιρεῖ· οὓς δ' ἀπώλεσεν αὐτὸς πρότερον Φωκέας, καὶ σώζει· καὶ τίς ἂν ταῦτα πιστεύσειεν; ἐγὼ μὲν γὰρ οὐδ' ἂν ἡγοῦμαι φίλιππον, οὔτ' εἰ τὰ πρῶτα βιασθεὶς ἄκων ἔπραξεν, οὔτ' ἂν εἰ νῦν ἀπεγίνωσκε Θηβαίους, τοῖς ἐκείνων ἐχθροῖς συνεχῶς ἐναντιοῦσθαι, ἀλλ' ἀφ' ὧν νῦν ποιεῖ, κἀκεῖνα ἐκ προαιρέσεως δῆλός ἐστι ποιήσας ἐκ πάντων * ἄν τις ὀρθῶς θεωροίη, ὅτι πάντα πραγματεύεται κατὰ τῆς πόλεως συντάττων, καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τινὰ αὐτῷ νῦν γε δὴ συμβαίνει· λογίζεσθε γάρ· ἄρχειν βούλεται· τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς· ἀδικεῖ πολὺν ἤδη χρόνον· καὶ τοῦτο αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν ἡμετέροις ἔχει χρῆσθαι, τούτοις πάντα τὰ ἄλλα ἀσφαλῶς κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτίδαιαν πρόειτο, οὐδ' ἂν οἴκοι μένειν βεβαίως ἡγεῖτο· ἀμφότερα οὖν οἶδε, καὶ ἑαυτὸν ὑμῖν ἐπιβουλεύοντα, καὶ ὑμᾶς αἰσθανομένους· εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως ἂν αὐτὸν μισεῖν νομίζοι, καὶ παρώξυνται, πείσεσθαί τι κακὸν προσδοκῶν, ἐὰν καιρὸν λάβητε, ἐὰν μὴ πρότερον φθάσῃ ποιήσας· διὰ ταῦτ' ἐγρήγορεν, ἐφέστηκεν ἐπὶ τῇ πόλει, θεραπεύει τινὰς Θηβαίων, καὶ Πελοποννησίων τοὺς ταὐτὰ βουλομένους τούτοις· οὓς διὰ μὲν πλεονεξίαν τὰ παρόντα ἀγαπήσειν οἴεται, διὰ δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτα οὐδὲν προόψεσθαι· καίτοι σωφρονοῦσί γε καὶ μετρίως, ἐναργῆ παραδείγματά ἐστιν ἰδεῖν, ἃ καὶ πρὸς Μεσσηνίους καὶ πρὸς Ἀργείους ἔμοιγ' εἰπεῖν συνέβη· βέλτιον δ' ἴσως ἐστὶ καὶ πρὸς ὑμᾶς εἰρῆσθαι. Πῶς γὰρ οἴεσθε, ἔφην, ὦ ἄνδρες Μεσσήνιοι, δυσχερῶς ἀκούειν Ὀλυνθίους, εἴ τις λέγοι κατὰ φιλίππου κατ' ἐκείνους τοὺς χρόνους, ὅτ' Ἀνθεμοῦντα μὲν αὐτοῖς ἀφίει, ἧς πάντες οἱ πρότερον Μακεδονίας βασιλεῖς ἀντεποιοῦντο· Ποτίδαιαν δὲ ἐδίδου, τοὺς Ἀθηναίων ἀποίκους * ἐκβαλών· καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς ὑμᾶς αὐτὸς ἀνῄρητο, τὴν χώραν δ' ἐκείνοις ἐδεδώκει καρποῦσθαι, ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι, ἢ λέγοντος ἄν τινος πιστεῦσαι; οὐκ οἴεσθέ γε· ἀλλ' ὅμως, ἔφην ἐγώ, μικρὸν χρόνον τὴν ἀλλοτρίαν καρπωσάμενοι πολὺν τῆς ἑαυτῶν ὑπ' ἐκείνου στέρονται, αἰσχρῶς ἐκπεσόντες· οὐ κρατηθέντες μόνον, ἀλλὰ καὶ προδοθέντες ὑπ' ἀλλήλων, καὶ πραθέντες· οὐ γὰρ ἀσφαλεῖς ταῖς πολιτείαις αἱ πρὸς τοὺς τυράννους αὗται

λίαν ὁμιλίαι· τί δ' οἱ Θετταλοί, ἆρ' οἴεσθε, ἔφην, ὅτε αὐτῶν τοὺς τυράννους ἐξέβαλε, καὶ πάλιν Νίκαιαν καὶ Μαγνησίαν ἐδίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν δεκαδαρχίαν ἔσεσθαι παρ' αὐτοῖς; ἢ τὸν τὴν πυλαίαν ἀποδόντα, τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους παραιρήσεσθαι; οὐκ ἔστι ταῦτα· ἀλλὰ μὴν γέγονε ταῦτα, καὶ πᾶσιν ἔστιν εἰδέναι· ὑμεῖς δὲ, ἔφην ἐγὼ, διδόντα μὲν καὶ ὑπισχνούμενον θεωρεῖτε φίλιππον· ἐξηπατηκότα δ' ἤδη καὶ παρακεκρουμένον, ἀπεύχεσθε, ἂν σωφρονῆτ', ἰδεῖν· ἔστι τοίνυν νὴ Δί', ἔφην ἐγὼ, παντοδαπὰ εὑρημένα ταῖς πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα, καὶ τείχη, καὶ τάφροι, καὶ τἆλλα ὅσα τοιαῦτα, καὶ ταῦτα μέν ἐστιν ἅπαντα χειροποίητα, καὶ δαπάνης πολλῆς προσδεῖται· ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν ἑαυτῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράννους· τί οὖν ἐστι τοῦτο; ἀπιστία· ταύτην φυλάττετε· ταύτης ἀντέχεσθε· ἐὰν ταύτην σώζητε, οὐδὲν δεινὸν μὴ πάθητε· τί οὖν ζητεῖτε; ἔφην, ἐλευθερίαν; εἶτ' οὐχ ὁρᾶτε φίλιππον ἀλλοτριωτάτας ταύτῃ καὶ τὰς προσηγορίας ἔχοντα; βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχθρὸς ἐλευθερίᾳ, καὶ νόμοις ἐναντίος· οὐ φυλάξεσθε, ὅπως, ἔφην, μὴ πολέμου ζητοῦντες ἀπαλλαγῆναι, δεσπότην εὕρητε; Ταῦτα ἀκούσαντες ἐκεῖνοι καὶ θορυβοῦντες, ὡς ὀρθῶς λέγεται, καὶ πολλοὺς ἑτέρους λόγους παρὰ τῶν πρέσβεων καὶ παρόντος ἐμοῦ, καὶ πάλιν ὕστερον ἀκούσαντες, ὡς ἔοικεν, οὐδὲν μᾶλλον ἀποσχήσονται τῆς φιλίππου φιλίας, οὐδ' ὧν ἐπαγγέλλεται· καὶ οὐ τοῦτό ἐστιν ἄτοπον, εἰ Μεσσήνιοι καὶ Πελοποννησίων τινὲς, παρ' ἃ τῷ λογισμῷ βέλτισθ' ὁρῶσι, τι πράξουσιν· ἀλλ' ὑμεῖς αὐτοὶ οἱ καὶ συνιέντες αὐτοὶ, καὶ τῶν λεγόντων ἀκούοντες ὑμῶν, ὡς ἐπιβουλεύεσθε, ὡς περιτειχίζεσθε, ὡς ἐκ τοῦ μηδὲν ἤδη ποιῆσαι, λήσετε, ὡς ἐμοὶ δοκεῖ, πάντα ταῦτα ὑπομείναντες· οὕτως ἡ παραυτίκα ἡδονὴ καὶ ῥᾳστώνη μεῖζον ἰσχύει τοῦ ποθ' ὕστερον συνοίσειν μέλλοντος· περὶ μὲν δὴ τῶν ὑμῖν πρακτέων, καθ' ὑμᾶς αὐτοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε· ἃ δὲ νῦν ἀποκρινάμενοι τὰ δέοντ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτ' ἤδη λέξω. Ἦν μὲν οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς ἐνεγκόντας τὰς ὑποσχέσεις, ἐφ' αἷς ἐπείσθητε ποιήσασθαι τὴν εἰρήνην, καλεῖν· οὔ-

τε γὰρ αὐτὸς ἄν ποτε ὑπέμεινα πρεσβεύειν, οὔτε ἂν ὑμεῖς εὖ οἶδ' ὅτι ἐπαύσασθε πολεμοῦντες, εἰ τοιαῦτα πράξειν τυχόντα εἰρήνης Φίλιππον ᾤεσθε· ἀλλ' ἦν πολὺ τούτων ἀφεστηκότα τὰ τότε λεγόμενα. καὶ πάλιν γ' ἑτέρους καλῶ· τίνας; τοὺς, ὅτ' ἐγὼ, γεγονυίας ἤδη τῆς εἰρήνης, ἀπὸ τῆς ὑστέρας ἥκων πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους αἰσθόμενος φενακιζομένην τὴν πόλιν, προὔλεγον καὶ διεμαρτυρόμην, καὶ οὐκ εἴων προέσθαι Πύλας, οὐδὲ Φωκέας, λέγοντας, ὡς ἐγὼ μὲν ὕδωρ πίνων εἰκότως δύσκολος καὶ δύστροπός εἰμί τις ἄνθρωπος· Φίλιππος δὲ ὅπερ εὔξαισθ' ἂν ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει, καὶ Θεσπιὰς μὲν καὶ Πλαταιὰς τειχιεῖ, Θηβαίους δὲ παύσει τῆς ὕβρεως, Χερρόνησον δὲ τοῖς αὐτοῦ τέλεσι διορύξει, Εὔβοιαν δὲ καὶ τὸν Ὠρωπὸν ἀντ' Ἀμφιπόλεως ὑμῖν ἀποδώσει· ταῦτα γὰρ ἅπαντα ἐπὶ τοῦ βήματος ἐνταῦθοῖ μνημονεύετε οἶδ' ὅτι ῥηθέντα, καίπερ ὄντες οὐ δεινοὶ τοὺς ἀδικοῦντας μεμνῆσθαι, καὶ τὸ πάντων αἴσχιστον, καὶ τοῖς ἐγγόνοις πρὸς τὰς ἐλπίδας τὴν αὐτὴν εἰρήνην εἶναι ταύτην προσεψηφίσασθε· οὕτω τελέως ὑπήχθητε. Τί δὴ ταῦτα νῦν λέγω; καὶ καλεῖν φημι δεῖν τούτους; ἐγὼ νὴ τοὺς θεοὺς τἀληθῆ μετὰ παρρησίας ἐρῶ πρὸς ὑμᾶς, καὶ οὐκ ἀποκρύψομαι· οὐχ ἵνα εἰς λοιδορίαν ἐμπεσὼν ἐμαυτῷ μὲν ἐξ ἴσου λόγον παρ' ὑμῖν ποιήσω, τοῖς δ' ἐμοὶ προσκρούσασιν ἐξ ἀρχῆς καὶ νῦν παράσχω πρόφασιν καινὴν τοῦ πάλιν γέ τι λαβεῖν παρὰ Φιλίππου· οὐδ' ἵνα τἄλλως ἀδολεσχῶ· ἀλλ' οἶμαί ποθ' ὑμᾶς λυπήσειν ἃ Φίλιππος πράττει μᾶλλον, ἢ τὰ νυνί· τὸ γὰρ πρᾶγμα ὁρῶ προβαῖνον, καὶ οὐχὶ βουλοίμην μὲν ἂν εἰκάζειν ὀρθῶς· φοβοῦμαι δὲ μὴ λίαν ἐγγὺς ᾖ τοῦτ' ἤδη· ὅταν οὖν μηκέθ' ὑμῖν ἀμελεῖν ἐξουσία γίγνηται τῶν συμβαινόντων, μηδὲ ἀκούητε, ὅτι ταῦτ' ἐφ' ὑμᾶς ἐστιν ἐμοῦ, μηδὲ τοῦ δεῖνος, ἀλλ' αὐτοὶ πάντα ὁρᾶτε, καὶ εὖ εἰδῆτε, ὀργίλους καὶ τραχεῖς ὑμᾶς ἔσεσθαι νομίζω· φοβοῦμαι δὲ μὴ τῶν πρέσβεων σεσιωπηκότων, ἐφ' οἷς αὐτοῖς συνίσασι δεδωροδοκηκόσι τοῖς ἐπανορθοῦν τι πειρωμένοις τῶν διὰ τούτους ἀπολωλότων, τῇ παρ' ὑμῶν ὀργῇ περιπεσεῖν συμβῇ· ὁρῶ γὰρ ὡς τὰ πολλὰ ἐνίους, οὐκ εἰς τοὺς αἰτίους, ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα τὴν ὀργὴν ἀφιέντας· ἕως οὖν ἔτι μέλλει καὶ συνίσταται τὰ πράγματα, καὶ κατακούομεν ἀλλήλων, ἕκαστον ὑμῶν, καίπερ ἀ-

κριβῶς εἰδότι, ὅμως ἐπαναμνῆσαι βούλομαι, τὸ Φωκέας καὶ Πύλας πείσας ὑμᾶς προέσθαι· ὧν κρατήσας ἐκεῖνος κύριος τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ καὶ τῆς εἰς Πελοπόννησον κύριος γέγονε, καὶ πεποίηκεν ὑμῖν, μήτε περὶ τῶν δικαίων, μήθ' ὑπὲρ τῶν ἔξω πραγμάτων εἶναι τὴν βουλήν, ἀλλ' ὑπὲρ τῶν ἐν τῇ χώρᾳ καὶ τοῦ πρὸς τὴν Ἀττικὴν πολέμου· ὃς λυπήσει μὲν ἕκαστον, ἐπειδὰν παρῇ, γέγονε δ' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· εἰ γὰρ μὴ παρεκρούσθητε τόθ' ὑμεῖς, οὐδὲν ἂν ἦν τῇ πόλει πρᾶγμα· οὔτε γὰρ ναυσὶ δήπου κρατήσας εἰς τὴν Ἀττικὴν ἦλθεν ἄν ποτε στόλῳ Φίλιππος, οὔτε πεζῇ βαδίζων ὑπὲρ τὰς Πύλας καὶ Φωκέας· ἀλλ' ἢ τὰ δίκαια ἂν ἐποίει, καὶ τὴν εἰρήνην ἄγων ἡσυχίαν εἶχεν, ἢ παραχρῆμα ἂν ἦν ἐν ὁμοίῳ πολέμῳ, δι' ὃν τότε πρότερον τῆς εἰρήνης ἐπεθύμησε· Ταῦτ' οὖν, ὡς μὲν ὑπομνῆσαι, νῦν ἱκανῶς εἴρηται· ὡς δ' ἂν ἐξετασθείη μάλιστα ἀκριβῶς; μὴ γένοιτο, ὦ πάντες θεοί· οὐδένα γὰρ βουλοίμην ἂν ἔγωγε, οὐδ' εἰ δίκαιός ἐστ' ἀπολωλέναι, μετὰ τοῦ πάντων κινδύνου, καὶ τῆς ζημίας δίκην ὑποσχεῖν.

ΔΗΜΟ-

# ΔΗΜΟΣΘΕ΄ΝΟΥΣ

## ΚΑΤΑ᾽ ΦΙΛΙ΄ΠΠΟΥ

### ΛΟ΄ΓΟΣ ΤΡΙ΄ΤΟΣ.

Πολλῶν, ὦ ἄνδρες ἀθηναῖοι, λόγων γιγνομένων ὀλίγου δεῖν καθ᾽ ἑκάστην ἐκκλησίαν, περὶ ὧν φίλιππος, ἀφ᾽ οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους ἀδικεῖ, καὶ πάντων οἶδ᾽ ὅτι φησάντων γ᾽ ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν δεῖν καὶ πράττειν ἅπασι προσήκειν, ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦτο ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμένα ὁρῶ, ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δὲ ᾖ, εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες, καὶ χειροτονεῖν ὑμεῖς, ἐξ ὧν ὡς φαυλότατα ἔμελλε τὰ πράγματ᾽ ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι χεῖρον ἢ νῦν διατεθῆναι. Πολλὰ μὲν οὖν ἴσως ἐστὶ τὰ αἴτια τοῦ ταῦθ᾽ οὕτως ἔχειν, καὶ οὐ παρ᾽ ἕν, οὐδὲ δύο, εἰς τοῦτο τὰ πράγματα ἀφῖκται· μάλιστα δέ, ἄνπερ ἐξετάζητε ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον, ἢ τὰ βέλτιστα λέγειν προαιρουμένους· ὧν τινὲς μέν, ὦ ἄνδρες ἀθηναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύνανται, ταῦτα φυλάττοντες, οὐδεμίαν περὶ τῶν μελλόντων πρόνοιαν ἔχουσιν, οὔκουν οὐδ᾽ ὑμᾶς οἴονται ἔχειν, ἕτεροι δὲ τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιώμενοι, καὶ διαβάλλοντες, οὐδὲν ἄλλο ποιοῦσι, ἢ ὅπως ἡ μὲν πόλις αὐτὴ παρ᾽ αὑτῆς δίκην λήψεται, καὶ περὶ τοῦτ᾽ ἔσται, φιλίππῳ δ᾽ ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ, τι βούλεται· αἱ δὲ τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν, αἴτιαι δὲ τῆς ταραχῆς καὶ τῶν ἁμαρτημάτων. ἀξιῶ δ᾽ ὑμᾶς, ὦ ἄνδρες ἀθηναῖοι, ἐάν τι τῶν ἀληθῶν μετὰ παρρησίας λέγω, μηδεμίαν μοι τοῦτο παρ᾽ ὑμῶν ὀργὴν γενέσθαι· σκοπεῖτε γὰρ ὡδί· ὑμεῖς τὴν παρρησίαν ἐπὶ μὲν τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν τῇ πόλει, ὥστε καὶ τοῖς ξένοις καὶ τοῖς δούλοις αὐτῆς μεταδεδώκατε·

καὶ

καὶ πολλοὺς ἂν τις οἰκέτας ἴδοι παρ᾽ ὑμῖν μετὰ πλείονος ἐξουσίας ὅ, τι βούλονται λέγοντας, ἢ πολίτας ἐν ἐνίαις τῶν ἄλλων πόλεων· ἐκ δὲ τοῦ συμβουλεύειν παντάπασιν ἐξεληλάκατε· εἶθ᾽ ὑμῖν συμβέβηκεν ἐκ τούτου, ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κολακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούουσιν, ἐν δὲ τοῖς πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη κινδυνεύειν· εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε, οὐκ ἔχω τί λέγω, εἰ δ᾽ ἃ συμφέρει τοῖς πράγμασι χωρὶς κολακείας ἐθελήσετε ἀκούειν, ἕτοιμος λέγειν. Καὶ γὰρ εἰ πάνυ φαύλως τὰ πράγματα ἔχει, καὶ πολλὰ προεῖται, ὅμως ἐστὶν, ἐὰν ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθ᾽ ἔτι, πάντα ταῦτα ἐπανορθώσασθαι· καὶ παράδοξον μὲν ἴσως ἐστὶν ὃ μέλλω λέγειν, ἀληθὲς δέ. τὸ χείριστον ἐν τοῖς παρεληλυθόσι, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει· τί οὖν ἐστι τοῦτο; ὅτι οὔτε μικρὸν, οὔτε μέγα οὐδὲν τῶν δεόντων ποιούντων ὑμῶν, κακῶς τὰ πράγματα ἔχει· ἐπεί τοι γε εἰ πάνθ᾽ ἃ προσῆκε πραττόντων ὑμῶν οὕτω διέκειτο, οὐδ᾽ ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι βελτίω· νῦν δὲ τῆς μὲν ῥαθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελείας κεκράτηκε Φίλιππος, τῆς πόλεως δ᾽ οὐ κεκράτηκεν, οὐδ᾽ ἥττησθε ὑμεῖς, ἀλλ᾽ οὐδὲ κεκίνησθε· εἰ μὲν οὖν ἅπαντες ὁμολογοῦμεν Φίλιππον τῇ πόλει πολεμεῖν, καὶ τὴν εἰρήνην παραβαίνειν, οὐδὲν ἄλλο ἔδει τὸν παριόντα λέγειν καὶ συμβουλεύειν, ἢ ὅπως ἀσφαλέστατα καὶ ῥᾷστα αὐτὸν ἀμυνούμεθα· ἐπειδὴ δὲ οὕτως ἀτόπως ἔνιοι διάκεινται, ὥστε πόλεις καταλαμβάνοντος ἐκείνου, καὶ πολλὰ τῶν ὑμετέρων ἔχοντος, καὶ πάντας ἀνθρώπους ἀδικοῦντος, ἀνέχεσθαί τινων ἐν ταῖς ἐκκλησίαις λεγόντων πολλάκις, ὡς ἡμῶν τινές εἰσιν οἱ ποιοῦντες τὸν πόλεμον, ἀνάγκη φυλάττεσθαι καὶ διορθοῦσθαι περὶ τούτου· ἔστι γὰρ δέος, μή ποθ᾽ ὡς ἀμυνούμεθα, γράψας τις καὶ συμβουλεύσας, εἰς τὴν αἰτίαν ἐμπέσῃ τοῦ πεποιηκέναι τὸν πόλεμον. Ἐγὼ δὲ τοῦτο πρῶτον ἁπάντων λέγω καὶ διορίζομαι, εἰ ἐφ᾽ ἡμῖν ἐστι τὸ βουλεύεσθαι περὶ τοῦ, πότερον εἰρήνην ἢ πόλεμον ἄγειν δεῖ· εἰ μὲν οὖν ἔξεστιν εἰρήνην ἄγειν τῇ πόλει, καὶ ἐφ᾽ ἡμῖν ἐστι τοῦτο, ἵν᾽ ἐντεῦθεν ἄρξωμαι, φημὶ ἔγωγε ἄγειν ἡμᾶς δεῖν, καὶ τὸν ταῦτα λέγοντα γράφειν, καὶ πράττειν, καὶ μὴ φενακίζειν ἀξιῶ· εἰ δ᾽ ἕτερος τὰ ὅπλα ἐν ταῖς χερσὶν ἔχων, καὶ δύναμιν πολλὴν περὶ

αὐ-

αὐτὸ τοὔνομα μὲν τὸ τῆς εἰρήνης ἡμῖν προβάλλεται, τοῖς δ' ἔργοις αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν ἄλλο, πλὴν ἀμύνεσθαι; φάσκειν δὲ εἰρήνην ἄγειν εἰ βούλεσθε, ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι· εἰ δέ τις ταύτην εἰρήνην ὑπολαμβάνει, ἐξ ἧς ἐκεῖνος πάντα τἄλλα λαβὼν ἐφ' ἡμᾶς ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτα ἐκείνῳ παρ' ὑμῶν, οὐχ ὑμῖν παρ' ἐκείνου τὴν εἰρήνην ἄγειν λέγει· τοῦτο δ' ἐστὶν, ὃ τῶν ἀναλισκομένων χρημάτων ἁπάντων Φίλιππος ὠνεῖται, αὐτὸν μὲν πολεμεῖν ὑμῖν, ὑφ' ὑμῶν δὲ μὴ πολεμεῖσθαι· καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν ἡμῖν ὁμολογήσῃ πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι· οὐδὲ γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν Πειραιᾶ, τοῦτ' ἐρεῖ, εἴπερ οἷς πρὸς τοὺς ἄλλους πεποίηκε δεῖ τεκμαίρεσθαι. τοῦτο μὲν γὰρ Ὀλυνθίοις τετταράκοντ' ἀπέχων τῆς πόλεως στάδια, εἶπεν, ὅτι δεῖ δυοῖν θάτερον, ἢ ἐκείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν, ἢ αὐτὸν ἐν Μακεδονίᾳ· πάντα τὸν ἄλλον χρόνον, εἴ τις αὐτὸν αἰτιάσαιτό τι τοιοῦτον, ἀγανακτῶν καὶ πρέσβεις πέμπων τοὺς ἀπολογησομένους· τοῦτο δ' εἰς Φωκέας ὡς πρὸς συμμάχους ἐπορεύετο καὶ φίλους, καὶ πρέσβεις Φωκέων ἦσαν, οἳ παρηκολούθουν αὐτῷ πορευομένῳ, καὶ παρ' ἡμῖν ἤριζον πολλοί, Θηβαίοις οὐ λυσιτελήσειν τὴν ἐκείνου πάροδον· καὶ μὴν καὶ Φερὰς πρῴην, ὡς φίλος καὶ σύμμαχος εἰς Θετταλίαν ἐλθὼν, ἔχει καταλαβών· καὶ τὰ τελευταῖα τοῖς ταλαιπώροις Ὠρείταις τουτοισί, ἐπισκεψομένους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ' εὔνοιαν· πυνθάνεσθαι γὰρ αὐτοὺς, ὡς νοσοῦσι καὶ στασιάζουσιν ἐν αὐτοῖς· συμμάχων δ' εἶναι καὶ φίλων ἀληθινῶν, ἐν τοῖς τοιούτοις καιροῖς παρεῖναι. Εἶτ' οἴεσθε, οἱ μὲν οὐδὲν ἂν αὐτὸν ἐδυνήθησαν ποιῆσαι κακόν, μὴ παθεῖν δ' ἐφυλάξαντ' ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον, ἢ προλέγοντα βιάζεσθαι· ὑμῖν δ' ἐκ προρρήσεως πολεμήσειν, καὶ ταῦθ' ἕως ἂν ἑκόντες ἐξαπατᾶσθε; οὐκ ἔστι ταῦτα· καὶ γὰρ ἂν ἀβελτερώτατος εἴη πάντων ἀνθρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκαλούντων αὐτῷ, ἀλλ' ὑμῶν αὐτῶν τινὰς αἰτιωμένων καὶ κρίνειν βουλομένων, ἐκεῖνος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῶν καὶ φιλονεικίαν, ἐφ' αὐτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ' ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο, οἷς ἀναβάλλουσιν ὑμᾶς, λέγοντες, ὡς ἐκεῖνός γε οὐ πολε-

πολεμεῖ τῇ πόλει· ἀλλ᾽ ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅς τις εὖ φρονῶν ἐκ τῶν ὀνομάτων μᾶλλον, ἢ τῶν πραγμάτων τὸν ἄγοντ᾽ εἰρήνην ἢ πολεμοῦνθ᾽ ἑαυτῷ σκέψαιτ᾽ ἄν; οὐδείς που· ὁ τοίνυν Φίλιππος ἐξ ἀρχῆς ἄρτι τῆς εἰρήνης γεγονυίας, οὔπω Διοπείθους στρατηγοῦντος, οὐδὲ τῶν ἐν Χερρονήσῳ νῦν ὄντων ἀπεσταλμένων, Σέρριον καὶ Δορίσκον κατελάμβανε, καὶ τοὺς ἐκ Σερρίου τείχους καὶ ἱεροῦ ὄρους στρατιώτας ἐξέβαλεν, οὓς ὁ ὑμέτερος στρατηγὸς κατέστησε· καίτοι ταῦτα πράττων τί ἐποίει; εἰρήνην μὲν γὰρ ὠμωμόκει· καὶ μηδεὶς εἴπῃ, τί δὲ ταῦτ᾽ ἐστίν; ἢ τί τούτων μέλει τῇ πόλει; εἰ μὲν γὰρ μικρὰ ταῦτα ἐστίν, ἢ μηδὲν ὑμῖν αὐτῶν ἔμελεν, ἄλλος ἂν εἴη λόγος οὗτος· τὸ δ᾽ εὐσεβὲς καὶ τὸ δίκαιον, ἄντ᾽ ἐπὶ μικροῖς τις, ἄντ᾽ ἐπὶ μείζοσι παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. Φέρε δὴ νῦν, ἡνίκ᾽ εἰς Χερρόνησον, ἣν βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἐγνώκασιν εἶναι, ξένους εἰσπέμπει, καὶ βοηθεῖν ὁμολογεῖ, καὶ ἐπιστέλλει ταῦτα, τί ποιεῖ; φησὶ μὲν γὰρ οὐ πολεμεῖν· ἐγὼ δὲ τοσούτου δέω ταῦτα ποιοῦντα ἐκεῖνον, ὁμολογεῖν ἄγειν τὴν πρὸς ὑμᾶς εἰρήνην, ὥστε καὶ Μεγάρων ἁπτόμενον, καὶ ἐν Εὐβοίᾳ τυραννίδα κατασκευάζοντα, καὶ νῦν ἐπὶ Θρᾴκην παριόντα, καὶ τὰ ἐν Πελοποννήσῳ σκευωρούμενον, καὶ πάνθ᾽ ὅσα πράττει μετὰ τῆς δυνάμεως ποιοῦντα, λύειν φημὶ τὴν εἰρήνην, καὶ πολεμεῖν ὑμῖν· εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσαγάγωσιν· ἀλλ᾽ οὐ φήσετε· ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ· τίσιν οὖν ὑμεῖς κινδυνεύσαιτ᾽ ἄν, εἴ τι γένοιτο; τῷ, τὸν Ἑλλήσποντον ὑμῶν ἀλλοτριωθῆναι, τῷ, Μεγάρων καὶ τῆς Εὐβοίας τὸν πολεμοῦνθ᾽ ὑμῖν γενέσθαι κύριον, τῷ, Πελοποννησίους τἀκείνου φρονῆσαι· εἶτα τὸν τοῦτο τὸ μηχάνημα ἐπὶ τὴν πόλιν ἐφιστάντα καὶ κατασκευάζοντα, τοῦτον εἰρήνην ἄγειν ἐγὼ φῶ πρὸς ὑμᾶς; πολλοῦ γε καὶ δεῖ· ἀλλ᾽ ἀφ᾽ ἧς ἡμέρας ἀνεῖλε Φωκέας, ἀπὸ ταύτης ἔγωγ᾽ αὐτὸν πολεμεῖν ὁρίζομαι· ὑμᾶς δέ, ἐὰν μὲν ἀμύνησθε ἤδη, σωφρονήσειν φημί· ἐὰν δὲ ἀναβάλλησθε, οὐδὲ τοῦτο ὅταν βούλησθε, δυνήσεσθε ποιῆσαι· καὶ τοσοῦτόν γε ἀφέστηκα τῶν ἄλλων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν συμβουλευόντων, ὥστε οὐδὲ δοκεῖ μοι περὶ Χερρονήσου νῦν

σκοπεῖν, οὐδὲ Βυζαντίου, ἀλλ' ἐπαμύνειν μὲν τούτοις, καὶ διατηρῆσαι μή τι πάθωσι, καὶ τοῖς οὖσιν ἐκεῖ νῦν στρατηγοῖς πάνθ' ὅσων ἂν δέωνται ἀποστεῖλαι· βουλεύεσθαι μέντοι περὶ πάντων τῶν Ἑλλήνων, ὡς ἐν κινδύνῳ μεγίστῳ καθεστηκότων· Βούλομαι δ' εἰπεῖν πρὸς ὑμᾶς ἐξ ὧν ὑπὲρ τῶν πραγμάτων οὕτω φοβοῦμαι· ἵν', εἰ μὲν ὀρθῶς λογίζομαι, μετάσχητε τῶν λογισμῶν, καὶ πρόνοιάν τινα ὑμῶν γε αὐτῶν, εἰ καὶ μὴ τῶν ἄλλων ἄρα βούλεσθε, ποιήσησθε· ἂν δὲ ληρεῖν καὶ τετυφῶσθαι δοκῶ, μήτε νῦν, μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι προσέχητε· ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ' ἀρχὰς ὁ Φίλιππος ηὔξηται, καὶ ἀπίστως καὶ στασιαστικῶς ἔχουσι πρὸς αὐτοὺς οἱ Ἕλληνες, καὶ ὅτι πολλῷ παραδοξότερον ἦν τοσοῦτον ἐξ ἐκείνου γενέσθαι, ἢ νῦν, ὅθ' οὕτω πολλὰ προείληφε, καὶ τὰ λοιπὰ ὑφ' αὑτῷ ποιήσασθαι, καὶ πάνθ' ὅσα τοιαῦτ' ἂν ἔχοιμι διεξελθεῖν, παραλείψω· ἀλλ' ὁρῶ συγκεχωρηκότας ἅπαντας ἀνθρώπους, ἀφ' ὑμῶν ἀρξαμένους, αὐτῷ, ὑπὲρ οὗ τὸν ἄλλον ἅπαντα χρόνον, ἅπαντες οἱ πόλεμοι γεγόνασιν οἱ Ἑλληνικοί· τί οὖν ἐστι τοῦτο; τὸ ποιεῖν ὅ, τι βούλεται, καὶ καθ' ἕνα ἕκαστον οὑτωσὶ περικόπτειν, καὶ λωποδυτεῖν τὰ τῶν Ἑλλήνων, καὶ καταδουλοῦσθαι τὰς πόλεις ἐπιόντα· καίτοι προστάται μὲν ὑμεῖς ἑβδομήκοντα ἔτη καὶ τρία τῶν Ἑλλήνων ἐγένεσθε, προστάται δὲ τριάκοντα ἑνὸς δέοντα Λακεδαιμόνιοι· ἴσχυσαν δέ τι καὶ Θηβαῖοι τοὺς τελευταίους τουτουσὶ χρόνους μετὰ τὴν ἐν Λεύκτροις μάχην· ἀλλ' ὅμως οὔθ' ὑμῖν, οὔτε Θηβαίοις, οὔτε Λακεδαιμονίοις οὐδεπώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, συνεχωρήθη τοῦτο ὑπὸ τῶν Ἑλλήνων, ποιεῖν ὅ, τι βούλεσθε· οὐδὲ πολλοῦ δεῖ· ἀλλὰ τοῦτο μὲν ὑμῖν, μᾶλλον δὲ τοῖς τότ' οὖσιν Ἀθηναίοις, ἐπειδή τισιν οὐ μετρίως ἐδόκουν προσφέρεσθαι, πάντες ᾤοντο δεῖν πολεμεῖν, καὶ οἱ μηδὲ ἐγκαλεῖν ἔχοντες αὐτοῖς μετὰ τῶν ἠδικημένων· καὶ πάλιν Λακεδαιμονίοις ἄρξασι καὶ παρελθοῦσιν εἰς τὴν δυναστείαν τὴν αὐτὴν ταύτην ὑμῖν, ἐπειδὴ πλεονάζειν ἐπεχείρουν, καὶ πέρα τοῦ μετρίου τὰ καθεστηκότα ἐκίνουν, πάντες εἰς πόλεμον κατέστησαν, καὶ οἱ μηδὲν ἐγκαλοῦντες αὐτοῖς· καὶ τί δεῖ τοὺς ἄλλους λέγειν; ἀλλ' ἡμεῖς αὐτοὶ καὶ Λακεδαιμόνιοι, οὐδὲν ἂν εἰπεῖν ἔχοντες ἐξ ἀρχῆς ὅτι ἠδικούμεθ' ὑπ' ἀλλήλων, ὅμως ὑπὲρ ὧν τοὺς ἄλλους ἀδικουμένους ἑωρῶμεν, πολεμεῖν ᾠήθημεν δεῖν· καί τοι πάνθ' ὅσα ἐξημάρτηται καὶ Λακεδαι-

μονίοις ἐν τοῖς τριάκοντ' ἐκείνοις ἔτεσι, καὶ τοῖς ὑμετέροις προγόνοις ἐν τοῖς ἑβδομήκοντα, ἐλάττονά ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν Φίλιππος ἐν τρισὶ καὶ δέκα οὐχ ὅλοις ἔτεσιν, οἷς ἐπιπολάζει, ἠδίκηκε τοὺς Ἕλληνας, μᾶλλον δὲ, οὐδὲ πολλοστὸν μέρος τούτων ἐκεῖνα· καὶ τοῦτο ἐκ βραχέων ῥημάτων ῥᾴδιον δεῖξαι. Ὄλυνθον μὲν δὴ, καὶ Μεθώνην, καὶ Ἀπολλωνίαν, καὶ δύο καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν, ὥστε μηδένα μηδ' εἰ πώποτ' ᾠκίσθησαν εἶναι ῥᾴδιον προσελθόντα εἰπεῖν· καὶ τὸ Φωκέων ἔθνος τοσοῦτον ἀνῃρημένον σιωπῶ· ἀλλὰ Θετταλία πῶς ἔχει; οὐχὶ τὰς πόλεις καὶ τὰς πολιτείας αὐτῶν ἀφῄρηται, καὶ τετραδαρχίας κατέστησε παρ' αὐτοῖς, ἵνα μὴ μόνον κατὰ πόλεις, ἀλλὰ καὶ κατὰ ἔθνη δουλεύωσιν· αἱ δ' ἐν Εὐβοίᾳ πόλεις οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτα ἐν νήσῳ πλησίον Θηβῶν καὶ Ἀθηνῶν; οὐ διαρρήδην ἐν ταῖς ἐπιστολαῖς γράφει, ἐμοὶ δ' ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκούειν ἐμοῦ βουλομένους; καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς ἔργοις δὲ οὐ ποιεῖ, ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται· πρότερον ἧκεν ἐπ' Ἀμβρακίαν, Ἦλιν ἔχει τηλικαύτην πόλιν ἐν Πελοποννήσῳ· Μεγάροις ἐπεβούλευσε πρῴην· οὔθ' ἡ Ἑλλὰς οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ τἀνθρώπου· καὶ ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἅπαντες καὶ ἀκούοντες οὐ πέμπομεν πρέσβεις περὶ τούτων πρὸς ἀλλήλους καὶ ἀγανακτοῦμεν, οὕτω δὲ κακῶς διακείμεθα καὶ διορωρύγμεθα κατὰ πόλεις ὥστ' ἄχρι τῆς τήμερον ἡμέρας οὐδὲν οὔτε τῶν συμφερόντων, οὔτε τῶν δεόντων πρᾶξαι δυνάμεθα, οὐδὲ συστῆναι, οὐδὲ κοινωνίαν βοηθείας καὶ φιλίας οὐδεμίαν ποιήσασθαι, ἀλλὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περιορῶμεν, τὸν χρόνον κερδᾶναι τοῦτον, ὃν ἄλλος διόλλυται, ἕκαστος ἐγνωκὼς, ὥς γέ μοι δοκεῖ, οὐχ ὅπως σωθήσεται τὰ τῶν Ἑλλήνων, σκοπῶν οὐδὲ πράττων· ἐπεὶ ὅτι γε ὥσπερ περίοδος ἢ καταβολὴ πυρετοῦ, ἤ τινος ἄλλου κακοῦ, καὶ τῷ πάνυ πόρρω δοκοῦντι νῦν ἀφεστάναι, προσέρχεται, οὐδεὶς ἀγνοεῖ δήπου. Καὶ μὴν, κἀκεῖνό γε ἴστε, ὅτι ὅσα μὲν ὑπὸ Λακεδαιμονίων, ἢ ὑφ' ἡμῶν ἔπασχον οἱ Ἕλληνες, ἀλλ' οὖν ὑπὸ γνησίων γε ὄντων τῆς Ἑλλάδος ἠδικοῦντο· καὶ τὸν αὐτὸν τρόπον ἄν τις ὑπέλαβε τοῦτο, ὥσπερ ἂν εἴ τις υἱὸς ἐν οὐσίᾳ πολλῇ γεγονὼς γνήσιος διῴκει τι μὴ καλῶς, μηδ' ὀρθῶς, κατ' αὐτὸ μὲν τοῦτο ἄξιος μέμψεως εἶναι καὶ κατηγορίας, ὡς δ'

οὐ προσ-

οὐ προσήκων, ἢ ὡς ὁ κληρονόμος τούτων ὢν ταῦτα ἐποίει, οὐκ εἶναι λέγειν· εἰ δέ γε δοῦλος, ἢ ὑποβολιμαῖος τὰ μὴ προσήκοντα ἀπώλλυε καὶ ἐλυμαίνετο, Ἡράκλεις ὅσῳ μᾶλλον δεινὸν, καὶ πολλῆς ὀργῆς ἄξιον πάντες ἂν ἔφησαν εἶναι· ἀλλ' οὐχ ὑπὲρ Φιλίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν οὐχ οὕτως ἔχουσιν, οὐ μόνον οὐχ Ἕλληνος ὄντος, οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ' οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ' ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι. καίτοι τί τῆς ἐσχάτης ὕβρεως ἀπολείπει; οὐ πρὸς τῷ πόλεις ἀνῃρηκέναι, τίθησι μὲν τὰ Πύθια, τὸν κοινὸν τῶν Ἑλλήνων ἀγῶνα, κἂν αὐτὸς μὴ παρῇ, τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει; κύριος καὶ Πυλῶν, καὶ τῶν ἐπὶ τοὺς Ἕλληνας παρόδων ἐστὶ, καὶ φρουραῖς καὶ ξένοις τοὺς τόπους τούτους κατέχει; ἔχει δὲ καὶ τὴν προμαντείαν τοῦ θεοῦ, παρώσας ἡμᾶς, καὶ Θετταλοὺς, καὶ Δωριέας, καὶ τοὺς ἄλλους Ἀμφικτύονας, ἧς οὐδὲ τοῖς Ἕλλησιν ἅπασι μέτεστι; γράφει δὲ Θετταλοῖς, ὃν χρὴ τρόπον πολιτεύεσθαι; πέμπει δὲ ξένους, τοὺς μὲν εἰς Πορθμὸν τὸν δῆμον ἐκβαλοῦντας τῶν Ἐρετριέων, τοὺς δ' ἐπ' Ὠρεὸν Φιλισίδην τύραννον καταστήσοντας; ἀλλ' ὅμως ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, καὶ τὸν αὐτὸν τρόπον, ὅν περ οἱ τὴν χάλαζαν ἐμοί γε δοκοῦσι θεωρεῖν, εὐχόμενοι μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέσθαι, κωλύειν δὲ οὐδεὶς ἐπιχειρῶν· οὐ μόνον δ' ἐφ' οἷς ἡ Ἑλλὰς ὑβρίζεται ὑπ' αὐτοῦ, οὐδεὶς ἀμύνεται, ἀλλ' οὐδ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἀδικεῖται· τοῦτο γὰρ ἤδη τοὔσχατόν ἐστιν· οὐ Κορινθίων ἐπ' Ἀμβρακίαν ἐλήλυθε καὶ Λευκάδα; οὐκ Ἀχαιῶν Ναύπακτον ἀφελόμενος, ὀμώμοκεν Αἰτωλοῖς παραδώσειν; οὐχὶ Θηβαίων Ἐχῖνον ἀφῄρηται; καὶ νῦν ἐπὶ Βυζαντίους πορεύεται συμμάχους ὄντας οὐχ ἡμῶν; ἐῶ τἄλλα· ἀλλὰ Χερρονήσου τὴν μεγίστην ἔχει πόλιν Καρδίαν· ταῦτα τοίνυν πάσχοντες ἅπαντες μέλλομεν καὶ μαλακιζόμεθα, καὶ πρὸς τοὺς πλησίον βλέπομεν ἀπιστοῦντες ἀλλήλοις οὕτω φανερῶς πάντας ἡμᾶς ἀδικοῦντος· καίτοι τὸν ἅπασιν ἀσελγῶς οὕτω χρώμενον τί οἴεσθε, ἐπειδὰν καθ' ἕνα ἡμῶν ἑκάστου κύριος γένηται, ποιήσειν; Τί οὖν αἴτιον τουτωνί; οὐ γὰρ ἄνευ λόγου καὶ δικαίας αἰτίας, οὔτε τόθ' οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευθερίαν ἅπαντες οἱ Ἕλληνες, οὔτε νῦν πρὸς τὸ δουλεύειν· ἦν τι τότ' ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν ταῖς τῶν πολλῶν διανοίαις

ὃ νῦν

ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλούτου, καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα, καὶ οὔτε ναυμαχίας, οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο· νῦν δ' ἀπολωλὸς, ἅπαντα λελύμανται, καὶ ἄνω καὶ κάτω πεποίηκε τὰ τῶν Ἑλλήνων πράγματα· τί οὖν ἦν τοῦτο; οὐδὲν ποικίλον οὐδὲ σοφόν· ἀλλ' ὅτι τοὺς παρὰ τῶν ἄρχειν ἀεὶ βουλομένων, ἢ καὶ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν, καὶ χαλεπώτατον ἦν τὸ δωροδοκοῦντα, ἐξελεγχθῆναι· καὶ τιμωρίᾳ μεγίστῃ τοῦτον ἐκόλαζον, καὶ παραίτησις οὐδεμία ἦν, οὐδὲ συγγνώμη· τὸν οὖν καιρὸν ἑκάστου τῶν πραγμάτων, ὃν ἡ τύχη καὶ τοῖς ἀμελοῦσι κατὰ τῶν προσεχόντων, καὶ τοῖς μηδὲν ἐθέλουσι ποιεῖν κατὰ τῶν πάντα ἃ προσήκει πραττόντων, πολλάκις παρασκευάζει, οὐκ ἦν πρίασθαι παρὰ τῶν λεγόντων, οὐδὲ τῶν στρατηγούντων, οὐδὲ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς βαρβάρους καὶ τοὺς τυράννους ἀπιστίαν, οὐδ' ὅλως τῶν τοιούτων οὐδέν· νῦν δ' ἅπανθ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπραται ταῦτα· ἀντεισῆκται δὲ ἀντὶ τούτων, ὑφ' ὧν ἀπόλωλε καὶ νενόσηκεν ἡ Ἑλλάς· ταῦτα δ' ἐστὶ τί; ζῆλος, εἴ τις εἴληφέ τι· γέλως, ἂν ὁμολογῇ· συγγνώμη τοῖς ἐλεγχομένοις· μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ· τἄλλα πάντα, ὅσα ἐκ τοῦ δωροδοκεῖν ἤρτηται· ἐπεὶ καὶ τριήρεις γε καὶ σωμάτων πλῆθος, καὶ χρημάτων πρόσοδοι, καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία, καὶ τἄλλα οἷς ἄν τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπαντα καὶ πλείω καὶ μείζω ἐστὶ τῶν τότε πολλῷ· ἀλλ' ἅπαντα ταῦτα ἄχρηστα, ἄπρακτα, ἀνόητα ὑπὸ τῶν πωλούντων γίγνεται. Ὅτι δ' οὕτω ταῦτ' ἔχει, τὰ μὲν νῦν, ὁρᾶτε δήπου, καὶ οὐδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος· τὰ δ' ἐν τοῖς ἄνωθεν χρόνοις, ὅτι τἀναντία τούτων εἶχεν, ἐγὼ δηλώσω, οὐ λόγους ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν προγόνων τῶν ὑμετέρων δεικνύων, ἃ ἐκεῖνοι κατέθεντο εἰς στήλην χαλκῆν γράψαντες εἰς ἀκρόπολιν, οὐχ ἵνα αὐτοῖς ᾖ χρήσιμα· καὶ γὰρ ἄνευ τούτων τῶν γραμμάτων τὰ δέοντα ἐφρόνουν· ἀλλ' ἵνα ὑμεῖς ἔχητε * ὑπομνήματα καὶ παραδείγματα, ὡς ὑπὲρ τῶν τοιούτων σπουδάζειν προσήκει· τί οὖν λέγει τὰ γράμματα; Ἄρθμιος, φησίν, ὁ Πυθώνακτος, ὁ Ζελείτης, ἄτιμος ἔστω καὶ πολέμιος τοῦ δήμου τῶν Ἀθηναίων, καὶ τῶν συμμάχων, αὐτὸς καὶ γένος· εἶθ' ἡ αἰτία προσγέγραπται, δι' ἣν

τοῦτ'

τοῦτ᾽ ἐβούλετο· ὅτι καὶ χρυσὸν τὸν ἐκ τῶν Μήδων, εἰς τὴν Πελοπόννησον ἤγαγεν, οὐκ Ἀθήναζε. Ταῦτ᾽ ἐστὶ τὰ γράμματα· λογίζεσθε δὴ πρὸς Διὸς καὶ θεῶν, καὶ θεωρεῖτε παρ᾽ ὑμῖν αὐτοῖς, τίς ἦν ποτε ἡ διάνοια τῶν τότε ἀθηναίων τῶν ταῦτα ποιούντων, ἢ τί τὸ ἀξίωμα; ἐκεῖνοι Ζελείτην τινὰ Ἄρθμιον δοῦλον βασιλέως, ἡ γὰρ Ζέλεια ἐστὶ τῆς Ἀσίας, ὅτι τῷ δεσπότῃ διακονῶν χρυσίον ἤγαγεν εἰς Πελοπόννησον οὐκ Ἀθήναζε, ἐχθρὸν αὐτῶν ἀνέγραψαν καὶ τῶν συμμάχων, αὐτὸν καὶ γένος, καὶ ἀτίμους εἶναι· τοῦτο δ᾽ ἐστὶν, οὐχ ἣν ἄν οὑτωσί τις φήσειεν ἀτιμίαν. τί γὰρ τῷ Ζελείτῃ τοῦτ᾽ ἔμελεν, εἰ τῶν ἀθηναίων κοινῶν μὴ μεθέξειν ἔμελλεν; ἀλλ᾽ οὐ τοῦτο λέγει· ἀλλ᾽ ἐν τοῖς φονικοῖς γέγραπται νόμοις, ὑπὲρ ὧν ἂν μὴ διδῷ δίκας, φόνου δικάσασθαι· ἀλλ᾽ εὐαγὲς ἦν τὸ ἀποκτεῖναι, καὶ ἄτιμος, φησι, τεθνάτω· τοῦτο δὴ λέγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι· οὐκοῦν ἐνόμιζον ἐκεῖνοι τῆς ἁπάντων τῶν ἑλλήνων σωτηρίας αὐτοῖς ἐπιμελητέον εἶναι· οὐ γὰρ ἂν αὐτοῖς ἔμελεν, εἴ τις ἐν Πελοποννήσῳ τινὰς ὠνεῖται, ἢ διαφθείρει, μὴ τοῦθ᾽ ὑπολαμβάνουσιν· ἐκόλαζον δ᾽ οὕτω καὶ ἐτιμωροῦντο, οὓς ἂν αἴσθοιντο δωροδοκοῦντας, ὥστε καὶ στηλίτας ποιεῖν· ἐκ δὲ τούτων, εἰκότως τὰ τῶν ἑλλήνων ἦν τῷ βαρβάρῳ φοβερὰ, οὐχ ὁ βάρβαρος τοῖς ἕλλησιν· ἀλλ᾽ οὐ νῦν· οὐ γὰρ οὕτως ἔχεθ᾽ ὑμεῖς, οὔτε πρὸς τὰ τοιαῦτα, οὔτε πρὸς τὰ ἄλλα· ἀλλὰ πῶς; ἴστε αὐτοί· τί γὰρ δεῖ περὶ πάντων ὑμῶν κατηγορεῖν; καὶ παραπλησίως δὲ καὶ οὐδὲν βέλτιον ὑμῶν ἅπαντες οἱ λοιποὶ ἕλληνες· διόπερ φημὶ ἔγωγε, καὶ σπουδῆς πολλῆς, καὶ βουλῆς ἀγαθῆς τὰ παρόντα πράγματα προσδεῖσθαι· τίνος εἴπω; κελεύετε, καὶ οὐκ ὀργιεῖσθε; Ἐκ τοῦ γραμματείου ἀναγινώσκει· Ἀνάγνωσις γραμματείου· Ἔστι τοίνυν τις εὐήθης λόγος παρὰ τῶν παραμυθεῖσθαι βουλομένων τὴν πόλιν, ὡς ἄρα οὔπω φίλιππός ἐστι τοιοῦτος, οἷοί ποτ᾽ ἦσαν Λακεδαιμόνιοι· οἳ θαλάττης μὲν ἦρχον, καὶ γῆς ἁπάσης, βασιλέα δὲ σύμμαχον εἶχον, ὑφίστατο δὲ οὐδὲν αὐτούς· ἀλλ᾽ ὅμως ἠμύνατο κἀκείνους ἡ πόλις, καὶ οὐκ ἀνηρπάσθη. ἐγὼ δὲ, ἁπάντων, ὡς ἔπος εἰπεῖν, πολλὴν εἰληφότων ἐπίδοσιν, καὶ οὐδὲν ὁμοίων ὄντων τῶν νῦν τοῖς πρότερον, οὐδὲν ἡγοῦμαι πλέον, ἢ τὰ τοῦ πολέμου κεκινῆσθαι, καὶ ἐπιδεδωκέναι· πρῶτον μὲν γὰρ ἀκούω Λακεδαιμονίους τότε,

καὶ πάντας τοὺς ἄλλους Ἕλληνας τέτταρας μῆνας, ἢ πέντε τὴν ὡραίαν αὐτὴν στρατεύεσθαι, καὶ τοῦτον τὸν χρόνον ἐμβαλόντας, καὶ κακώσαντας τὴν τῶν ἀντιπάλων χώραν ὁπλίταις, καὶ πολιτικοῖς στρατεύμασιν, ἀναχωρεῖν ἐπ' οἴκου πάλιν· οὕτω δ' ἀρχαίως εἶχον, μᾶλλον δὲ πολιτικῶς, ὥστε οὐδὲ χρημάτων ὠνεῖσθαι παρ' οὐδενὸς οὐδέν· ἀλλ' εἶναι νόμιμόν τινα καὶ προφανῆ τὸν πόλεμον. Νυνὶ δ' ὁρᾶτε μὲν δήπου τὰ πλεῖστα τοὺς προδότας ἀπολωλεκότας, οὐδὲν δ' ἐκ παρατάξεως οὐδ' ἐκ μάχης γινόμενον· ἀκούετε δὲ φίλιππον, οὐχὶ τῷ φάλαγγα ὁπλιτῶν ἄγειν, βαδίζονθ' ὅποι βούλεται, ἀλλὰ τῷ ψιλοὺς, ἱππέας, τοξότας, ξένους, τοιοῦτον ἐξηρτῆσθαι στρατόπεδον· ἐπειδὰν δὲ τούτοις κρατῶν πρὸς νοσοῦντας ἐν αὐτοῖς καὶ τεταραγμένους προσπέσῃ, καὶ μηδεὶς ὑπὲρ τῆς χώρας δι' ἀπιστίαν ἐξίῃ, μηχανήματ' ἐπιστήσας πολιορκεῖ, καὶ σιωπῶ θέρος καὶ χειμῶνα, ὡς οὐδὲν αὐτῷ διαφέρει, οὐδ' ἐστὶν ἐξαίρετος ὥρα τις, ἣν διαλείπει· ταῦτα μὲν τοίνυν πάντας * εἰδότας δεῖ καὶ λογιζομένους, μὴ προσέσθαι τὸν πόλεμον εἰς τὴν χώραν, μηδ' εἰς τὴν εὐήθειαν, τὴν τοῦ τότε πρὸς Λακεδαιμονίους πολέμου βλέποντας ἐκτραχηλισθῆναι· ἀλλ' ὡς ἐκ πλείστου φυλάττεσθαι τοῖς πράγμασι, καὶ ταῖς παρασκευαῖς, ὅπως οἴκοθεν μὴ κινήσεται σκοποῦντας, οὐχὶ συμπλακέντας διαγωνίζεσθαι· πρὸς μὲν γὰρ πόλεμον πολλὰ φύσει πλεονεκτήματα ὑμῖν ὑπάρχει, ἄν περ, ὦ ἄνδρες ἀθηναῖοι, ποιεῖν ἐθέλωμεν ἃ δεῖ· ἡ φύσις τῆς ἐκείνου χώρας, ἧς ἄγειν καὶ φέρειν ἐστὶ πολλὴν, καὶ κακῶς ποιεῖν ἄλλα μυρία· εἰς δὲ ἀγῶνα ἄμεινον ἡμῶν ἐκεῖνος ἤσκηται· οὐ μόνον δὲ δεῖ ταῦτα γινώσκειν, οὐδὲ τοῖς ἔργοις ἐκεῖνον ἀμύνεσθαι τοῖς τοῦ πολέμου, ἀλλὰ καὶ τῷ λογισμῷ, καὶ τῇ διανοίᾳ, τοὺς παρ' ἡμῖν ὑπὲρ αὐτοῦ λέγοντας μισῆσαι, ἐνθυμουμένους ὅτι οὐκ ἔνεστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ὑπηρετοῦντας ἐκείνῳ· ὃ μὰ τὸν Δία, καὶ τοὺς ἄλλους θεοὺς οὐ δύνασθε ὑμεῖς ποιῆσαι, οὐδὲ βούλεσθε· ἀλλ' εἰς τοῦτο ἀφῖχθε μωρίας ἢ παρανοίας, ἢ, οὐκ ἔχω τί λέγω· πολλάκις γὰρ ἔμοιγ' ἐπελήλυθε καὶ τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τὰ πράγματα ἐλαύνῃ· ὥστε λοιδορίας, ἢ φθόνου, ἢ σκώμματος εἵνεχ', ἧς τινος ἂν τύχητε αἰτίας, ἀνθρώπους μισθωτοὺς, ὧν οὐδ' ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι, λέ-

γειν

γειν κελεύετε, καὶ γελᾶτε ἄν τινες λοιδορηθῶσι· καὶ οὐχὶ τοῦτό πω δεινόν, καίπερ ὂν δεινόν· ἀλλὰ καὶ μετὰ πλείονος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις, ἢ τοῖς ὑπὲρ ὑμῶν λέγουσι. καί τοι θεάσασθε ὅσας συμφορὰς παρασκευάζει, τὸ τῶν τοιούτων ἐθέλειν ἀκροᾶσθαι· λέξω δὲ ἔργα, ἃ πάντες εἴσεσθε. Ἦσαν ἐν Ὀλύνθῳ τῶν ἐν τοῖς πράγμασι, τινὲς μὲν τὰ Φιλίππου φρονοῦντες, καὶ πάνθ᾽ ὑπηρετοῦντες ἐκείνῳ· τινὲς δὲ ὑπὲρ τοῦ βελτίστου, καὶ ὅπως μὴ δουλεύσουσιν, οἱ πολῖται πράττοντες· πότεροι δὲ τὴν πατρίδα ἀπώλεσαν; ἢ πότεροι τοὺς ἱππέας προὔδοσαν, ὧν προδοθέντων Ὄλυνθος ἀπώλετο; οἱ τὰ Φιλίππου φρονοῦντες, καὶ ὅτ᾽ ἦν ἡ πόλις, τοὺς τὰ βέλτιστα λέγοντας συκοφαντοῦντες καὶ διαβάλλοντες οὕτως, ὥστε τόν γ᾽ Ἀπολλωνίδην καὶ ἐκβαλεῖν ὁ δῆμος ὁ τῶν Ὀλυνθίων ἐπείσθη· οὐ τοίνυν παρὰ τούτοις μόνοις τὸ ἔθος τοῦτο πάντα κακὰ εἰργάσατο, ἄλλοθι δ᾽ οὐδαμοῦ· ἀλλ᾽ ἐν Ἐρετρίᾳ, ἐπειδή γε ἀπαλλαγέντος τοῦ Πλουτάρχου, καὶ τῶν ξένων ὁ δῆμος εἶχε τὴν πόλιν, καὶ τὸν Πορθμόν, οἱ μὲν ἐφ᾽ ὑμᾶς ἦγον τὰ πράγματα, οἱ δ᾽ ἐπὶ Φίλιππον· ἀκούοντες δὲ τούτων τὰ πολλά, μᾶλλον δὲ πάντα οἱ ταλαίπωροι καὶ δυστυχεῖς Ἐρετριεῖς τελευτῶντες ἐπείσθησαν τοὺς ὑπὲρ αὐτῶν λέγοντας ἐκβαλεῖν· καὶ γάρ τοι πέμψας Ἱππόνικον ὁ σύμμαχος, καὶ φίλος αὐτοῖς Φίλιππος, καὶ ξένους χιλίους, τὰ τείχη περιεῖλε τοῦ Πορθμοῦ, καὶ τρεῖς κατέστησε τυράννους, Ἵππαρχον, Αὐτομέδοντα, Κλείταρχον, καὶ μετὰ ταῦτ᾽ ἐξελήλακεν ἐκ τῆς χώρας δὶς ἤδη βουλομένους σώζεσθαι, τότε μὲν πέμψας τοὺς μετ᾽ Εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς μετὰ Παρμενίωνος· καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ᾽ ἐν Ὠρεῷ, Φιλιστίδης μὲν ἔπραττε Φιλίππῳ, καὶ Μένιππος, καὶ Σωκράτης, καὶ Θόας, καὶ Ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν πόλιν· καὶ ταῦτ᾽ ᾔδεσαν ἅπαντες· Εὐφραῖος δέ τις ἄνθρωπος, καὶ παρ᾽ ὑμῖν ποτ᾽ ἐνθάδε οἰκήσας, ὅπως ἐλεύθεροι, καὶ μηδενὸς δοῦλοι ἔσονται· οὗτος τὰ μὲν ἄλλα ὡς ὑβρίζετο, καὶ προεπηλακίζετο ὑπὸ τοῦ δήμου τοῦ τῶν Ὠρειτῶν, πολλὰ ἂν εἴη λέγειν· ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως ἐνέδειξεν ὡς προδότην τὸν Φιλιστίδην, καὶ τοὺς μετ᾽ αὐτοῦ αἰσθόμενος ἃ πράττουσι· συστραφέντες δὲ ἄνθρωποι πολλοὶ καὶ χορηγὸν ἔχοντες Φίλιππον, καὶ πρυτανευόμενοι παρ᾽ ἐκείνου, ἀπάγουσι τὸν Εὐφραῖον εἰς τὸ

δεσ-

δεσμωτήριον, ὡς συνταράττοντα τὴν πόλιν· ὁρῶν δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν Ὠρειτῶν ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δ' ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δ' ἐπιτήδειον εἶναι ταῦτα παθεῖν ἔφη, καὶ ἐπέχαιρε· μετὰ ταῦθ' οἱ μὲν ἐπ' ἐξουσίας ὁπόσης ἠβούλοντο, ἔπραττον, ὅπως ἡ πόλις ληφθήσεται καὶ κατεσκευάζοντο τὴν πρᾶξιν· τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ κατεπέπληκτο, τὸν Εὐφραῖον οἷα ἔπαθε μεμνημένος· οὕτω δ' ἀθλίως διέκειντο, ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνήν, πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη προσῇσαν οἱ πολέμιοι· τηνικαῦτα δ' οἱ μὲν ἠμύνοντο, οἱ δὲ προὐδίδοσαν· τῆς δὲ πόλεως οὕτως ἁλούσης αἰσχρῶς καὶ κακῶς οἱ μὲν ἄρχουσι, καὶ τυραννοῦσι τοὺς τότε σώζοντας αὐτούς, καὶ τὸν Εὐφραῖον, ἑτοίμους ὁτιοῦν ποιεῖν, τοὺς μὲν ἐκβαλόντες, τοὺς δὲ ἀποκτείναντες· ὁ δ' Εὐφραῖος ἐκεῖνος ἀπέσφαξεν ἑαυτόν, ἔργῳ μαρτυρήσας, ὅτι δικαίως καὶ καθαρῶς ὑπὲρ τῶν πολιτῶν ἀνθειστήκει Φιλίππῳ. Τί οὖν ποτ' αἴτιον, θαυμάζετ' ἴσως, τὸ καὶ τοὺς Ὀλυνθίους, καὶ τοὺς Ἐρετριεῖς, καὶ τοὺς Ὠρείτας ἥδιον πρὸς τοὺς ὑπὲρ Φιλίππου λέγοντας ἔχειν, ἢ τοὺς ὑπὲρ ἑαυτῶν, ὅπερ καὶ παρ' ὑμῖν; ὅτι, τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου λέγουσιν οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν· τὰ γὰρ πράγματ' ἀνάγκη σκοπεῖν, ὅπως σωθήσεται· οἱ δ' ἐν αὐτοῖς οἷς χαρίζονται, Φιλίππῳ συμπράττουσιν, εἰσφέρειν ἐκέλευον· οἱ δ', οὐδὲν δεῖν ἔφασαν· πολεμεῖν καὶ μὴ πιστεύειν· οἱ δ', ἄγειν εἰρήνην, ἕως ἐγκατελήφθησαν· τἆλλα τὸν αὐτὸν τρόπον οἶμαι πάνθ', ἵνα μὴ καθ' ἕκαστα λέγω. οἱ μὲν, ἐφ' οἷς ἤδη χαριοῦνται, ταῦτ' ἔλεγον· οἱ δ' ἐξ ὧν ἔμελλον σωθήσεσθαι οἷς προσῆσαν ἀπέχθειαι· πολλὰ δὲ καὶ τὰ τελευταῖα, οὐχ οὕτως οὔτε πρὸς χάριν, οὔτε δι' ἄγνοιαν οἱ πολλοὶ προΐεντο· ἀλλ' ὑποκατακλινόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον· ὃ νὴ τὸν Δία, καὶ τὸν Ἀπόλλω, δέδοικα ἔγωγε μὴ πάθητε ὑμεῖς, ἐπειδὰν εἰδῆτε ἐκ λογισμοῦ μηδὲν ὑμῖν ἐνόν· καὶ τοὺς εἰς τοῦθ' ὑπάγοντας ὑμᾶς ὁρῶν οὐκ ὀρρωδῶ, ἀλλὰ δυσωποῦμαι· ἢ γὰρ ἐξεπίτηδες, ἢ δι' ἄγνοιαν εἰς χαλεπὸν πρᾶγμα ὑπάγουσι τὴν πόλιν. Καί τοι μὴ γένοιτο, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ πράγματ' ἐν τούτῳ· τεθνάναι γὰρ μυριάκις κρεῖττον, ἢ κολακείᾳ τι ποιῆσαι Φιλίππῳ, καὶ προέσθαι

τῶν

τῶν ὑπὲρ ὑμῶν λεγόντων τινάς· καλήν γ' οἱ πολλοὶ νῦν ἀπολαύουσιν Ὠρειτῶν χάριν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν αὐτοὺς, τὸν δ' Εὐφραῖον ἐώθουν· καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς ὑμετέρους μὲν πρέσβεις ἀπήλασε, Κλειτάρχῳ δὲ ἐνέδωκεν αὐτόν· δουλεύουσί γε μαστιγούμενοι, καὶ σφαττόμενοι· καλῶς Ὀλυνθίων ἐφείσατο, τῶν τὸν μὲν Λασθένην ἵππαρχον χειροτονησάντων, τὸν δὲ Ἀπολλωνίδην ἐκβαλόντων· μωρία, καὶ κακία τὰ τοιαῦτα ἐλπίζειν· καὶ κακῶς βουλευομένους αὐτοὺς, καὶ μηδὲν ὧν προσήκει ποιεῖν ἐθέλοντας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροωμένους, τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος, ὥστε μὴ δ' ἂν ὁτιοῦν ᾖ δεινὸν πείσεσθαι· καὶ μὴν ἐκεῖνό γε αἰσχρὸν ὕστερόν ποτ' εἰπεῖν συμβάντος τινός· τίς γὰρ ἂν ᾠήθη ταῦτα γενέσθαι; νὴ τὸν Δία, ἔδει γὰρ τὸ καὶ τὸ, ποιῆσαι, καὶ τὸ, μὴ ποιῆσαι· πολλὰ ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι νῦν, ἃ τότε εἰ προείδοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φωκεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι· ἀλλὰ τί τούτων ὄφελος αὐτοῖς; ἕως ἂν σώζηται τὸ σκάφος, ἄν τε μεῖζον, ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην, καὶ κυβερνήτην, καὶ πάντ' ἄνδρα ἐφεξῆς πρόθυμον εἶναι, καὶ ὅπως μήθ' ἑκὼν, μήτ' ἄκων μηδεὶς ἀνατρέψῃ τοῦτο, σκοπεῖσθαι· ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή· Καὶ ἡμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον, τί ποιῶμεν, πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσων κάθηται· ἐγὼ νὴ Δί' ἐρῶ, καὶ γράψω δὲ, ὥστε ἂν βούλησθε, χειροτονήσετε, αὐτοὶ πρῶτον ἀμυνόμενοι, καὶ παρασκευαζόμενοι τριήρεσι, χρήμασι, καὶ στρατιώταις λέγω· καὶ γὰρ ἂν ἅπαντες δουλεύειν δήπου συγχωρήσωσιν οἱ ἄλλοι, ὑμῖν γ' ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον· ταῦτα δὲ πάντα παρασκευασάμενοι, καὶ ποιήσαντες τοῖς Ἕλλησι φανερὰ, τοὺς ἄλλους ἤδη παρακαλῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας ἐκπέμπωμεν πρέσβεις πανταχοῦ, εἰς Πελοπόννησον, εἰς Ῥόδον, εἰς Χίον, ὡς βασιλέα λέγω· οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφερόντων ἀφέστηκε, τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι· ἵν', ἐὰν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν κινδύνων, καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ· εἰ δὲ μὴ, χρόνους γε ἐμποιῆτε τοῖς πράγμασιν· ἐπειδὴ γάρ ἐστι πρὸς

ἄνδρα, καὶ οὐχὶ συνεστώσης πόλεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ τοῦτ' ἄχρηστον, οὐδ' αἱ πέρυσι πρεσβεῖαι περὶ τὴν Πελοπόννησον ἐκεῖναι καὶ κατηγορίαι, ἃς ἐγὼ, καὶ Πολύευκτος ὁ βέλτιστος ἐκεινοσί, καὶ Ἡγήσιππος, καὶ Κλειτόμαχος, καὶ Λυκοῦργος, καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν, καὶ ἐποιήσαμεν ἐπισχεῖν ἐκεῖνον, καὶ μήτ' ἐπ' Ἀμβρακίαν ἐλθεῖν, μήτ' ἐς Πελοπόννησον ὁρμῆσαι· οὐ μέν τοι λέγω μηδὲν αὐτοὺς ὑπὲρ αὐτῶν ἀναγκαῖον ἐθέλοντας ποιεῖν, τοὺς ἄλλους παρακαλεῖν· καὶ γὰρ εὔηθες, τὰ οἰκεῖα αὐτοὺς προεμένους, τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι, καὶ τὰ παρόντα περιορῶντας ὑπὲρ τῶν μελλόντων τοὺς ἄλλους φοβεῖν· οὐ λέγω ταῦτα· ἀλλὰ τοῖς μὲν ἐν Χερρονήσῳ χρήματ' ἀποστέλλειν φημὶ δεῖν, καὶ τἄλλα ὅσα ἀξιοῦσι ποιεῖν· αὐτοὺς δὲ παρασκευάζεσθαι, καὶ πρώτους ἃ χρὴ ποιοῦντας, τότε καὶ τοὺς ἄλλους Ἕλληνας συγκαλεῖν, συνάγειν, διδάσκειν, νουθετεῖν. Ταῦτ' ἐστὶ πόλεως ἀξίωμα ἐχούσης, ἡλίκον ὑμῖν ὑπάρχει· εἰ δ' οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν, ἢ Μεγαρέας, ὑμεῖς δ' ἀποδράσεσθαι τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε· ἀγαπητὸν γὰρ ἂν αὐτοὶ σώζωνται τούτων ἕκαστοι· ἀλλ' ὑμῖν τοῦτο πρακτέον· ὑμῖν οἱ πρόγονοι τοῦτο τὸ γέρας ἐκτήσαντο, καὶ κατέλιπον μετὰ πολλῶν καὶ καλῶν, καὶ μεγάλων κινδύνων, εἰ δ' ὃ βούλεται ζητῶν ἕκαστος καθεδεῖται, καὶ ὅπως μηδὲν αὐτὸς ποιήσῃ σκοπῶν· πρῶτον μὲν, οὐδὲ μήποθ' εὕρῃ τοὺς ποιήσοντας· ἔπειτα δέδοικα, ὅπως μὴ πάντα, ὅσα οὐ βουλόμεθα, ποιεῖν ἡμῖν ἀνάγκη γενήσεται· εἰ γὰρ ἦσαν, εὕρηντ' ἂν πάλαι, ἕνεκά γε τοῦ μηδὲν ὑμᾶς αὐτοὺς ποιεῖν ἐθέλειν· ἀλλ' οὐκ εἰσίν. Ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω· καὶ οἴομαι καὶ νῦν ἔτι ἐπανορθωθῆναι ἂν τὰ πράγματα, τούτων γιγνομένων· εἰ δέ τις ἔχει τούτου τι βέλτιον, λεγέτω καὶ συμβουλευέτω· ὅ, τι δ' ὑμῖν δόξειε, τοῦτ', ὦ πάντες θεοὶ, συνενέγκοι.

# ΔΗΜΟΣΘΕ'ΝΟΥΣ

## ΚΑΤΑ' ΦΙΛΙ'ΠΠΟΥ

## ΛΟ'ΓΟΣ ΤΕ'ΤΑΡΤΟΣ.

ΚΑΙ` σπουδαῖα νομίζων, ὦ ἄνδρες ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ αὐτῶν εἰπεῖν, ἃ νομίζω συμφέρειν· οὐκ ὀλίγων δ' ὄντων ἁμαρτημάτων, οὐδ' ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως ταῦτ' ἔχει, οὐδέν ἐστιν, ὦ ἄνδρες ἀθηναῖοι, τῶν πάντων δυσκολώτερον εἰς τὸ παρὸν, ἢ ὅτι ταῖς γνώμαις ὑμεῖς ἀφεστήκατε τῶν πραγμάτων, καὶ τοσοῦτον χρόνον σπουδάζετε, ὅσον ἂν κάθησθε ἀκούοντες, ἢ προσαγγελθῇ τι νεώτερον· εἶτ' ἀπελθὼν ἕκαστος ὑμῶν, οὐ μόνον οὐδὲν φροντίζει περὶ αὐτῶν, ἀλλ' οὐδὲ μέμνηται· Ἡ μὲν οὖν ἀσέλγεια, καὶ πλεονεξία, ᾗ πρὸς ἅπαντας ἀνθρώπους φίλιππος χρῆται, τοσαύτη τὸ πλῆθος, ὅσην ἀκούετε· ὅτι δ' οὐκ ἔνι ταύτης ἐκεῖνον ἐπισχεῖν ἐκ λόγου καὶ δημηγορίας, οὐδεὶς ἀγνοεῖ δήπου· καὶ γὰρ εἰ μηδ' ἀφ' ἑνὸς τῶν ἄλλων τοῦτο μαθεῖν δύναιτό τις, ὡδὶ λογισάσθω· ἡμεῖς οὐδαμοῦ πώποτε, ὅπου περὶ τῶν δικαίων εἰπεῖν ἐδέησεν, ἡττήθημεν, οὐδ' ἀδικεῖν ἐδόξαμεν, ἀλλὰ πάντων πανταχοῦ κρατοῦμεν, καὶ περίεσμεν τῷ λόγῳ· ἆρ' οὖν διὰ ταῦτ' ἐκείνῳ φαύλως ἔχει τὰ πράγματα, ἢ τῇ πόλει καλῶς; πολλοῦ γε καὶ δεῖ· ἐπειδὰν γὰρ ὁ μὲν, λαβὼν μετὰ ταῦτα βαδίζῃ τὰ ὅπλα πᾶσι τοῖς οὖσιν ἑτοίμως κινδυνεύσων, ἡμεῖς δὲ καθώμεθα, οἱ μὲν, εἰρηκότες τὰ δίκαια, οἱ δ' ἀκηκοότες εἰκότως, οἶμαι, τὰ ἔργα τοὺς λόγους παρέρχεται· καὶ προσέχουσιν ἅπαντες, οὐχ οἷς εἴπομέν ποθ' ἡμεῖς δικαίοις, ἢ νῦν ἂν εἴποιμεν, ἀλλ' οἷς ποιοῦμεν· ἔστι δὲ ταῦτα, οὐδένα τῶν ἀδικουμένων σώζειν δυνάμενα· οὐδὲν γὰρ δεῖ πλείω περὶ αὐτῶν λέγειν· τοιγάρτοι διεστηκότων εἰς δύο μέρη τῶν ἐν ταῖς πόλεσι, τῶν μὲν, εἰς τὸ μήτε ἄρχειν βίᾳ βούλεσθαι μηδε-

νὸς, μήτε δουλεύειν ἄλλῳ, ἀλλ' ἐν ἐλευθερίᾳ, καὶ νόμοις ἐξ ἴσου πολιτεύεσθαι· τῶν δ', εἰς τὸ ἄρχειν μὲν τῶν πολιτῶν ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι' ὅτου ποτ' ἂν οἴωνται τοῦτο δυνήσεσθαι ποιῆσαι· οἱ τῆς ἐκείνου προαιρέσεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες, κεκρατήκασι πανταχοῦ· καὶ πόλις δημοκρατουμένη βεβαίως, οὐκ οἶδ' εἴ τις ἐστὶ τῶν πασῶν λοιπὴ, πλὴν ἡ ὑμετέρα· καὶ κεκρατήκασιν οἱ δι' ἐκείνου τὰς πολιτείας ποιούμενοι πᾶσιν ὅσοις πράγματα πράττεται· πρώτῳ μὲν πάντων, καὶ πλείστῳ, τῷ τοὺς βουλομένους χρήματα λαμβάνειν, ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν· δευτέρῳ δὲ οὐδὲν ἐλάττονι τούτου, τῷ δύναμιν τὴν καταστρεψομένην τοὺς ἀντιπαττομένους αὐτοῖς, ἐν οἷς ἂν αἰτήσωσι χρόνοις παρεῖναι· ἡμεῖς δὲ οὐ μόνον τούτοις ἀπολειπόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὐδ' ἀνεγερθῆναι δυνάμεθα· ἀλλὰ μανδραγόραν πεπωκόσιν, ἤ τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις· εἶτ', οἶμαι, δεῖ γὰρ ὡς ἐγὼ κρίνω λέγειν τἀληθῆ, οὕτω διαβεβλήμεθα καὶ καταπεφρονήμεθα ἐκ τούτων, ὥστε τῶν ἐν αὐτῷ τῷ κινδυνεύειν ὄντων, οἱ μὲν, ὑπὲρ τῆς ἡγεμονίας ὑμῖν ἀντιλέγουσιν· οἱ δ' ὑπὲρ τοῦ ποῦ συνεδρεύσουσι· τινὲς δὲ καὶ καθ' ἑαυτοὺς ἀμύνεσθαι μᾶλλον ἢ μεθ' ἡμῶν ἐγνώκασι. Τοῦ χάριν δὴ ταῦτα λέγω καὶ διεξέρχομαι; οὐ γὰρ ἀπεχθάνεσθαι μὰ τὸν Δία καὶ πάντας τοὺς θεοὺς προαιροῦμαι, ἀλλ' ἵνα ὑμῶν ἕκαστος, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο γνῷ καὶ ἴδῃ, ὅτι ἡ καθ' ἡμέραν ῥᾳστώνη, καὶ ῥᾳθυμία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω καὶ ταῖς πόλεσιν, οὐκ ἀφ' ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν εὐθέως, ἀλλ' ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ· ὁρᾶτε Σέρριον καὶ Δορίσκον, ταῦτα γὰρ πρῶτον ὠλιγωρήθη μετὰ τὴν εἰρήνην, ἃ πολλοῖς ὑμῶν οὐδὲ γνώριμά ἐστιν ἴσως· ταῦτα μέντοι τό τε ἐαθέντα, καὶ παροφθέντα ἀπώλεσε Θρᾴκην, καὶ Κερσοβλέπτην σύμμαχον ὄντα ὑμῶν· πάλιν ταῦτ' ἀμελούμενα ἰδὼν, καὶ οὐδεμιᾶς βοηθείας τυγχάνοντα παρ' ὑμῶν, * κατέσκαπτε Πορθμὸν, καὶ τυραννίδα ἀπαντικρὺ τῆς ἀττικῆς ἐπετείχισεν ὑμῖν ἐν τῇ Εὐβοίᾳ· ταύτης ὀλιγωρουμένης, Μέγαρα ἑάλω παρὰ μικρόν· οὐδὲν ἐφροντίσατε, οὐδ' * ἐπεστράφητε ἐπ' οὐδενὶ τούτων, οὐδ' ἐνεδείξασθε τοῦθ', ὅτι οὐκ ἐπιτρέψετε ταῦτα ποιεῖν αὐτῷ· Ἀντρῶνας ἐπρίατο· καὶ μετ' οὐ πολὺν χρόνον, τὰ ἐν Ὠρεῷ πράγματ' εἰλήφει· πολλὰ δὲ καὶ παραλείπω, Φεράς·

τὴν ἐπ' Ἀμβρακίαν ὁδόν, τὰς ἐν Ἤλιδι σφαγάς, ἄλλα μυρία· οὐ γὰρ ἵν' ἐξαριθμήσωμαι τοὺς βεβιασμένους, καὶ τοὺς ἠδικημένους ὑπὸ Φιλίππου, ταῦτα διεξῆλθον· ἀλλ' ἵνα τοῦθ' ὑμῖν ἐπιδείξω, ὅτι οὐ στήσεται πάντας ἀνθρώπους ἀδικῶν, τὰ δ' ὑφ' αὐτῷ ποιούμενος Φίλιππος, εἰ μή τις αὐτὸν κωλύσει. Εἰσὶ δέ τινες, οἳ πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πραγμάτων λόγους, εὐθέως εἰώθασιν ἐρωτᾶν, τί οὖν χρὴ ποιεῖν; οὐχ ἵνα ἀκούσαντες ποιήσωσι· χρησιμώτατοι γὰρ ἂν ἦσαν ἁπάντων· ἀλλ' ἵνα τοῦ λέγοντος ἀπαλλαγῶσι· δεῖ δ' ὅμως εἰπεῖν, ὅ, τι χρὴ ποιεῖν· πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βεβαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ, καὶ τὴν εἰρήνην λέλυκε· καὶ κακόνους μέν, καὶ ἐχθρός ἐστιν ὅλῃ τῇ πόλει, καὶ τῷ τῆς πόλεως ἐδάφει, προσθήσω δὲ καὶ τοῖς ἐν τῇ πόλει θεοῖς, οἵπερ αὐτὸν ἐξολέσειαν· οὐδενὶ μέντοι μᾶλλον, ἢ τῇ πολιτείᾳ πολεμεῖ· οὐδ' ἐπιβουλεύει καὶ σκοπεῖ μᾶλλον οὐδὲν τῶν ἁπάντων, ἢ ὅπως ταύτην καταλύσῃ· καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τινὰ νῦν γε δὴ ποιεῖ· λογίζεσθε γάρ· ἄρχειν βούλεται· τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς· ἀδικεῖ πολὺν ἤδη χρόνον· καὶ τοῦτ' αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ· οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει χρῆσθαι, τούτοις ἅπαντα τἆλλα βεβαίως κέκτηται. εἰ γὰρ Ἀμφίπολιν, καὶ Ποτίδαιαν προεῖτο, οὐδ' ἂν ἐν Μακεδονίᾳ μένειν ἀσφαλῶς ἡγεῖτο· ἀμφότερα οὖν οἶδε, καὶ αὐτὸν ὑμῖν ἐπιβουλεύοντα, καὶ ὑμᾶς αἰσθανομένους· εὖ φρονεῖν δ' ὑμᾶς ὑπολαμβάνων, δικαίως μισεῖν αὐτὸν ἡγεῖται· πρὸς δὲ τούτοις τοσούτοις οὖσιν οἶδεν ἀκριβῶς, ὅτι οὐδὲ ἂν ἁπάντων τῶν ἄλλων γένηται κύριος, οὐδέν ἐστ' αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν ὑμεῖς δημοκρατῆσθε· ἀλλ' ἐάν ποτε συμβῇ τι πταῖσμα, πολλὰ δ' ἂν γένοιτο ἀνθρώπῳ, ἥξει πάντα τὰ νῦν βεβιασμένα, καὶ καταφεύξεται πρὸς ὑμᾶς· ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι, καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες· ἀλλ' ἕτερον λαβεῖν κωλῦσαι, καὶ τὸν ἔχοντ' ἀφελέσθαι, καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν βουλομένοις, καὶ πάντας ἀνθρώπους εἰς ἐλευθερίαν ἐξελέσθαι δεινοί· οὔκουν βούλεται τοῖς αὐτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος· πρῶτον μὲν δή, τοῦτο δεῖ χαίρειν ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας, καὶ τῆς δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον· δεύ-

τερον δὲ εἰδέναι σαφῶς, ὅτι πάνθ' ὅσα πραγματεύεται, καὶ κατασκευάζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν παρασκευάζεται· οὐ γὰρ οὕτως εὐήθης ἐστὶν ὑμῶν οὐδείς, ὥσθ' ὑπολαμβάνειν τὸν Φίλιππον, τῶν μὲν ἐν Θρᾴκῃ κακῶν· τί γὰρ ἂν ἄλλο τις εἴποι, Δρογγίλον, καὶ Καβύλην, καὶ Μάστειραν, καὶ ἃ νῦν φασιν αὐτὸν ἔχειν, τούτων μὲν ἐπιθυμεῖν, καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν, καὶ πόνους, καὶ χειμῶνας, καὶ τοὺς ἐσχάτους κινδύνους ὑπομένειν, τῶν δ' Ἀθήνῃσι λιμένων, καὶ νεωρίων, καὶ τριήρων, καὶ τῶν ἔργων τῶν ἀργυρείων, καὶ τοσούτων προσόδων, καὶ τόπου, δόξης, ὧν μήτ' ἐκείνῳ, μήτ' ἄλλῳ γένοιτο μηδενὶ, χειρωσαμένῳ τὴν πόλιν τὴν ἡμετέραν κυριεῦσαι, οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα μὲν ὑμᾶς ἐάσειν ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν, καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις σπόροις, ἐν τῷ βαράθρῳ χειμάζειν· οὐκ ἔστι ταῦτα, ἀλλὰ κἀκεῖνα ὑπὲρ τοῦ τούτων γενέσθαι κύριος, καὶ τἄλλα πάντα πραγματεύεται. Ταῦτα τοίνυν ἕκαστον εἰδότα, καὶ γιγνώσκοντα παρ' αὑτῷ, δεῖ μὰ Δί' οὐ γράψαι κελεύειν πόλεμον, τὸν τὰ βέλτιστα ἐπὶ πᾶσι δικαίοις συμβουλεύοντα· τοῦτο μὲν γάρ ἐστιν ὅτῳ * πολεμήσετε λαβεῖν βουλομένων, οὐχ ἃ τῇ πόλει συμφέρει, πράττειν· ὁρᾶτε γάρ, εἰ δι' ἃ πρῶτα παρεσπόνδηκε Φίλιππος, ἢ δεύτερα, ἢ τρίτα, πολλὰ γάρ ἐστιν ἐφεξῆς, ἔγραψέ τις αὐτῷ πολεμεῖν· ὁ δ' ὁμοίως, ὥσπερ νῦν οὐ γράφοντος Ἀθηναίων οὐδενὸς πόλεμον, Καρδιανοῖς ἐβοήθει· οὐκ ἀνηρπασμένος ἂν ἦν ὁ ταῦτα γράψας, καὶ διὰ τοῦτο ἅπαντες ᾐτιῶντο ἄν, αὐτὸν Καρδιανοῖς βεβοηθηκέναι· μὴ τοίνυν ζητεῖτε ὅν τινα, ἀνθ' ὧν Φίλιππος ἐξαμαρτάνει, μισήσετε, καὶ τοῖς παρ' ἐκείνου μισθαρνοῦσι διασπάσεσθαι προβαλεῖτε· μηδ' αὐτοὶ χειροτονήσαντες πόλεμον, βούλεσθε παρ' ὑμῖν αὐτοῖς ἐρίζειν, εἰ δέοι, ἢ μὴ δέοι ὑμᾶς τοῦτο πεποιηκέναι· ἀλλ' ὃν ἐκεῖνος * πολεμεῖ τρόπον, τοῦτον ἀμύνεσθε, τοῖς μὲν ἀμυνομένοις ἤδη χρήματα καὶ τἄλλα, ὧν ἂν δέονται, διδόντες· αὐτοὶ δ' εἰσφέροντες, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατασκευαζόμενοι στράτευμα, τριήρεις ταχείας, ἵππους, ἱππαγωγούς, καὶ τἄλλα ὅσα εἰς πόλεμον· ἐπεὶ νῦν γε γέλως ἔσθ' ὡς χρώμεθα τοῖς πράγμασι· καὶ Φίλιππον δὲ αὐτὸν οἶμαι, οὐδὲν ἂν ἄλλο μὰ τοὺς θεοὺς εὔξασθαι ποιεῖν τὴν πόλιν, ἢ ταῦτα, ἃ νῦν ποιεῖτε· ὑστερίζετε, ἀναλίσκετε, ὅτῳ παραδώσετε τὰ πράγματα, ζητεῖτε, δυσχεραίνετε, ἀλλήλους αἰτιᾶσθε· ἀφ' ὅτου δὲ ταῦτα γίνεται, ἐγὼ διδάξω,

καὶ

καὶ ὅπως παύσεται, λέξω. Οὐδὲν πώποτε, ὦ ἄνδρες ἀθηναῖοι, τῶν πραγμάτων ἐξ ἀρχῆς ἐνεστήσασθε, οὐδὲ κατεσκευάσασθε ὀρθῶς· ἀλλὰ τὸ συμβαῖνον ἀεὶ διώκετε· εἶτ' ἐπειδὰν ὑστερίσητε, παύεσθε· ἕτερον πάλιν ἐὰν συμβῇ τι, παρασκευάζεσθε, καὶ θορυβεῖσθε· τὸ δ' οὐχ οὕτως ἔχει· οὐκ ἔνεστι βοηθείαις χρωμένους, οὐδὲν τῶν δεόντων πώποτε πρᾶξαι· ἀλλὰ κατασκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας, καὶ ταμίας δημοσίους, καὶ ὅπως ἐπὶ τῆς τῶν * χρημάτων φυλακῆς ἀκριβεστάτην γενέσθαι· οὕτω ποιήσαντας, τὸν μὲν τῶν χρημάτων λόγον, παρὰ τούτων λαμβάνειν· τὸν δὲ τῶν ἔργων, παρὰ τοῦ στρατηγοῦ· καὶ μηδεμίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσε, ἢ πράττειν ἄλλο τι τῷ στρατηγῷ καταλείπειν· ἂν δ' οὕτω ποιήσητε, καὶ τοῦτο ἐθελήσητε, ὡς ἀληθῶς ἄγειν εἰρήνην δικαίαν, καὶ μένειν ἐπὶ τῆς αὐτοῦ φίλιππον ἀναγκάσετε, ἢ πολεμήσετε ἐξ ἴσου· καὶ ἴσως ἂν ἴσως, ὦ ἄνδρες ἀθηναῖοι, ὥσπερ ὑμεῖς νῦν πυνθάνεσθε, τί ποιεῖ φίλιππος, καὶ ποῖ πορεύεται; οὕτως ἐκεῖνος φροντίσει, ποῖ ποτε ἡ τῆς πόλεως ἀπῆρκε δύναμις, καὶ ποῦ φανήσεται; εἰ δέ τῳ δοκεῖ ταῦτα, καὶ δαπάνης πολλῆς, καὶ πόνων πολλῶν, καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς δοκεῖ· ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γενησόμενα, ἐὰν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα· εἰ μὲν γάρ ἐστί τις ἐγγυητὴς ἡμῖν θεῶν (οὐ γὰρ ἀνθρώπων γε οὐδεὶς ἂν γένοιτο ἀξιόχρεως τηλικούτου πράγματος) ὡς ἐὰν ἄγητ' ἡσυχίαν, καὶ ἅπαντα προῆσθε, οὐκ ἐπ' αὐτοὺς ὑμᾶς τελευτῶν ἐκεῖνος ἥξει· αἰσχρὸν μὲν, νὴ τὸν Δία, καὶ πάντας τοὺς θεοὺς, καὶ ἀνάξιον ὑμῶν, καὶ τῶν ὑπαρχόντων τῇ πόλει, καὶ τῶν πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας ῥᾳθυμίας ἕνεκα τοὺς ἄλλους ἕλληνας ἅπαντας εἰς δουλείαν προέσθαι· καὶ ἔγωγε αὐτὸς μὲν τεθνάναι μᾶλλον ἂν, ταῦτ' εἰρηκέναι βουλοίμην· οὐ μὴν, ἀλλ' εἴ τις ἄλλος λέγει, καὶ ὑμᾶς πείθει, ἔστω· μὴ ἀμύνεσθε, ἅπαντα πρόεσθε· εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ προΐσμεν ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρησόμεθα ἐχθρῷ· τί ἀναδυόμεθα, ἢ τί μέλλομεν, ἢ πότε, ὦ ἄνδρες ἀθηναῖοι, τὰ δέοντα ποιεῖν ἐθελήσομεν; ὅταν νὴ Δί' ἀνάγκη τις ᾖ; ἀλλ' ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, οὐ μόνον ἤδη πάρεστιν, ἀλλὰ καὶ πάλαι παρελήλυθε· τὴν δὲ τῶν δούλων, ἀπεύχεσθαι

σθαι δήπου μὴ γίνεσθαι δεῖ· διαφέρει δὲ τί; ὅτι ἐστὶν ἐλευθέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη, ἡ ὑπὲρ τῶν γιγνομένων αἰσχύνη, καὶ μείζω ταύτης οὐκ οἶδα, ἥν τινα ἂν εἴποι τις· δούλῳ δὲ, πληγαὶ, καὶ ὁ τοῦ σώματος αἰκισμός· ὃ μήτε γένοιτο, οὔτε λέγειν ἄξιον· τὸ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ τοιαῦτα ὀκνηρῶς διακεῖσθαι, ἃ δεῖ τοῖς σώμασι, καὶ τοῖς οὖσι λειτουργῆσαι ἕκαστον, ἐστὶ μὲν οὐκ ὀρθῶς ἔχον, οὐδὲ πολλοῦ δεῖ· οὐ μὴν, ἀλλ' ἔχει γέ τινα πρόφασιν ὅμως· τὸ δὲ μηδ' ὅσα ἀκοῦσαι δεῖ, μηδ' ὅσα βουλεύσασθαι προσήκει, μηδὲ ταῦτ' ἐθέλειν ἀκούειν, τοῦτ' ἤδη πᾶσαν ἐπιδέχεται κατηγορίαν. ὑμεῖς τοίνυν οὔτ' ἀκούειν πρὶν ἂν, ὥσπερ καὶ νῦν αὐτὰ παρῇ τὰ πράγματα, οὔτε βουλεύεσθαι περὶ οὐδενὸς εἰώθατε ἐφ' ἡσυχίας· ἀλλ' ὅταν μὲν ἐκεῖνος παρασκευάζηται ἐφ' ὑμᾶς, ἀμελήσαντες τοῦ ποιεῖν τοῦτο, καὶ ἀντιπαρασκευάζεσθαι, ῥᾳθυμεῖτε· καὶ ἐάν τι λέγῃ τις, ἐκβάλλετε· ἐπειδὰν δὲ ἀπολωλός, ἢ πολιορκούμενόν τι πύθησθε, τηνικαῦτ' ἀκροᾶσθε καὶ παρασκευάζεσθε· ἦν δ' ἀκηκοέναι μὲν, καὶ βεβουλεῦσθαι τότε καιρὸς, ὅθ' ὑμεῖς οὐκ ἠθελήσατε· πράττειν δὲ καὶ χρῆσθαι τοῖς παρεσκευασμένοις, νῦν ἡνίκ' ἀκούετε· τοιγαροῦν ἐκ τῶν τοιούτων ἐθῶν μόνοι τῶν πάντων ἀνθρώπων ὑμεῖς τοὐναντίον τοῖς ἄλλοις ποιεῖτε· οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι· ὑμεῖς δὲ μετὰ τὰ πράγματα. Ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι μὲν ἔδει, διαφέρει δὲ οὐδὲ νῦν, τοῦτ' ἐρῶ· οὐδενὸς τῶν πάντων οὕτως ὡς χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐπιόντα πράγματα· συμβέβηκε δ' εὐτυχήματα ἀπὸ ταὐτομάτου· οἷς ἂν χρησώμεθα ὀρθῶς, ἴσως ἂν γένοιτο τὰ δέοντα· πρῶτον μὲν γὰρ, οἷς βασιλεὺς πιστεύει, καὶ εὐεργέτας ὑπείληφεν αὐτοῦ, οὗτοι μισοῦσι, καὶ πολεμοῦσι Φιλίππῳ· ἔπειθ' ὁ πράττων, καὶ συνειδὼς πάνθ' ὅσα Φίλιππος κατὰ βασιλέως παρασκευάζεται, οὗτος * ἀνάρπαστος γέγονε, καὶ πάσας τὰς πράξεις βασιλεὺς, οὐχ ἡμῶν κατηγορούντων ἀκούσεται, οὓς ὑπὲρ τοῦ συμφέροντος ἂν ἡγήσαιτο τοῦ ἰδίου λέγειν, ἀλλὰ τοῦ πράξαντος αὐτοῦ, καὶ διοικοῦντος· ὥστ' εἶναι πιστὰς τὰς κατηγορίας, καὶ λοιπὸν λόγον εἶναι τοῖς παρ' ὑμῶν πρέσβεσιν, ὃν βασιλεὺς ἥδιστ' ἂν ἀκούσαιτο, ὡς τὸν ἀμφοτέρους ἀδικοῦντα κοινῇ τιμωρήσασθαι δεῖ· καὶ ὅτι πολὺ τῷ βασιλεῖ φοβερώτερός ἐσθ' ὁ Φίλιππος, ἂν πρότερος ἡμῖν ἐπίθηται· εἰ γὰρ ἐγκαταλειπόμενοί τι πεισόμεθα ἡμᾶς, ἀδεῶς ἐπ' ἐκεῖνον

ἤδη

ἤδη προσθήσεται· ὑπὲρ δὴ τούτων ἁπάντων, οἶμαι δεῖν ὑμᾶς πρεσβείαν ἐκπέμπειν, ἥτις τῷ βασιλεῖ διαλέξεται· καὶ τὴν ἀβελτηρίαν ἀποθέσθαι, δι' ἣν πολλάκις ἠλαττώθητε, ὅτι δὴ ὁ βάρβαρος, καὶ κοινὸς ἅπασιν ἐχθρός, καὶ ἅπαντα τὰ τοιαῦτα· ἐγὼ γάρ, ὅταν ἴδω, τινὰ μέν, ἐν Σούσοις καὶ ἐν Ἐκβατάνοις δεδοικότα, καὶ κακόνουν εἶναι τῇ πόλει φάσκοντα, ὃς καὶ πρότερον συνεπηνώρθωσε τὰ τῆς πόλεως πράγματα καὶ νῦν ἐπηγγέλλετο· εἰ δὲ μὴ ἐδέχεσθ' ὑμεῖς, ἀλλ' ἀπεψηφίζεσθε, οὐ τἀκείνου αἴτια, ὑπὲρ δὲ τοῦ ἐπὶ ταῖς θύραις ἐγγὺς οὑτωσὶ ἐν μέσῃ τῇ Ἑλλάδι αὐξανομένου λῃστοῦ τῶν Ἑλλήνων, ἄλλο τι λέγοντα, θαυμάζω, καὶ δέδοικα τοῦτον, ὅστις ἂν ᾖ ποτ' ἔγωγ', ἐπειδὴ οὐχ οὗτος Φίλιππον. Ἔστι τοίνυν τι πρᾶγμα καὶ ἄλλο, ὃ λυμαίνεται τὴν πόλιν, ὑπὸ βλασφημίας ἀδίκου, καὶ λόγων οὐ προσηκόντων διαβεβλημένον· ἔτι τοῖς μηδὲν τῶν δικαίων ἐν τῇ πόλει βουλομένοις ποιεῖν πρόφασιν παρέχει· καὶ πάντων, ὅσα ἐκλείπει. δέον παρά του τοῦτο γίγνεσθαι, ἐπὶ τοῦθ' εὑρήσετε τὴν αἰτίαν ἀναφερομένην· περὶ οὗ πάνυ μὲν φοβοῦμαι λέγειν· οὐ μὴν ἀλλ' ἐρῶ. οἶμαι γὰρ ἕξειν, καὶ ὑπὲρ τῶν ἀπόρων τὰ δίκαια ἐπὶ τῷ συμφέροντι τῆς πόλεως εἰπεῖν πρὸς τοὺς εὐπόρους, καὶ ὑπὲρ τῶν κεκτημένων τὰς οὐσίας πρὸς τοὺς ἐνδεεῖς, εἰ ἀνέλοιμεν ἐκ μέσου τὰς βλασφημίας, ἃς ἐπὶ τῷ θεωρικῷ ποιοῦνταί τινες, οὐχὶ δικαίως· καὶ τὸν φόβον, ὡς οὐ στήσεται τοῦτο ἄνευ μεγάλου τινὸς κακοῦ· οὐδὲν ἂν εἰς τὰ πράγματα μεῖζον εἰσενεγκαίμεθα, οὐδ' ὅ, τι κοινὴ μᾶλλον ἂν ὅλην ἐπιρρώσειε τὴν πόλιν· οὑτωσὶ δὲ σκοπεῖτε· ἐρῶ δέ, ὑπὲρ τῶν ἐν χρείᾳ δοκούντων εἶναι * πρότερον.

Ἦν ποτ' οὐ πάλαι παρ' ἡμῖν, ὅτ' οὐ προσῄει τῇ πόλει τάλαντα ὑπὲρ τριάκοντα καὶ ἑκατόν· καὶ οὐδεὶς ἔστι τῶν τριηραρχεῖν δυναμένων, οὐδὲ τῶν εἰσφέρειν, ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἀφ' αὑτοῦ ποιεῖν, ὅτι χρήματα οὐ περιῆν· ἀλλὰ καὶ τριήρεις ἔπλεον, καὶ χρήματα ἐγίγνετο, καὶ πάντα ἐποιοῦμεν τὰ δέοντα· μετὰ ταῦτα ἡ τύχη καλῶς ποιοῦσα πολλὰ πεποίηκε τὰ κοινὰ καὶ τετρακόσια ἀντὶ τῶν ἑκατὸν ταλάντων προσέρχεται, οὐδενὸς οὐδὲν ζημιουμένου τῶν τὰς οὐσίας ἐχόντων, ἀλλὰ καὶ προσλαμβανόντων· οἱ γὰρ εὔποροι πάντες ἔρχονται μεθέξοντες τούτου, καὶ καλῶς ποιοῦσι· τί οὖν παθόντες, τοῦτο ὀνειδίζομεν ἀλλήλοις, καὶ προφάσει χρώμεθα τοῦ μηδὲν τῶν δεόντων ποιεῖν, πλὴν εἰ μὴ τῇ παρὰ τῆς τύχης βοηθείᾳ γεγονυίᾳ τοῖς ἀπόροις φθο-

φθονοῦμεν· ἃς οὔτ' ἂν αἰτιασαίμην ἔγωγε, οὔτ' ἀξιῶ· οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις ὁρῶ τὸν ἐν ἡλικίᾳ πρὸς τοὺς πρεσβυτέρους οὕτω διακείμενον, οὐδ' οὕτως ἀγνώμονα, οὐδ' ἄτοπον τῶν ὄντων οὐδένα, ὥστε εἰ μὴ ποιήσουσιν ἅπαντες ὅσ' ἂν αὐτός, οὐ φάσκοντα ποιήσειν οὐδὲν οὐδ' αὐτόν· καὶ γὰρ ἂν τοῖς τῆς κακώσεως εἴη νόμοις οὗτος τότε ἔνοχος· δεῖ γάρ, οἶμαι, τοῖς γονεῦσι τὸν ὡρισμένον ἐξ ἀμφοτέρων ἔρανον, καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τοῦ νόμου δικαίως φέρειν, καὶ ἑκόντα ὑποτελεῖν· ὥσπερ τοίνυν ἑνὸς ἡμῶν ἑκάστου τίς ἐστι γονεύς, οὕτω συμπάσης τῆς πόλεως κοινοὺς δεῖ γονέας τοὺς σύμπαντας ἡγεῖσθαι· καὶ προσήκει τούτους οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφελέσθαι τι· ἀλλ' εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν σκοπεῖν ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται· τοὺς μὲν τοίνυν εὐπόρους ταύτῃ χρωμένους τῇ γνώμῃ, οὐ μόνον ἡγοῦμαι τὰ δίκαια ποιεῖν ἄν, ἀλλὰ καὶ τὰ λυσιτελῆ· τὸ γὰρ τῶν ἀναγκαίων τινὰς ἀποστερεῖν κοινῇ κακόνους ἐστὶ ποιεῖν πολλοὺς ἀνθρώπους τοῖς πράγμασι· τοῖς δ' ἐν ἐνδείᾳ, δι' ὃ δυσχεραίνουσι τὸ πρᾶγμα οἱ τὰς οὐσίας ἔχοντες, καὶ κατηγοροῦσι δικαίως, τοῦτ' ἀφελεῖν ἂν συμβουλεύσαιμι. Δίειμι δέ, ὥσπερ ἄρτι, τὸν αὐτὸν τρόπον καὶ ὑπὲρ τῶν εὐπόρων οὐ κατοκνήσας εἰπεῖν τἀληθῆ· ἐμοὶ γὰρ οὐδεὶς οὕτως ἄθλιος, οὐδ' ὠμὸς εἶναι δοκεῖ τὴν γνώμην, ἔκ γε ἀθηναίων γε οἶμαι, ἀλλ' οὐδὲ τῶν ἄλλων, ὥστε λυπεῖσθαι, ταῦτα λαμβάνοντας ὁρῶν τοὺς ἀπόρους, καὶ τῶν ἀναγκαίων ἐνδεεῖς ὄντας· ἀλλὰ ποῦ συντρίβεται τὸ πρᾶγμα, καὶ ποῦ δυσχεραίνεται, ὅταν τὸ ἀπὸ τῶν κοινῶν ἔθος ἐπὶ τὰ ἴδια μεταβιβάζοντας ὁρῶσί τινας, καὶ μέγαν μὲν ὄντα παρ' ὑμῖν εὐθέως τὸν λέγοντα, ἀθάνατον δ' ἕνεκ' ἀσφαλείας, ἑτέραν δὲ τὴν κρύβδην ψῆφον τῆς φανερᾶς θορύβου· ταῦτ' ἀπιστίαν, ταῦτ' ὀργὴν ἔχει· δεῖ γάρ, ὦ ἄνδρες ἀθηναῖοι, δικαίως ἀλλήλοις τῆς πολιτείας κοινωνεῖν· τοὺς μὲν εὐπόρους, εἰς μὲν τὸν βίον τὸν ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας, καὶ περὶ τούτου μὴ δεδοικότας· εἰς δὲ τοὺς κινδύνους κοινὰ ὑπὲρ τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας· τοὺς δὲ λοιπούς, τὰ μὲν κοινά, κοινὰ νομίζοντας, καὶ μετέχοντας τὸ μέρος· τὰ δὲ ἑκάστου, ἴδια τοῦ κεκτημένου· οὕτω καὶ μικρὰ πόλις μεγάλη γίγνεται, καὶ μεγάλη σώζεται· ὡς μὲν οὖν εἴποι τις ἂν ἃ παρ' ἑκατέρων εἶναι δεῖ, ταῦτ' ἴσως ἐστίν· ὡς δὲ καὶ γένοιτ' ἂν ἐννόμως, διορθώσασθαι δεῖ· Τῶν δὲ παρόντων πραγμάτων, καὶ τῆς ταραχῆς, πολλὰ πόρρωθέν ἐ-

σι τὰ αἴτια· ἃ εἰ βουλομένοις ὑμῖν ἀκούειν ἐστὶν, ἐθέλω λέγειν· ἐξέστητε, ὦ ἄνδρες ἀθηναῖοι, τῆς ὑποθέσεως, ἐφ' ἧς ὑμᾶς οἱ πρόγονοι κατέλιπον, καὶ τὸ μὲν προΐστασθαι τῶν ἑλλήνων, καὶ δύναμιν συνεστηκυῖαν ἔχοντας πᾶσι τοῖς ἀδικουμένοις βοηθεῖν, περίεργον ἐπείσθητε εἶναι, καὶ μάταιον ἀνάλωμα, ὑπὸ τῶν ταῦτα πολιτευομένων· τὸ δ' ἐν ἡσυχίᾳ διάγειν, καὶ μηδὲν τῶν δεόντων πράττειν, ἀλλὰ προϊεμένους καθ' ἓν ἕκαστον πάντα ἑτέρους ἐᾶσαι λαβεῖν, θαυμαστὴν εὐδαιμονίαν, καὶ πολλὴν ἀσφάλειαν ἔχειν οἴεσθε· ἐκ δὲ τούτων παρελθὼν ἐπὶ τὴν τάξιν, ἐφ' ἧς ὑμῖν τετάχθαι προσῆκεν, ἕτερος, οὗτος εὐδαίμων, καὶ μέγας, καὶ πολλῶν κύριος γέγονεν, εἰκότως· πρᾶγμα γὰρ ἔντιμον, καὶ μέγα, καὶ λαμπρὸν, καὶ περὶ οὗ πάντα τὸν χρόνον αἱ μέγισται τῶν πόλεων πρὸς αὑτὰς διεφέροντο, Λακεδαιμονίων μὲν ἠτυχηκότων, Θηβαίων δὲ ἀσχόλων διὰ τὸν φωκικὸν πόλεμον γενομένων, ὑμῶν δὲ ἀμελούντων ἔρημον ἀνείλετο· τοιγάρτοι, τὸ μὲν φοβεῖσθαι, τοῖς ἄλλοις· τὸ δὲ συμμάχους πολλοὺς, καὶ δύναμιν μεγάλην ἔχειν, ἐκείνῳ περιγέγονε, καὶ τοσαῦτα πράγματα, καὶ τοιαῦτα ἤδη περιέστηκε τοὺς ἕλληνας ἅπαντας, ὥστε μηδ' ὅ, τι χρὴ συμβουλεύειν εὔπορον εἶναι. Ὄντων δ', ὦ ἄνδρες ἀθηναῖοι, τῶν παρόντων πραγμάτων πᾶσιν ὡς ἐγὼ κρίνω φοβερῶν, οὐδένες ἐν μείζονι κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν, οὐ μόνον τῷ μάλιστα ὑμῖν ἐπιβουλεύειν φίλιππον, ἀλλὰ καὶ τῷ πάντων ἀργότατα αὐτοὶ διακεῖσθαι· εἰ τοίνυν τὸ τῶν ὠνίων πλῆθος ὁρῶντες, καὶ τὴν εὐετηρίαν τὴν κατὰ τὴν ἀγορὰν, τούτοις κεκήλησθε, ὡς ἐν οὐδενὶ δεινῷ τῆς πόλεως οὔσης· οὔτε προσηκόντως, οὔτ' ὀρθῶς τὸ πρᾶγμα κρίνετε· ἀγορὰν μὲν γὰρ ἄν τις καὶ πανήγυριν ἐκ τούτων ἢ φαύλως, ἢ καλῶς παρεσκευάσθαι κρίνοι· πόλιν δ' ἣν ὑπείληφεν ὅστις ἂν τῶν ἑλλήνων ἄρχειν ἀεὶ βούληται, μόνην ἂν ἐναντιωθῆναι, καὶ τῆς πάντων ἐλευθερίας προστῆναι, οὐ μὰ Δί' ἐκ τῶν ὠνίων, εἰ καλῶς ἔχει, δοκιμάζειν δεῖ· ἀλλ' εἰ συμμάχων εὐνοίᾳ πιστεύει, καὶ τοῖς ὅπλοις ἰσχύει· ταῦθ' ὑπὲρ τῆς πόλεως δεῖ σκοπεῖν· ἃ φαύλως ὑμῖν, καὶ οὐ καλῶς ἅπαντ' ἔχει· γνοίητε δ' ἂν εἰ σκέψαισθε ἐκείνως, πότε μάλιστα ἐν ταραχῇ τὰ τῶν ἑλλήνων γέγονε πράγματα· οὐδένα γὰρ χρόνον ἄλλον, ἢ τὸν νυνὶ παρόντα, οὐδ' ἂν εἷς εἴποι· τὸν μὲν γὰρ ἄλλον ἅπαντα, εἰς δύο ταῦτα διῄρητο τὰ τῶν ἑλλήνων, Λακεδαιμονίους, καὶ ἡμᾶς· τῶν δ' ἄλλων ἑλλήνων, οἱ μὲν, ἡμῖν, οἱ δὲ, ἐκείνοις ὑπή-

κεον· βασιλεὺς δὲ, καθ' αὑτὸν μὲν ἅπασιν ὁμοίως ἄπιστος ἦν· τοὺς δὲ κρατουμένους τῷ πολέμῳ προσλαμβάνων, ἄχρις οὗ τοῖς ἑτέροις ἐξ ἴσου ποιῆσαι, διεπιστεύετο· ἔπειτ' οὐχ ἧττον αὐτὸν ἐμίσουν οὓς σώσειε, τῶν ὑπαρχόντων ἐχθρῶν ἐξ ἀρχῆς· νυνὶ δὲ, πρῶτον μὲν ὁ βασιλεὺς ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει, καὶ πάντων ἥκιστα ἡμῖν, ἄν τι μὴ νῦν ἐπανορθωσώμεθα· ἔπειτα προστασίαι πολλαὶ καὶ πανταχόθεν γίγνονται· καὶ τοῦ πρωτεύειν μὲν ἀντιποιοῦνται ἅπαντες, ἀφεστᾶσι δ' ἔνιοι, καὶ φθονοῦσι, καὶ ἀπιστοῦσιν ἑαυτοῖς, οὐχ ὡς ἔδει· καὶ γεγόνασι καθ' αὑτοὺς ἕκαστοι Ἀργεῖοι, Θηβαῖοι, Κορίνθιοι, Λακεδαιμόνιοι, Ἀρκάδες, ἡμεῖς· ἀλλ' ὅμως εἰς τοσαῦτα μέρη, καὶ τοσαύτας δυναστείας διῃρημένων τῶν ἑλληνικῶν πραγμάτων, εἰ δεῖ τἀληθῆ μετὰ παρρησίας εἰπεῖν, τὰ παρ' οὐδενὶ τούτων ἀρχεῖα, καὶ βουλευτήρια, ἐρημότερα ἄν τις ἴδοι τῶν ἑλληνικῶν πραγμάτων, ἢ τὰ παρ' ὑμῖν, εἰκότως· οὔτε γὰρ φιλῶν, οὔτε πιστεύων, οὔτε φοβούμενος οὐδεὶς ὑμῖν διαλέγεται· αἴτιον δὲ τούτων οὐχ ἕν, ὦ ἄνδρες Ἀθηναῖοι· ῥᾴδιον γὰρ ἂν ἦν ὑμῖν μεταθεῖναι· ἀλλὰ πολλὰ καὶ παντοδαπὰ ἐκ παντὸς ἡμαρτημένα τοῦ χρόνου· ὧν τὸ καθ' ἕκαστον ἐάσας, εἰς ὃ πάντα γε συντείνει, λέξω, δεηθεὶς ὑμῶν ἂν λέγω τἀληθῆ μετὰ παρρησίας, μηδὲν ἀχθεσθῆναί μοι. Ἐκπέπραται τὰ συμφέροντα ἐφ' ἑκάστῳ τῶν καιρῶν· καὶ μετειλήφατε ὑμεῖς μὲν τῆς σχολῆς, καὶ τῆς ἡσυχίας, ὑφ' ὧν κεκηλημένοι τοῖς ἀδικοῦσιν οὐ πικρῶς ἔχετε· ἕτεροι δὲ τὰς τιμὰς ἔχουσι· καὶ τὰ μὲν περὶ τἄλλα, οὐκ ἄξιον ἐξετάσαι νῦν· ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς ἀναστάς τις λέγει, ὡς οὐ δεῖ ληρεῖν, οὐδὲ γράφειν πόλεμον, παραθεὶς εὐθέως ἐξῆς, τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθόν, καὶ τὸ τρέφειν δύναμιν μεγάλην ὡς χαλεπόν, καὶ διαρπάζειν τινὲς τὰ χρήματα βούλονται· καὶ ἄλλους λόγους, ὡς οἴονται, ἀληθεστάτους λέγουσιν· ἀλλὰ δεῖ δήπου, τὴν μὲν εἰρήνην ἄγειν, οὐχ ὑμᾶς πείθειν, οἵ γε πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γ' ἀφ' ὑμῶν ὑπάρχει· νομίζειν δὲ δεῖ χαλεπὰ, οὐχ ὅσα ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ' ἃ πεισόμεθα, ἂν ταῦτα μὴ ἐθέλωμεν ποιεῖν· καὶ τὸ διαρπασθήσεσθαι τὰ χρήματα, τῷ φυλακὴν εἰπεῖν δι' ἧς σωθήσεται, κωλύειν· οὐχὶ τοῦ συμφέροντος ἀφεστάναι· καίτοι ἔγωγε ἀγανακτῶ καὶ αὐτὸ τοῦτο, εἰ τὰ μὲν χρήματα λυπεῖ τινὰς ὑμῶν εἰ

διαρπασθήσεται, ἂν καὶ φυλάττειν, καὶ κολάζειν τοὺς ἁρπάζοντας ἐφ᾽ ὑμῖν ἐστι· τὴν δὲ Ἑλλάδα ἅπασαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων, οὐ λυπεῖ, καὶ ταῦτα ἐφ᾽ ὑμᾶς ἁρπάζων· τί ποτ᾽ οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μὲν οὕτω φανερῶς ἀδικοῦντα, καὶ πόλεις καταλαμβάνοντα, οὐδεὶς πώποτε τούτων εἶπεν ὡς ἀδικεῖ, καὶ πόλεμον ποιεῖ, τοὺς δὲ μὴ ἐπιτρέπειν, μηδὲ προΐεσθαι ταῦτα συμβουλεύοντας, τούτους πόλεμον ποιεῖν φασιν; ὅτι τὴν αἰτίαν τῶν ἐκ τοῦ πολέμου συμβησομένων δυσχερῶν· ἀνάγκη γάρ, ἀνάγκη πολλὰ λυπηρὰ ἐκ τοῦ πολέμου γίγνεσθαι, τοῖς ὑπὲρ ὑμῶν τὰ βέλτιστα λέγειν * ἐθιζομένοις ἅπαντες ἀναθεῖναι βούλονται· ἡγοῦνται γάρ, ἐὰν μὲν ὑμεῖς ὁμοθυμαδὸν ἐκ μιᾶς γνώμης Φίλιππον ἀμύνησθε, κἀκείνου κρατήσειν ὑμᾶς, καὶ αὐτοῖς οὐκ ἔσεσθαι μισθαρνεῖν· ἂν δ᾽ ἀπὸ τῶν πρώτων θορύβων αἰτιασάμενοί τινας πρὸς τὸ κρίνειν τράπησθε, αὐτοὶ μὲν τούτων κατηγοροῦντες ἀμφότερα ἕξειν, καὶ παρ᾽ ὑμῖν εὐδοκιμήσειν, καὶ παρ᾽ ἐκείνου χρήματα λήψεσθαι· ὑμᾶς δ᾽ ὑπὲρ ὧν δεῖ παρὰ τούτων δίκην λαβεῖν, παρὰ τῶν ὑπὲρ ὑμῶν εἰρηκότων λήψεσθαι· αἱ μὲν ἐλπίδες αἱ τούτων, αὗται· καὶ τὸ κατασκεύασμα τὸ τῆς αἰτίας, ὡς ἄρα βούλονταί τινες πόλεμον ποιῆσαι· ἐγὼ δ᾽ εὖ οἶδα ἀκριβῶς, ὅτι οὐ γράψαντος Ἀθηναίων οὐδενὸς πόλεμον ποιεῖται, καὶ ἄλλα πολλὰ Φίλιππος ἔχει τῶν τῆς πόλεως· καὶ νῦν εἰς Καρδίαν πέπομφε τὴν βοήθειαν· εἰ μέντοι βουλόμεθ᾽ ἡμεῖς μὴ προσποιεῖσθαι πολεμεῖν ἡμῖν ἐκεῖνον, ἀνοητότατος πάντων ἂν εἴη, εἰ τοῦτ᾽ ἐξελέγχοι· ὅταν γὰρ οἱ ἀδικούμενοι ἀρνῶνται, τί τῷ ἀδικοῦντι προσήκει; ἀλλ᾽ ἐπειδὰν ἐφ᾽ ἡμᾶς αὐτοὺς ἴῃ, τί φήσομεν τότε· ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν, ὥσπερ οὐδὲ Ὠρείταις τῶν στρατιωτῶν ὄντων ἐν τῇ χώρᾳ· οὐδὲ Φεραίοις πρότερον, πρὶν ἢ πρὸς τὰ τείχη προσβάλλειν· οὐδὲ Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἂν ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων· ἢ καὶ τότε τοὺς ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φήσομεν, οὐκοῦν ὑπόλοιπον δουλεύειν· οὐ γὰρ ἄλλο γε οὐδὲν ἔστι. Καὶ μὴν, οὐδὲ ὑπὲρ τῶν ἴσων ὑμῖν, καὶ τισὶ τῶν ἄλλων ἀνθρώπων ἐσθ᾽ ὁ κίνδυνος· οὐ γὰρ ὑφ᾽ αὐτῷ ποιήσασθαι τὴν πόλιν βούλεται Φίλιππος ἡμῶν, οὔ· ἀλλ᾽ ὅλως ἀνελεῖν· οἶδε γὰρ ἀκριβῶς, ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτε ἐθελήσετε, οὔτ᾽ ἂν ἐθέλητε * ἐπίστασθε, ἄρχειν γὰρ εἰώθατε· πράγματα δὲ παρασχεῖν αὐτῷ, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε.

ἀλλὰ

ἀλλὰ ταῦτα ὑμῶν οὐχὶ φείσεται, εἴπερ ἐγκρατὴς γενήσεται· ὡς δ᾽ ὑπὲρ τῶν ἐσχάτων ἐσομένου τοῦ ἀγῶνος ὑμῖν, οὕτω προσήκει γινώσκειν, καὶ τοὺς πεπρακότας αὐτοὺς ἐκείνῳ φανερῶς μισεῖν, καὶ ἀποτυμπανίσαι· οὐ γάρ ἐστιν οὐκ ἔστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητε ἐχθρούς· ἀλλ᾽ ἀνάγκη τούτοις, ὥσπερ προβόλοις προσπταίοντας ὑστερίζειν ἐκείνων· ἐπεὶ, πόθεν οἴεσθε νῦν αὐτὸν ὑβρίζειν εἰς ὑμᾶς; οὐδὲν γὰρ ἔμοιγε ἄλλο δοκεῖ ποιεῖν, ἢ τοῦτο· καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν, ὑμῖν δὲ ἀπειλεῖν ἤδη οἷον Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετο εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ᾽ ἂν εἰπεῖν δύναιτο οὐδεὶς, ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους πρότερον δοὺς Ποτίδαιαν ἐξηπάτησε, καὶ πολλὰ ἕτερα· Θηβαίους νυνὶ ὑπάγεται, τὴν Βιωτίαν αὐτοῖς παραδοὺς, καὶ ἀπαλλάξας πολέμου πολλοῦ καὶ χαλεποῦ· ὥστε καρπωσάμενοί τινα ἕκαστοι τούτων πλεονεξίαν, οἱ μὲν ἤδη πεπόνθασιν, ἃ δὴ πάντες ἴσασιν· οἱ δ᾽ ὅ, τι ἄν ποτε συμβῇ, πείσονται· ὑμεῖς δὲ ὧν μὲν ἀπεστέρησθε, σιωπῶ· ἀλλ᾽ ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι, πόσα ἐξηπάτησθε; πόσων ἀπεστέρησθε; οὐχὶ Φωκέας, οὐ Πύλας; οὐχὶ τὰ ἐπὶ Θρᾴκης; Δορίσκον, Σέῤῥιον; τὸν Κερσοβλέπτην αὐτόν; οὐ νῦν Καρδίαν ἔχει καὶ ὁμολογεῖ; τί ποτ᾽ οὖν ἐκείνως τοῖς ἄλλοις, καὶ ὑμῖν, οὐ τὸν αὐτὸν τρόπον προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ ὑμετέρᾳ ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται· καὶ λαβόντα χρήματα αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ᾽ ὑμῖν, κἂν ἀφῃρημένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. Οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου, μὴ συμπεπονθότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι· οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου, μὴ συμπεπονθότος τοῦ πλήθους τῶν Θετταλῶν, τῷ τοὺς τυράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς, καὶ τὴν Πυλαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλὲς, πρὶν ἢ τὴν Βοιωτίαν ἀπέδωκε, καὶ τοὺς Φωκέας ἀνεῖλεν· ἀλλ᾽ Ἀθήνησιν οὐ μόνον Ἀμφίπολιν, καὶ τὴν Καρδιανῶν χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κατασκευάζοντος ὑμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν, καὶ νῦν ἐπὶ Βυζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ Φιλίππου· καὶ γάρ τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι γεγόνασι, καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι καὶ γνώριμοι, ὑμεῖς δὲ, τοὐναντίον· ἐκ μὲν ἐνδόξων, ἄδοξοι, ἐκ δ᾽ εὐπόρων

ἀπο-

ἄποροι· πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι, συμμάχους, πίστιν, εὔνοιαν, ὧν πάντων ἐστὲ ὑμεῖς ἄποροι· ἐκ δὲ τοῦ τούτων ὀλιγώρως ὑμᾶς ἔχειν, καὶ ἐᾶν τὸν τρόπον τὰ πράγματα φέρεσθαι, ὁ μὲν, εὐδαίμων καὶ μέγας, καὶ φοβερὸς πᾶσι τοῖς Ἕλλησι καὶ βαρβάροις ἐστίν· ὑμεῖς δ' ἔρημοι, καὶ ταπεινοί, τῇ μὲν κατὰ τὴν ἀγορὰν εὐετηρίᾳ λαμπροί· τῇ δ' ὧν προσῆκε, παρασκευῇ καταγέλαστοι· οὐ τὸν αὐτὸν δὲ τρόπον περί τε ὑμῶν, καὶ περὶ αὐτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ· αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν ἄγειν, οὐδενὸς αὐτοὺς ἀδικοῦντος· Καί τοι λοιδορίας χωρὶς εἴ τις ἔροιτο, εἰπέ μοι, τί δὴ γινώσκων ἀκριβῶς Ἀριστόδημε· οὐδεὶς γὰρ τὰ τοιαῦτα ἀγνοεῖ, τὸν μὲν τῶν ἰδιωτῶν βίον ἀσφαλῆ, καὶ ἀπράγμονα, καὶ ἀκίνδυνον ὄντα· τὸν δὲ τῶν πολιτευομένων, φιλαίτιον, καὶ σφαλερὸν, καὶ καθ' ἑκάστην ἡμέραν ἀγώνων καὶ κακῶν μεστὸν, οὐ τὸν ἡσύχιον καὶ ἀπράγμονα, ἀλλὰ τὸν ἐν τοῖς κινδύνοις αἱρῇ; τί ἂν εἴποις; εἰ γὰρ, ὃ βέλτιστον εἰπεῖν ἂν ἔχοις, τοῦτό σοι συγχωρήσαιμεν ἀληθὲς λέγειν, ὡς ὑπὲρ φιλοτιμίας καὶ δόξης πάντα ταῦτα ποιεῖς· θαυμάζω τί δή ποτε σαυτῷ μὲν ὑπὲρ τούτων ἅπαντα ποιητέον εἶναι νομίζεις, καὶ πονητέον, καὶ κινδυνευτέον· τῇ πόλει δὲ προέσθαι ταῦτα διὰ ῥᾳθυμίαν συμβουλεύεις· οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς σὲ μὲν ἐν τῇ πόλει δεῖ τινα φαίνεσθαι, τὴν πόλιν δ' ἐν τοῖς Ἕλλησι μηδενὸς ἀξίαν εἶναι· καὶ μὴν, οὐδ' ἐκεῖνό γε ὁρῶ, ὡς τῇ πόλει μὲν ἀσφαλὲς τὸ τὰ αὐτῆς πράττειν, σοὶ δὲ ἐπικίνδυνον, εἰ μηδὲν τῶν ἄλλων πλέον περιεργάσῃ· ἀλλὰ τοὐναντίον· σοὶ μὲν ἐξ ὧν ἐργάζῃ καὶ περιεργάζῃ, τοὺς ἐσχάτους ὄντας κινδύνους, τῇ πόλει δὲ ἐκ τῆς ἡσυχίας· ἀλλὰ νὴ Δία, παππῷα, καὶ πατρῷα δόξα σοι ὑπάρχει, ἣν αἰσχρόν ἐστιν ἐν σοὶ καταλῦσαι· τῇ πόλει δ' ὑπῆρξεν ἀνώνυμα, καὶ φαῦλα τὰ τῶν προγόνων; ἀλλ' οὐδὲ τοῦθ' οὕτως ἔχει· σοὶ μὲν γὰρ ἦν κλέπτης ὁ πατὴρ, εἴπερ ἦν ὅμοιός σοι· τῇ πόλει δὲ ἡμῶν, ὡς πάντες ἴσασιν οἱ Ἕλληνες, δὶς ἐκ τῶν μεγίστων κινδύνων ὑπὸ τῶν προγόνων ὑμῶν σεσωσμένοι· ἀλλὰ γὰρ οὐκ ἴσως, οὐδὲ πολιτικῶς ἔνιοι τὰ καθ' ἑαυτοὺς, καὶ τὰ κατὰ τὴν πόλιν πολιτεύονται· πῶς γὰρ ἐστιν ἴσον, τούτων μέν τινας ἐκ τοῦ

δεσμωτήρια προϊόντας ἑαυτοὺς ἀγνοεῖν· τὴν πόλιν δ᾽; ἣ προειστήκει τῶν ἄλλων Ἑλλήνων τέως, καὶ τὸ πρωτεῖον εἶχε, νῦν ἐν ἀδοξίᾳ πάσῃ, καὶ ταπεινότητι καθεστάναι; Πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν εἰπεῖν, παύσομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματα οὔτε νῦν, οὔτε ἄλλοτε πώποτε φαύλως ἔχειν· ἀλλ᾽ ὅταν πάντ᾽ ἀκούσαντες ὑμεῖς τὰ δέοντα, καὶ ὁμογνώμονες, ὡς ὀρθῶς λέγεται, γενόμενοι, τῶν λυμαίνεσθαι, καὶ διαστρέφειν ταῦτα βουλομένων, ἐξ ἴσου καθῆσθε ἀκροώμενοι, οὐκ ἀγνοοῦντες αὐτούς· ἴστε γὰρ εὐθὺς ἰδόντες ἀκριβῶς, τίς μισθοῦ λέγει, καὶ τίς ὑπὲρ Φιλίππου πολιτεύεται, καὶ τίς ὡς ἀληθῶς ὑπὲρ τῶν βελτίστων· ἀλλ᾽ ἵν᾽ αἰτιασάμενοι τούτους, καὶ τὸ πρᾶγμα εἰς γέλωτα καὶ λοιδορίαν ἐμβαλόντες μηδὲν αὐτοὶ τῶν δεόντων ποιῆτε· Ταῦτ᾽ ἐστὶ τἀληθῆ μετὰ πάσης παρρησίας ἁπλῶς δι᾽ εὔνοιαν τὰ βέλτιστα εἰρημένα, οὐ κολακείας, καὶ βλάβης, καὶ ἀπάτης λόγος μεστός, ἀργύριον μὲν τῷ λέγοντι ποιήσων, τὰ δὲ πράγματα τῆς πόλεως τοῖς ἐχθροῖς ἐγχειριῶν· Ἢ οὖν παυστέον τούτων τῶν ἐθῶν, ἢ μηδένα ἄλλον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν, ἢ ὑμᾶς αὐτούς.

ΑΙΣΧΙ.

# ΑἸΣΚΙ'ΝΟΥ ΡΗ'ΤΟΡΟΣ ΚΑΤΑ' ΚΤΗΣΙΦΩ'ΝΤΟΣ.

ΤΗ'Ν μὲν παρασκευὴν ὁρᾶτε, ὦ Ἀθηναῖοι, καὶ τὴν παράταξιν, ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί τινες, ὑπὲρ τοῦ τὰ μέτρια, καὶ τὰ συνήθη μὴ γίγνεσθαι ἐν τῇ πόλει· ἐγὼ δὲ πεπιστευκὼς ἥκω πρῶτον μὲν τοῖς θεοῖς, δεύτερον δὲ τοῖς νόμοις, καὶ ὑμῖν, ἡγούμενος οὐδεμίαν παρασκευὴν ἰσχύειν παρ' ὑμῖν μεῖζον τῶν νόμων, καὶ τῶν δικαίων· Ἐβουλόμην μὲν ἂν, ὦ Ἀθηναῖοι, καὶ τὴν βουλὴν τοὺς πεντακοσίους, καὶ τὰς ἐκκλησίας ὑπὸ τῶν ἐφεστηκότων ὀρθῶς διοικεῖσθαι, καὶ τοὺς νόμους, οὓς ἐνομοθέτησεν ὁ Σόλων περὶ τῆς τῶν ῥητόρων εὐκοσμίας ἰσχύειν· ἵνα ἐξῆν πρῶτον μὲν τῷ πρεσβυτάτῳ τῶν πολιτῶν ὥσπερ οἱ νόμοι κελεύουσι σωφρόνως ἐπὶ τὸ βῆμα παρελθόντι, ἄνευ θορύβου, καὶ ταραχῆς ἐξ ἐμπειρίας τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν· δεύτερον δ' ἤδη, καὶ τῶν ἄλλων πολιτῶν τὸν βουλόμενον καθ' ἡλικίαν χωρὶς, καὶ ἐν μέρει περὶ ἑκάστου γνώμην ἀποφαίνεσθαι· οὕτω γὰρ ἄν μοι δοκεῖ, ἥ τε πόλις ἄριστα διοικεῖσθαι, αἵ τε κρίσεις ἐλάχισται γίνεσθαι· ἐπειδὴ δὲ πάντα τὰ πρότερον ὡμολογημένα καλῶς ἔχειν, νυνὶ καταλέλυται, καὶ γράφουσί τινες ῥᾳδίως παρανόμους γνώμας, καὶ ταῦτα ἕτεροί τινες τὰ ψηφίσματα ἐπιψηφίζουσιν, οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν, ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι, ἂν δέ τις τῶν ἄλλων βουλευτῶν ὄντως λάχῃ κληρούμενος προεδρεύειν, καὶ τὰς ὑμετέρας χειροτονίας ὀρθῶς ἀναγορεύῃ, τοῦτον οἱ τὴν πολιτείαν οὐκ ἔτι κοινὴν, ἀλλ' ἰδίαν αὑτῶν ἡγούμενοι εἶναι, ἀπειλοῦσιν εἰσαγγέλλειν, καταδουλούμενοι τοὺς ἰδιώτας, καὶ δυναστείας ἑαυτοῖς περιποιοῦντες, τὰς μὲν κρίσεις, τὰς ἐκ τῶν νόμων καταλελύκασι, τὰς δὲ ἐκ τῶν ψηφισμάτων μετ' ὀργῆς κρίνουσιν, σεσίγηται τὸ κάλλιστον, καὶ σωφρονέστατον κήρυγμα τῶν ἐν τῇ πόλει· τίς ἀγορεύειν βούλεται τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων; καὶ πάλιν ἐν μέρει τῶν ἄλλων Ἀθηναίων, τὸ δὲ τῶν ῥητόρων ἀκοσμίας οὐκ ἔτι κρατεῖν δύνανται,

οὐδ'

οὔθ' οἱ νόμοι, οὔθ' οἱ πρυτάνεις, οὔθ' οἱ πρόεδροι, οὔθ' ἡ προεδρεύουσα φυλή· τὸ δέκατον μέρος τῆς πόλεως· Τούτων δ' ἐχόντων οὕτως, καὶ τῶν καιρῶν ὄντων τῇ πόλει τοιούτων ὁποίους αὐτοὺς ὑμεῖς ὑπολαμβάνετε εἶναι· ἓν ὑπολείπεται μέρος τῆς πολιτείας, εἴ τι κἀγὼ τυγχάνω γινώσκων αἱ τῶν παρανόμων γραφαί· εἰ δὲ καὶ ταύτας καταλύσετε, ἢ τοῖς καταλύουσιν ἐπιτρέψετε, προλέγω ὑμῖν, ὅτι λήσετε κατὰ μικρὸν τῆς πολιτείας τισὶ παραχωρήσαντες. Εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τρεῖς εἰσὶ πολιτεῖαι παρὰ πᾶσιν ἀνθρώποις, τυραννὶς, καὶ ὀλιγαρχία, καὶ δημοκρατία· διοικοῦνται δ' αἱ μὲν τυραννίδες, καὶ ὀλιγαρχίαι τοῖς τρόποις τῶν ἐφεστηκότων, αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις· μηδεὶς οὖν ὑμῶν τοῦτ' ἀγνοείτω, ἀλλὰ σαφῶς ἕκαστος ἐπιστάσθω, ὅτι ὅταν εἰσίῃ εἰς δικαστήριον γραφὴν παρανόμων δικάσων, ἐν ταύτῃ τῇ ἡμέρᾳ μέλλει τὴν ψῆφον φέρειν περὶ τῆς ἑαυτοῦ παρρησίας· διόπερ καὶ ὁ νομοθέτης τοῦτο πρῶτον ἔταξεν ἐν τῷ τῶν δικαστῶν ὅρκῳ· ψηφιοῦμαι κατὰ τοὺς νόμους· ἐκεῖνό γε εὖ εἰδὼς, ὅτι ὅταν διατηρηθῶσιν οἱ νόμοι τῇ πόλει, σώζεται, καὶ ἡ δημοκρατία· ἃ χρὴ διαμνημονεύοντας ὑμᾶς, μισεῖν τοὺς τὰ παράνομα γράφοντας· καὶ μηδὲν μικρὸν ἡγεῖσθαι εἶναι τῶν τοιούτων ἀδικημάτων, ἀλλ' ἕκαστον ὑπερμέγεθες, καὶ τοῦθ' ὑμῶν τὸ δίκαιον μηδένα ἀνθρώπων ἐξαιρεῖσθαι· μήτε τὰς τῶν στρατηγῶν συνηγορίας, οἳ ἐπὶ πολὺ ἤδη χρόνον συνεργοῦντές τισι τῶν ῥητόρων, λυμαίνονται τὴν πολιτείαν, μήτε τὰς τῶν ξένων δεήσεις, οὓς ἀναβιβαζόμενοί τινες ἐκφεύγουσιν ἐκ τῶν δικαστηρίων παράνομον πολιτείαν πολιτευόμενοι· ἀλλ' ὥσπερ ἂν ὑμῶν ἕκαστος αἰσχυνθείη τὴν τάξιν λιπεῖν, ἣν ἂν ταχθῇ ἐν τῷ πολέμῳ, οὕτω καὶ νῦν αἰσχύνθητε ἐκλιπεῖν τὴν τάξιν, ἣν τέταχθε ὑπὸ τῶν νόμων φύλακες τῆς δημοκρατίας τήνδε τὴν ἡμέραν·

Κἀκεῖνο δὲ χρὴ διαμνημονεύειν, ὅτι νῦν ἅπαντες οἱ πολῖται παρακαταθέμενοι τὴν πόλιν ὑμῖν καὶ τὴν πολιτείαν διαπιστεύσαντες, οἱ μὲν πάρεισι, καὶ ἐπακούουσι τῆσδε τῆς κρίσεως, οἱ δὲ ἄπεισιν ἐπὶ τῶν ἰδίων ἔργων· οὓς αἰσχυνόμενοι, καὶ τῶν ὅρκων, οὓς ὠμόσατε μεμνημένοι, καὶ τῶν νόμων, ἐὰν ἐλέγξωμεν Κτησιφῶντα, καὶ παράνομα γράψαντα, καὶ ψευδῆ καὶ ἀσύμφορα τῇ πόλει, λύσατε ὦ Ἀθηναῖοι, τὰς παρανόμους γνώμας, βεβαιοῦτε τῇ πόλει τὴν δημοκρατίαν, κολάζετε τοὺς ὑπεναντίως τοῖς νόμοις

καὶ

καὶ τῇ πόλει, καὶ τῷ συμφέροντι τῷ ὑμετέρῳ πολιτευομένους· καὶ ταύτην ἔχοντες τὴν διάνοιαν, ἀκούετε τῶν μελλόντων ῥηθήσεσθαι λόγων, ὅτι οἶδ' ὅτι δίκαια, καὶ εὔορκα, καὶ συμφέροντα ὑμῖν αὐτοῖς ψηφιεῖσθε, καὶ πάσῃ τῇ πόλει. Περὶ μὲν οὖν τῆς ὅλης κατηγορίας μετρίως μοι ἐλπίζω προειρῆσθαι, περὶ δὲ αὐτῶν τῶν νόμων, οἳ κεῖνται περὶ τῶν ὑπευθύνων, παρ' οὓς τὸ ψήφισμα τοῦτο τυγχάνει γεγραφὼς Κτησιφῶν, διὰ βραχέων εἰπεῖν βούλομαι. Ἐν γὰρ τοῖς ἔμπροσθεν χρόνοις ἄρχοντές τινες τὰς μεγίστας ἀρχάς, καὶ τὰς προσόδους διοικοῦντες καὶ δωροδοκοῦντες ἐπὶ ἑκάστῳ τούτων, προσλαμβάνοντες τούς τε ἐκ τοῦ βουλευτηρίου ῥήτορας, καὶ τοὺς ἐκ τοῦ δήμου, πόρρωθεν προκατελάμβανον τὰς εὐθύνας ἐπαίνοις, καὶ κηρύγμασιν, ὥστε ἐν ταῖς εὐθύναις τῶν ἀρχόντων εἰς τὴν μεγίστην μὲν ἀπορίαν ἀφικνεῖσθαι τοὺς κατηγόρους, πολὺ δὲ ἔτι μᾶλλον τοὺς δικαστάς· πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων ἐπ' αὐτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες, ἐξελεγχόμενοι διεφύγγανον ἐκ τῶν δικαστηρίων, εἰκότως· ᾐσχύνοντο γὰρ οἶμαι οἱ δικασταί, εἰ φανήσεται ὁ αὐτὸς ἀνὴρ ἐν τῇ αὐτῇ πόλει, τυχὸν δὲ καὶ ἐν τῷ αὐτῷ ἐνιαυτῷ, πρῴην μέν ποτε ἀναγορευόμενος ἐν τοῖς ἀγῶσιν, ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα, καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου χρυσῷ στεφάνῳ· ὁ δὲ αὐτὸς ἀνὴρ μικρὸν ἐπισχών, ἔξεισιν ἐκ τοῦ δικαστηρίου κλοπῆς ἕνεκα τὰς εὐθύνας ὠφληκώς, ὥστε ἠναγκάζοντο τὴν ψῆφον φέρειν οἱ δικασταί, οὐ περὶ τοῦ παρόντος ἀδικήματος, ἀλλ' ὑπὲρ τῆς αἰσχύνης, τοῦ δήμου· Κατιδὼν δέ τις ταῦτα νομοθέτης, τίθησι νόμον, καὶ μάλα καλῶς ἔχοντα, τὸν διαρρήδην ἀπαγορεύοντα τοὺς ὑπευθύνους μὴ στεφανοῦν, καὶ ταῦτα οὕτως εὖ προκατειληφότος τοῦ νομοθέτου, εὕρηνται κρείττονες λόγοι τῶν νόμων, οὓς εἰ μή τις ὑμῖν ἐρεῖ, λήσετε ἐξαπατηθέντες· τούτων γάρ τινες τῶν τοὺς ὑπευθύνους στεφανούντων παρὰ τοὺς νόμους, οἱ μὲν φύσει μέτριοί εἰσι, εἰ δή τις ἐστὶ μέτριος τῶν τὰ παράνομα γραφόντων, ἀλλ' οὖν προβάλλονταί γέ τι πρὸ τῆς αἰσχύνης· προσεγγράφουσι γάρ τι πρὸς τὰ ψηφίσματα, στεφανοῦν τὸν ὑπεύθυνον, ἐπειδὰν λόγον, καὶ εὐθύνας τῆς ἀρχῆς δῷ· καὶ ἡ μὲν πόλις τὸ ἴσον ἀδίκημα ἀδικεῖται· προκαταλαμβάνονται γὰρ ἐπαίνοις, καὶ στεφάνοις αἱ εὐθύναι· ὁ δὲ τὸ ψήφισμα γράφων ἐνδείκνυται τοῖς ἀκούουσιν, ὅτι γέγραφε μὲν παράνομα, αἰσχύνεται δὲ ἐφ' οἷς ἡμάρτηκε.

τηκε. Κτησιφῶν δὲ, ὦ ἀθηναῖοι, ὑπερπηδήσας τὸν νόμον τὸν περὶ τῶν ὑπευθύνων κείμενον, καὶ τὴν πρόφασιν, ἣν ἐγὼ ἀρτίως προεῖπον ὑμῖν ἀνελὼν, πρὶν λόγον, πρὶν εὐθύνας δοῦναι, γέγραφε μεταξὺ Δημοσθένην ἄρχοντα στεφανοῦν· λέξουσι δὲ, ὦ ἀθηναῖοι, καὶ ἕτερόν τινα λόγον ὑπεναντίον τῷ ἀρτίως εἰρημένῳ· ὡς ἄρα ὅσα τις αἱρετὸς ὢν πράττει κατὰ ψήφισμα, οὐκ ἔστι ταῦτα ἀρχὴ, ἀλλ' ἐπιμέλειά τις, καὶ διακονία· ἀρχὰς δὲ φήσουσιν ἐκείνας εἶναι, ἃς οἱ θεσμοθέται ἀποκληροῦσιν ἐν τῷ Θησείῳ, κἀκείνας, ἃς ὁ δῆμος εἴωθε χειροτονεῖν ἐν ἀρχαιρεσίαις στρατηγοὺς, καὶ ἱππάρχους, καὶ τὰς μετὰ τούτων ἀρχάς· τὰ δ' ἄλλα πάντα πραγματείας προστεταγμένας κατὰ ψήφισμα· ἐγὼ δὲ πρὸς τοὺς λόγους τούτων, νόμον ὑμέτερον παρέξομαι, ὃν ὑμεῖς ἐνομοθετήσατε λύσειν ἡγούμενοι τὰς τοιαύτας προφάσεις, ἐν ᾧ διαρρήδην γέγραπται, τὰς χειροτονητὰς, φησὶν, ἀρχὰς ἁπάσας εἰς ἓν περιλαβὼν ὀνόματι ὁ νομοθέτης, καὶ προσειπὼν ἀρχὰς ἁπάσας εἶναι, ἃς ὁ δῆμος χειροτονεῖ, καὶ τοὺς ἐπιστάτας, φησὶ, τῶν δημοσίων ἔργων· (Ἔστι δὲ ὁ Δημοσθένης τειχοποιὸς ἐπιστάτης τοῦ μεγίστου τῶν ἔργων) καὶ πάντας ὅσοι διαχειρίζουσί τι τῶν τῆς πόλεως πλέον ἢ τριάκονθ' ἡμέρας, καὶ ὅσοι λαμβάνουσιν ἡγεμονίας δικαστηρίων, οἱ δὲ τῶν ἔργων ἐπιστάται πάντες ἡγεμονίᾳ χρῶνται δικαστηρίου· τί τούτους κελεύει ποιεῖν; οὐ διακονεῖν, ἀλλ' ἄρχειν δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ· ἐπειδὴ καὶ αἱ κληρωταὶ ἀρχαὶ οὐκ ἀδοκίμαστοι, ἀλλὰ δοκιμασθεῖσαι ἄρχουσι, καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν πρὸς τὸν γραμματέα, καὶ τοὺς λογιστὰς, καθάπερ καὶ τὰς ἄλλας ἀρχὰς κελεύει· ὅτι δὲ ἀληθῆ λέγω, τοὺς νόμους αὐτοὺς ὑμῖν ἀναγνώσεται.

Νόμοι. Ὅταν τοίνυν, ὦ ἀθηναῖοι, ἃς ὁ νομοθέτης ἀρχὰς ὀνομάζει, οὗτοι προσαγορεύωσι πραγματείας, καὶ ἐπιμελείας, ὑμέτερον ἔργον ἐστὶν ἀπομνημονεύειν, καὶ ἀντιτάττειν τὸν νόμον πρὸς τὴν τούτων ἀναίδειαν, καὶ ὑποβάλλειν αὐτοῖς, ὅτι οὐ προσδέχεσθε κακοῦργον σοφιστὴν, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, ἀλλ' ὅσῳ ἄν τις ἄμεινον λέγῃ παράνομα γεγραφὼς, τοσούτῳ μείζονος ὀργῆς τεύξεται· χρὴ γὰρ, ὦ ἀθηναῖοι, τὸ αὐτὸ φθέγγεσθαι τὸν ῥήτορα, καὶ τὸν νόμον· ὅταν δὲ ἑτέραν μὲν φωνὴν ἀφιῇ ὁ νόμος, ἑτέραν δὲ ὁ ῥήτωρ, τῷ τοῦ νόμου δικαίῳ χρὴ διδόναι τὴν ψῆφον, οὐ τῇ τοῦ λέγοντος ἀναι-

σχυν-

σχετέα· πρὸς δὲ δὴ τὸν ἄφυκτον λόγον, ὅν φησι Δημοσθένης, βραχέα βούλομαι προειπεῖν· λέξει γὰρ οὗτος, τειχοποιός εἰμι· ὁμολογῶ· ἀλλ' ἐπιδέδωκα τῇ πόλει μνᾶς ἑκατὸν, καὶ τὸ ἔργον μεῖζον ἐξήργασμαι· τίνος ἂν εἰμι ὑπεύθυνος, εἰ μή τις ἐστὶν εὐνοίας εὐθύνη· πρὸς δὴ ταύτην τὴν πρόφασιν ἀκούσατέ μου λέγοντος καὶ δίκαια, καὶ συμφέροντα·

Ἐν γὰρ ταύτῃ τῇ πόλει οὕτως ἀρχαίᾳ οὔσῃ καὶ τηλικαύτῃ τὸ μέγεθος, οὐδείς ἐστιν ἀνυπεύθυνος, τῶν καὶ ὁπωσοῦν πρὸς τὰ κοινὰ προσεληλυθότων· διδάξω δ' ὑμᾶς πρῶτον ἐπὶ τῶν παραδόξων, οἷον τοὺς ἱερεῖς, καὶ τὰς ἱερείας, ὑπευθύνους εἶναι κελεύει ὁ νόμος, συλλήβδην ἅπαντας, καὶ χωρὶς ἑκάστους κατὰ σῶμα τοὺς τὰ γέρα μόνον λαμβάνοντας, καὶ τὰς εὐχὰς ὑπὲρ ὑμῶν πρὸς τοὺς θεοὺς εὐχομένους· καὶ οὐ μόνον ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ τὰ γένη, Εὐμολπίδας, καὶ Κήρυκας, καὶ τοὺς ἄλλους ἅπαντας· πάλιν τοὺς τριηράρχους ὑπευθύνους εἶναι κελεύει ὁ νόμος. οὐ τὰ κοινὰ διαχειρίσαντας, οὐδ' ἀπὸ τῶν ὑμετέρων προσόδων πολλὰ μὲν ὑφαιρουμένους, βραχέα δὲ κατατιθέντας, ἐπιδιδόναι δὲ φάσκοντας, ἀποδιδόντας δὲ ὑμῖν τὰ ὑμέτερα· ἀλλ' ὁμολογουμένως τὰς πατρῴας οὐσίας εἰς τὴν πρὸς ὑμᾶς ἀνηλωκότας φιλοτιμίαν· οὐ τοίνυν μόνοι οἱ τριήραρχοι, ἀλλὰ καὶ τὰ μέγιστα τῶν ἐν τῇ πόλει συνεδρίων ὑπὸ τὴν τῶν δικαστηρίων ἔρχεται ψῆφον· πρῶτον μὲν γὰρ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ ἐγγράφειν πρὸς τοὺς λογιστὰς ὁ νόμος κελεύει λόγον, καὶ εὐθύνας διδόναι καὶ τὴν ἐκεῖ σκυθρωπῶν, καὶ τῶν μεγίστων κύριον ἄγει ὑπὸ τὴν ὑμετέραν ψῆφον· οὐκ ἄρα στεφανωθήσεται ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου, οὐδὲ γὰρ πάτριον αὐτοῖς ἐστίν· οὐκ ἄρα φιλοτιμοῦνται· πάνυ γε· ἀλλ' οὐκ ἀγαπῶσιν, ἐάν τις παρ' αὐτοῖς μὴ ἀδικῇ· ἀλλ' ἐάν τις ἐξαμαρτάνῃ, κολάζουσιν· οἱ δὲ ὑμέτεροι ῥήτορες τρυφῶσι· πάλιν τὴν βουλὴν τοὺς πεντακοσίους ὑπεύθυνον πεποίηκεν ὁ νομοθέτης· καὶ οὕτως ἰσχυρῶς ἀπιστεῖ τοῖς ὑπευθύνοις, ὥστ' εὐθέως ἀρχόμενος τῶν νόμων λέγει, ἀρχὴν ὑπεύθυνόν φησι μὴ ἀποδημεῖν· ὦ Ἡράκλεις, ὑπολάβοι ἄν τις, ὅτι ἦρξα μὴ ἀποδημήσω; ἵνα γε μὴ προλαβὼν χρήματα τῆς πόλεως, ἢ πράξεις, δρασμῷ χρήσῃ· πάλιν ὑπεύθυνον οὐκ ἐᾷ τὴν οὐσίαν καθιεροῦν, οὐδὲ ἀνάθημα ἀναθεῖναι, οὐδὲ ἐκποίητον γενέσθαι, οὐδὲ διαθέσθαι τὰ ἑαυτοῦ, οὐδὲ ἄλλα πολλά, ἑνὶ δὲ λόγῳ ἐνεχυράζει

τὰς

τὰς οὐσίας ὁ νομοθέτης, τὰς τῶν ὑπευθύνων, ἕως ἂν λόγον ἀποδῶσι τῇ πόλει· ναί· ἀλλ' ἐστί τις ἄνθρωπος ὃς οὔτε εἴληφεν οὐδὲν τῶν δημοσίων, οὔτ' ἀνήλωκε· προσῆλθε δὲ πρός τι τῶν κοινῶν, καὶ τοῦτον ἀποφέρειν κελεύει λόγον πρὸς τοὺς λογιστὰς, καὶ πῶς ὅγε μηδὲν λαβὼν, μηδ' ἀναλώσας, ἀποίσει λόγον τῇ πόλει· αὐτὸς ὑποβάλλει, καὶ διδάσκει ὁ νόμος, ἃ χρὴ γράφειν· κελεύει γὰρ αὐτὸ τοῦτο ἐγγράφειν, ὅτι οὔτ' ἔλαβον οὐδὲν τῶν τῆς πόλεως, οὔτ' ἀνήλωσα· ἀνεύθυνον δὲ καὶ ἀζήτητον, καὶ ἀνεξέταστον οὐδὲν ἐστι τῶν ἐν τῇ πόλει· ὅτι δὲ ἀληθῆ λέγω αὐτῶν ἀκούσατε τῶν νόμων· Νόμοι· ὅταν τοίνυν μάλιστα θρασύνηται Δημοσθένης λέγων, ὡς διὰ τὴν ἐπίδοσιν οὐκ ἐστιν ὑπεύθυνος, ἐκεῖνο αὐτῷ ὑποβάλλετε, οὐκοῦν ἐχρῆν σε, ὦ Δημόσθενες, ἐᾶσαι τὸν τῶν λογιστῶν κήρυκα κηρῦξαι τὸ πάτριον καὶ ἔννομον κήρυγμα τοῦτο, τίς βούλεται κατηγορεῖν; ἔασον ἀμφισβητῆσαί σοι τὸν βουλόμενον τῶν πολιτῶν, ὡς οὐκ ἐπιδέδωκας, ἀλλ' ἀπὸ πολλῶν, ὧν ἔχεις εἰς τὴν τῶν τειχῶν οἰκοδομίαν μικρὰ κατέθηκας, δέκα τάλαντα εἰς ταῦτα ἐκ τῆς πόλεως εἰληφώς· μὴ ἅρπαζε τὴν φιλοτιμίαν, μηδὲ ἐξαιροῦ τῶν δικαστῶν τὰς ψήφους ἐκ τῶν χειρῶν· μὴ δ' ἔμπροσθεν τῶν νόμων, ἀλλ' ὕστερος πολιτεύου· ταῦτα γὰρ ὀρθοῖ τὴν δημοκρατίαν· πρὸς μὲν οὖν τὰς κοινὰς προφάσεις, ἃς οὗτοι προφασιοῦνται, μέχρι δεῦρο εἰρήσθω μοι· ὅτι δὲ ὄντως ἦν ὑπεύθυνος ὁ Δημοσθένης, ὅθ' οὗτος εἰσήνεγκε τὸ ψήφισμα, ἄρχων μὲν τὴν ἐπὶ τῶν θεωρικῶν ἀρχὴν, ἄρχων δὲ τὴν τῶν τειχοποιῶν, οὐδετέρας δέ πω τῶν ἀρχῶν τούτων λόγον ὑμῖν, οὐδ' εὐθύνας δεδωκὼς, ταῦτ' ἤδη πειράσομαι ὑμᾶς διδάσκειν ἐκ τῶν δημοσίων γραμμάτων· καί μοι ἀνάγνωθι ἐπὶ τίνος ἄρχοντος, καὶ ποίου μηνὸς, καὶ ἐν τίνι ἡμέρᾳ, καὶ ἐν ποίᾳ ἐκκλησίᾳ ἐχειροτονήθη Δημοσθένης τὴν ἀρχὴν τὴν ἐπὶ τῶν θεωρικῶν, ὅτι μεσοῦντα τὴν ἀρχὴν ἔγραψεν αὐτὸν στεφανοῦν· ἀναγίνωσκε. Διαλογισμὸς τῶν ἡμερῶν· Οὐκοῦν εἰ μηδὲν ὅτι περαιτέρω τούτου δείξαιμι, δικαίως ἂν ἁλίσκοιτο Κτησιφῶν· αἱρεῖ γὰρ αὐτὸν οὐχ ἡ κατηγορία ἡ ἐμὴ, ἀλλὰ τὰ δημόσια γράμματα· πρότερον μὲν τοίνυν, ὦ Ἀθηναῖοι, ἀντιγραφεὺς ἦν χειροτονητὸς τῇ πόλει, ὃς καθ' ἑκάστην πρυτανείαν ἀπελογίζετο τὰς προσόδους τῷ δήμῳ· διὰ δὲ τὴν πρὸς Εὔβουλον γενομένην πίστιν ὑμῖν, οἱ ἐπὶ τὸ θεωρικὸν κεχειροτονημένοι

ἦρχον

ἦρχον μὲν πρὶν ἢ τὸν Ἡγήμονος νόμον γενέσθαι, τὴν τοῦ ἀντιγραφέως ἀρχὴν, ἦρχον δὲ τὴν τῶν ἀποδεκτῶν καὶ νεωρίων ἀρχὴν· καὶ σκευοθήκην ᾠκοδόμουν. ἦσαν δὲ καὶ ὁδοποιοὶ, καὶ σχεδὸν τὴν ὅλην διοίκησιν εἶχον τῆς πόλεως· καὶ οὐ κατηγορῶν αὐτῶν, οὐδ᾽ ἐπιτιμῶν λέγω, ἀλλ᾽ ἐκεῖνο ὑμῖν ἐνδείξασθαι βούλομαι, ὅτι ὁ μὲν νομοθέτης, ἐάν τις μιᾶς ἀρχῆς τῆς ἐλαχίστης ὑπεύθυνος ᾖ, τοῦτον οὐκ ἐᾷ, πρὶν ἂν λόγους, καὶ εὐθύνας δῷ στεφανοῦν. Ὁ δὲ Κτησιφῶν Δημοσθένην, τὸν συλλήβδην ἁπάσας τὰς Ἀθήνησιν ἀρχὰς ἄρχοντα, οὐκ ὤκνησε γράψαι στεφανῶσαι· ὡς τοίνυν καὶ τὴν τῶν τειχοποιῶν ἀρχὴν ἦρχεν, ὅθ᾽ οὗτος τὸ ψήφισμα ἔγραψε, καὶ τὰ δημόσια χρήματα διεχείριζε, καὶ ἐπιβολὰς ἐπέβαλε, καθάπερ οἱ ἄλλοι ἄρχοντες, καὶ δικαστηρίων ἡγεμονίας ἐλάμβανε· τούτων ὑμῖν αὐτὸν Δημοσθένην, καὶ Κτησιφῶντα μάρτυρας παρέξομαι· ἐπὶ γὰρ Χαιρωνίδου ἄρχοντος Θαργηλιῶνος μηνὸς δευτέρᾳ φθίνοντος ἐκκλησίας οὔσης, ἔγραψε ψήφισμα Δημοσθένης, ἀγορὰν ποιῆσαι τῶν φυλῶν σκιῤῥοφοριῶνος δευτέρᾳ ἱσταμένου, καὶ τρίτῃ, καὶ ἐπέταξεν ἐν τῷ ψηφίσματι ἑκάστης τῶν φυλῶν ἑλέσθαι τοὺς ἐπιμελησομένους τῶν ἔργων ἐπὶ τὰ τείχη, καὶ ταμίας, καὶ μάλα ὀρθῶς, ἵν᾽ ἡ πόλις ἔχῃ ὑπεύθυνα σώματα, παρ᾽ ὧν ἔμελλε τῶν ἀνηλωμένων λόγον ἀπολήψεσθαι· καί μοι λέγε τὰ ψηφίσματα·

Ψηφίσματα. Ναὶ, ἀλλ᾽ ἀντιδιαπλέκει πρὸς τοῦτο εὐθέως λέγων, ὡς οὔτ᾽ ἔλαχε τειχοποιὸς, οὔτ᾽ ἐχειροτονήθη ὑπὸ τοῦ δήμου, καὶ περὶ τούτου Δημοσθένης μὲν, καὶ Κτησιφῶν πολὺν ποιήσονται λόγον· ὁ δὲ γενόμενος βραχὺς, καὶ σαφὴς, καὶ ταχὺ λύων τὰς τούτων τέχνας, μικρὰ δὲ ὑμῖν ὑπὲρ αὐτῶν πρῶτον προειπεῖν βούλομαι. Ἔστι γὰρ, ὦ Ἀθηναῖοι, τῶν περὶ τὰς ἀρχὰς εἴδη τρία· ὧν ἓν μὲν καὶ πᾶσι φανερώτατον, οἱ κληρωτοὶ, καὶ οἱ χειροτονητοὶ ἄρχοντες.

Δεύτερον δὲ, ὅσοι τι διαχειρίζουσι τῶν τῆς πόλεως ὑπὲρ τριάκοντα ἡμέρας, καὶ οἱ τῶν δημοσίων ἔργων ἐπιστάται· Τρίτον δ᾽ ἐν τῷ νόμῳ γέγραπται, καὶ εἴ τινες ἄλλοι αἱρετοὶ ἡγεμονίας δικαστηρίων λαμβάνουσι, καὶ τούτους ἄρχειν δοκιμασθέντας· ἐπειδὰν δὲ ἀφέλῃ τις τοὺς ὑπὸ τοῦ δήμου κεχειροτονημένους, καὶ τοὺς κληρωτοὺς ἄρχοντας, καταλείπεται, οὓς αἱ φυλαὶ, καὶ αἱ τριττύες, καὶ οἱ δῆμοι ἐξ ἑαυτῶν αἱροῦνται τὰ δημόσια χρήματα

δια-

διαχειρίζειν, τούτους αἱρετοὺς ἄρχοντας εἶναι· τοῦτο δὲ γίνεται, ὅταν, ὥσπερ νῦν, ἐπιταχθῇ τι, ταῖς φυλαῖς, ἢ τάφρους ἐξεργάζεσθαι, ἢ τριήρεις ναυπηγεῖσθαι· ὅτι δὲ ἀληθῆ λέγω ἐξ αὐτῶν τῶν νόμων μαθήσεσθε· Νόμοι· Ἀναμνήσθητε δὴ τοὺς προειρημένους λόγους, ὅτι ὁ μὲν νομοθέτης τοὺς ἐκ τῶν φυλῶν ἄρχειν κελεύει δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ· ἡ δὲ Πανδιονὶς φυλὴ ἄρχοντα, καὶ τειχοποιὸν ἀπέδειξε Δημοσθένην· ὃς ἐκ τῆς διοικήσεως εἰς ταῦτα ἔχει, μικροῦ δεῖν δέκα τάλαντα· ἕτερος δὲ ἀπαγορεύει νόμος, ἀρχὴν ὑπεύθυνον μὴ στεφανοῦν· ὑμεῖς δὲ ὀμωμόκατε κατὰ τοὺς νόμους ψηφιεῖσθαι· ὁ δὲ ῥήτωρ γέγραφε τὸν ὑπεύθυνον στεφανοῦν, μὴ προσθεὶς, ἐπειδὰν δῷ λόγον, καὶ εὐθύνας· ἐγὼ δὲ ἐξελέγξω τὸ παράνομον, μάρτυρας ἅμα τοὺς νόμους, καὶ τὰ ψηφίσματα, καὶ τοὺς ἀντιδίκους παρεχόμενος, πῶς οὖν ἄν τις περιφανέστερον ἐπιδείξειεν ἄνθρωπον παρανομώτατα γεγραφότα; ὡς τοίνυν καὶ τὴν ἀνάρρησιν τοῦ στεφάνου παρανόμως ἐν τῷ ψηφίσματι κελεύει γίνεσθαι, καὶ τοῦθ' ὑμᾶς διδάξω· ὁ γὰρ νόμος διαρρήδην κελεύει, ἐὰν μέν τινα στεφανοῖ ἡ βουλὴ, ἐν τῷ βουλευτηρίῳ ἀνακηρύττεσθαι, ἐὰν δὲ ὁ δῆμος, ἐν τῇ ἐκκλησίᾳ· ἄλλοθι δὲ μηδαμοῦ· καί μοι λέγε τὸν νόμον·

Νόμος. Οὗτος ὁ νόμος, ὦ Ἀθηναῖοι, καὶ μάλα καλῶς ἔχει· οὐ γὰρ οἶμαι ᾤετο δεῖν ὁ νομοθέτης τὸν ῥήτορα σεμνύνεσθαι πρὸς τοὺς ἔξωθεν, ἀλλ' ἀγαπᾶν ἐν αὐτῇ τῇ πόλει τιμώμενον ὑπὸ τοῦ δήμου, καὶ μὴ ἐργολαβεῖν ἐν τοῖς κηρύγμασι· ὁ μὲν νομοθέτης οὕτως· ὁ δὲ Κτησιφῶν, πῶς; ἀναγίνωσκε τὸ ψήφισμα·

Ψήφισμα. Ἀκούετε, ὦ Ἀθηναῖοι, ὅτι ὁ μὲν νομοθέτης κελεύει ἐν τῷ δήμῳ ἐν Πυκνὶ τῇ ἐκκλησίᾳ ἀνακηρύττειν, τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, ἄλλοθι δὲ, μηδαμοῦ· Κτησιφῶν δὲ ἐν τῷ θεάτρῳ· οὐ τοὺς νόμους μόνον ὑπερβὰς, ἀλλὰ καὶ τὸν τόπον μετενεγκὼν, οὐδὲ ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ τραγῳδῶν ἀγωνιζομένων καινῶν, οὐδ' ἐναντίον τοῦ δήμου, ἀλλ' ἐναντίον τῶν Ἑλλήνων, ἵν' ἡμῖν συνειδῶσιν, οἷον ἄνδρα τιμῶμεν· οὕτω τοίνυν περιφανῶς παράνομα γεγραφὼς, παραταχθεὶς μετὰ Δημοσθένους ἐποίσει τέχνας τοῖς νόμοις, ἃς ἐγὼ δηλώσω, καὶ προερῶ ὑμῖν, ἵνα μὴ λάθητε ἐξαπατηθέντες· οὗτοι γὰρ ὡς μὲν οὐκ ἀπαγορεύουσιν οἱ νόμοι τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττειν ἔξω

ἔξω

τῆς ἐκκλησίας, οὐκ ἔξεστι λέγειν· οἴσουσι δὲ εἰς τὴν ἀπολογίαν τὸν διονυσιακὸν νόμον, καὶ χρήσονται τοῦ νόμου μέρει τινὶ κλέπτοντες τὴν ἀκρόασιν ὑμῶν, καὶ παρέξονται νόμον οὐδὲν προσήκοντα τῇδε τῇ γραφῇ, καὶ λέξουσιν, ὡς εἰσὶ τῇ πόλει δύο νόμοι κείμενοι περὶ τῶν κηρυγμάτων, ἕνα μὲν, ὃν νῦν ἐγὼ παρέχομαι διαῤῥήδην ἀπαγορεύοντα τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον, μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ἕτερον δὲ εἶναι νόμον φήσουσιν ἐναντίον τούτῳ, τὸν δεδωκότα ἐξουσίαν ποιεῖσθαι τὴν ἀνάῤῥησιν τοῦ στεφάνου τραγῳδοῖς ἐν τῷ θεάτρῳ, ἐὰν ψηφίσηται ὁ δῆμος, κατὰ δὴ τοῦτον τὸν νόμον φήσουσι γεγραφέναι τὸν Κτησιφῶντα· ἐγὼ δὲ πρὸς τὰς τούτων τέχνας παρέξομαι συνηγόρους τοὺς νόμους τοὺς ὑμετέρους· ὅπερ διατελῶ σπουδάζων παρὰ πᾶσαν τὴν κατηγορίαν· εἰ γὰρ τοῦτό ἐστιν ἀληθὲς, καὶ τοιοῦτον ἔθος παραδέδυκεν ὑμῶν εἰς τὴν πολιτείαν, ὥστε ἀκύρους νόμους ἐν τοῖς κυρίοις ἀναγεγράφθαι, καὶ δύο περὶ μιᾶς πράξεως ὑπεναντίους ἀλλήλοις· τί ἂν ἔτι ταύτην εἴποι τις εἶναι τὴν πολιτείαν, ἐν ᾗ ταῦτα προσάττουσιν οἱ νόμοι ποιεῖν, καὶ μὴ ποιεῖν; ἀλλ' οὐκ ἔχει ταῦτα οὕτως, μήθ' ὑμεῖς ποτε εἰς τοσαύτην ἀταξίαν τῶν νόμων προβαίνητε· οὔτε ἠμέληται περὶ τῶν τοιούτων τῷ νομοθέτῃ τῷ τὴν δημοκρατίαν καταστήσαντι, ἀλλὰ διαῤῥήδην προστέτακται τοῖς θεσμοθέταις καθ' ἕκαστον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δημοσίῳ τοὺς νόμους, ἀκριβῶς ἐξετάσαντας, καὶ σκεψαμένους, εἴ τις ἀναγέγραπται νόμος ἐναντίος νόμῳ, ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ εἴ που εἰσὶ νόμοι πλείους ἑνὸς ἀναγεγραμμένοι περὶ ἑκάστης πράξεως· κἄν τι τοιοῦτον εὑρίσκωσιν, ἀναγεγραφότας ἐν σανίσιν ἐκτιθέναι κελεύει πρόσθεν τῶν ἐπωνύμων· τοὺς δὲ πρυτάνεις ποιεῖν ἐκκλησίαν, ἐπιγράψαντας νομοθέτας· τὸν δ' ἐπιστάτην τῶν προέδρων διαχειροτονίαν διδόναι τῷ δήμῳ, καὶ τοὺς μὲν ἀναιρεῖν τῶν νόμων, τοὺς δὲ, καταλείπειν, ὅπως ἂν εἷς ᾖ νόμος, καὶ μὴ πλείους περὶ ἑκάστης πράξεως· καί μοι λέγε τοὺς νόμους. Νόμοι. Εἰ τοίνυν, ὦ Ἀθηναῖοι, ἀληθὴς ἦν ὁ παρὰ τούτων λόγος, καὶ ἦσαν δύο κείμενοι νόμοι περὶ τῶν κηρυγμάτων ἐξ ἀνάγκης οἶμαι τῶν μὲν θεσμοθετῶν ἐξευρόντων, τῶν δὲ πρυτάνεων ἀποδιδόντων τοῖς νομοθέταις, ἀνῄρητ' ἂν ὁ ἕτερος τῶν νόμων, ἤτοι ὁ τὴν ἐξουσίαν δεδωκὼς ἀνειπεῖν, ἢ ὁ ἀπαγορεύων· ὁπότε δὲ μηδὲν τούτων γίνηται, φανερῶς

ὅπως ἐξελέγχονται οὐ μόνον ψευδῆ λέγοντες, ἀλλὰ καὶ παντελῶς ἀδύνατα γενέσθαι· ὅθεν δὲ δὴ τὸ ψεῦδος τοῦτο ἐπιφέρουσιν, ἐγὼ διδάξω ὑμᾶς, προειπὼν ὧν ἕνεκα οἱ νόμοι ἐτέθησαν, οἱ περὶ τῶν ἐν τῷ θεάτρῳ κηρυγμάτων. Γινομένων γὰρ τῶν ἐν ἄστει τραγῳδῶν, ἀνεκήρυττόν τινες, οὐ πείσαντες τὸν δῆμον, οἱ μὲν, ὅτι στεφανοῦνται ὑπὸ τῶν φυλετῶν, ἕτεροι δὲ, ὑπὸ τῶν δημοτῶν, ἄλλοι δέ τινες ὑποκηρυξάμενοι, τοὺς αὐτῶν οἰκέτας ἀφίεσαν ἀπελευθέρους, μάρτυρας τῆς ἀπελευθερίας τοὺς Ἕλληνας ποιούμενοι· ὃ δ' ἦν ἐπιφθονώτατον, προξενίας τινὲς εὑρημένοι ἐν ταῖς ἔξω πόλεσι διεπράττοντο ἀναγορεύεσθαι, ὅτι στεφανοῖ αὐτοὺς ὁ δῆμος, εἰ οὕτω τύχοι, ὁ τῶν Ῥοδίων, ἢ Χίων, ἢ καὶ ἄλλης τινὸς πόλεως, ἕνεκα ἀρετῆς, καὶ ἀνδραγαθίας· καὶ ταῦτα ἔπραττον, οὐχ ὥσπερ οἱ ὑπὸ τῆς βουλῆς τῆς ὑμετέρας στεφανούμενοι, ἢ ὑπὸ τοῦ δήμου, πείσαντες ὑμᾶς, καὶ μετὰ ψηφίσματος, πολλὴν χάριν καταθέμενοι, ἀλλ' αὐτοὶ προελόμενοι ἄνευ δόγματος ὑμετέρου· Ἐκ δὲ τούτου τοῦ τρόπου συνέβαινε τοὺς μὲν θεατὰς, καὶ τοὺς χορηγοὺς, καὶ τοὺς ἀγωνιστὰς ἐνοχλεῖσθαι· τοὺς δὲ ἀνακηρυττομένους ἐν τῷ θεάτρῳ, μείζοσι τιμαῖς τιμᾶσθαι τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων· τοῖς μὲν γὰρ ἀπεδέδεικτο τόπος ἡ ἐκκλησία, ἐν ᾗ χρὴ στεφανοῦσθαι, καὶ ἀπείρητο ἄλλοθι μηδαμοῦ κηρύττεσθαι· οἱ δὲ ἀνηγορεύοντο ἐνώπιον ἁπάντων τῶν Ἑλλήνων· κἀκεῖνοι μὲν μετὰ ψηφίσματος πείσαντες ὑμᾶς, οὗτοι δ' ἄνευ ψηφίσματος. Συνιδὼν δή τις ταῦτα νομοθέτης τίθησι νόμον οὐδὲν ἐπικοινωνοῦντα τῷ περὶ τῶν ὑπὸ τοῦ δήμου στεφανουμένων νόμῳ, οὔτε λύσας ἐκεῖνον, οὐδὲ γὰρ ἡ ἐκκλησία ἠνωχλεῖτο, ἀλλὰ τὸ θέατρον, οὔτε ἐναντίον τοῖς πρότερον κειμένοις νόμοις τιθείς· οὐ γὰρ ἔξεστιν, ἀλλὰ περὶ τῶν ἄνευ ψηφίσματος ὑμετέρου στεφανουμένων ὑπὸ τῶν φυλετῶν, καὶ δημοτῶν, καὶ περὶ τῶν τοὺς οἰκέτας ἀπελευθερούντων, καὶ περὶ τῶν ξενικῶν στεφάνων, καὶ διαρρήδην ἀπαγορεύει μήτε οἰκέτην ἀπελευθεροῦν ἐν τῷ θεάτρῳ, μήτε ὑπὸ τῶν φυλετῶν, ἢ δημοτῶν ἀναγορεύεσθαι στεφανούμενον, μήθ' ὑπ' ἄλλου, φησί, μηδενὸς, ἢ ἄτιμον εἶναι τὸν κήρυκα. Ὅταν οὖν ἀποδείξῃ τοῖς μὲν ὑπὸ τῆς βουλῆς στεφανουμένοις, εἰς τὸ βουλευτήριον ἀναρρηθῆναι, τοῖς δὲ ὑπὸ τοῦ δήμου στεφανουμένοις εἰς τὴν ἐκκλησίαν· τοῖς δ' ὑπὸ τῶν δημοτῶν στεφανουμένοις, καὶ φυλετῶν ἀπείπῃ μὴ κηρύττεσθαι τοῖς

τραγῳδοῖς, ἵνα μηδεὶς ἐρανίζων στεφάνους, καὶ κηρύγματα ψευδῆ φιλοτιμίαν κτᾶται· προσαπεῖπε δὲ ἐν τῷ νόμῳ μηδὲ ὑπὸ ἄλλου μηδενὸς ἀνακηρύττεσθαι ἀπούσης βουλῆς, καὶ δήμου, καὶ φυλετῶν, καὶ δημοτῶν, ὅταν δέ τις ταῦτα ἀφέληται, τί τὸ καταλειπόμενόν ἐστι, πλὴν οἱ ξενικοὶ στέφανοι; ὅτι δὲ ἀληθῆ λέγω, μέγα σημεῖον ὑμῖν τοῦτο ἐξ αὐτῶν τῶν νόμων ἐπιδείξω.

Αὐτὸν γὰρ τὸν χρυσοῦν στέφανον, ὃς ἂν ἐν τῷ θεάτρῳ ἐν ἄστει ἀνακηρυχθῇ, ἱερὸν εἶναι τῆς Ἀθηνᾶς κελεύει ὁ νόμος, ἀφελόμενος τὸν στεφανούμενον· καίτοι, τίς ἂν ὑμῶν τολμήσειε τοσαύτην ἀνελευθερίαν καταγνῶναι τοῦ δήμου τοῦ Ἀθηναίων; μὴ γὰρ ὅτι πόλις, ἀλλ' οὐδ' ἂν ἰδιώτης οὐδεὶς οὕτως ἀγεννὴς γένοιτο· ὥστε ὃν αὐτὸς ἔδωκε στέφανον ἅμα ἀνακηρύττειν, καὶ ἀφαιρεῖσθαι, καὶ καθιεροῦν· ἀλλ' οἶμαι διὰ τὸ ξενικὸν εἶναι τὸν στέφανον, καὶ καθιέρωσις γίγνεται, ἵνα μηδεὶς ἀλλοτρίαν εὔνοιαν περὶ πλείονος ποιούμενος τῆς πατρίδος χείρων γένηται τὴν ψυχήν· ἀλλ' οὐκ ἐκεῖνον τὸν ἐν τῇ ἐκκλησίᾳ ἀνακηρυχθέντα στέφανον οὐδεὶς καθιεροῖ· ἀλλ' ἔξεστι κεκτῆσθαι, ἵνα μὴ μόνον αὐτός, ἀλλὰ καὶ οἱ ἐξ ἐκείνου ἔχοντες ἐν τῇ οἰκίᾳ τὸ ὑπόμνημα μηδέποτε κακοὶ τὴν ψυχὴν εἰς τὸν δῆμον γίγνωνται, καὶ διὰ τοῦτο προσέθηκεν ὁ νομοθέτης, μὴ κηρύττεσθαι τὸν ἀλλότριον στέφανον ἐν τῷ θεάτρῳ, ἐὰν μὴ ψηφίσηται ὁ δῆμος, ἵν' ἡ πόλις ἡ βουλομένη τινὰ τῶν ἡμετέρων στεφανοῦν πρέσβεις πέμψασα, δεηθῇ τοῦ δήμου, ἵνα κηρυττόμενος μείζω χάριν εἰδῇ τῶν στεφανούντων ὑμῖν, ἢ τοῖς στεφανοῦσιν, ὅτι κηρῦξαι ἐπετρέψατε· ὅτι δὲ ἀληθῆ λέγω, τῶν νόμων αὐτῶν ἀκούετε. Νόμοι. Ἐπειδὰν τοίνυν ἐξαπατῶντες ὑμᾶς λέγωσιν, ὡς προσγέγραπται ἐν τῷ νόμῳ ἐξεῖναι στεφανοῦν, ἐὰν ψηφίσηται ὁ δῆμος, ἀπομνημονεύετε αὐτοῖς ὑπολαβεῖν· ναί εἴγε σέ τις ἄλλη πόλις στεφανοῖ· εἰ δὲ ὁ δῆμος ὁ Ἀθηναίων ἀποδέδεικταί σοι τόπος, ὅπου δεῖ τοῦτο γίγνεσθαι ἀπείρηταί σοι ἔξω τῆς ἐκκλησίας μὴ κηρύττεσθαι· τὸ γὰρ, ἄλλοθι δὲ μηδαμοῦ, ὅ, τι ἐστὶν ὅλην τὴν ἡμέραν λέγε, οὐ γὰρ ἀποδείξεις, ὡς ἔννομα γέγραφας. Ἔστι δὲ ὑπόλοιπόν μοι μέρος τῆς κατηγορίας, ἐφ' ᾧ μάλιστα σπουδάζω· τοῦτο δέ ἐστιν ἡ πρόφασις, δι' ἣν αὐτὸν ἀξιοῖ στεφανοῦσθαι· λέγει γὰρ οὕτως ἐν τῷ ψηφίσματι, καὶ τὸν κήρυκα ἀναγορεύειν ἐν τῷ θεάτρῳ πρὸς τοὺς Ἕλληνας, ὅ-

τι στεφανοῖ αὐτὸν ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἀρετῆς ἕνεκα, καὶ ἀνδραγαθίας, καὶ τὸ μέγιστον, ὅτι διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ· ἁπλοῦς δὴ παντάπασιν ὁ μετὰ ταῦτα ἡμῖν λόγος γίνεται, καὶ ὑμῖν ἀκούσασι κρῖναι εὐμαθής· δεῖ γὰρ δήπου τὸν μὲν κατηγοροῦντα ἐμὲ τοῦθ' ὑμῖν ἐπιδεικνύναι, ὡς εἰσὶν οἱ κατὰ Δημοσθένους ἔπαινοι ψευδεῖς, καὶ ὡς οὔτ' ἤρξατο λέγειν τὰ βέλτιστα, οὔτε νῦν διατελεῖ πράττων τὰ συμφέροντα τῷ δήμῳ· κἂν τοῦτο ἐπιδείξω, δικαίως δήπου τὴν γραφὴν ἁλώσεται Κτησιφῶν· ἅπαντες γὰρ ἀπαγορεύουσιν οἱ νόμοι μηδένα ψευδῆ γράφειν ἐν τοῖς δημοσίοις ψηφίσμασι· τῷ δ' ἀπολογουμένῳ τοὐναντίον τούτου δεικτέον ἐστίν· ὑμεῖς δ' ἡμῖν ἔσεσθε τῶν λόγων κριταί· ἔχει δ' οὕτως. Ἐγὼ τὸν μὲν βίον τοῦ Δημοσθένους ἐξετάζειν μακροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι· τί γὰρ δεῖ νῦν ταῦτα λέγειν, ἢ τὰ περὶ τὴν τοῦ τραύματος γραφὴν αὐτῷ συμβεβηκότα, ὅτ' ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα, ἀνεψιὸν ὄντα ἑαυτῷ, καὶ τὴν τῆς κεφαλῆς ἐπιτομήν; ἢ τὰ περὶ τὴν Κηφισοδότου στρατηγίαν, καὶ τὸν τῶν νεῶν ἔκπλουν τὸν εἰς Ἑλλήσποντον, ὅτε εἷς ὢν τῶν τριηράρχων Δημοσθένης, καὶ περιάγων τὸν στρατηγὸν ἐπὶ τῆς νεὼς, καὶ συσσιτῶν, καὶ συνθύων, καὶ συσπένδων, καὶ τούτων ἀξιωθεὶς διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι, οὐκ ὤκνησεν ἀπ' εἰσαγγελίας αὐτοῦ κρινομένου περὶ θανάτου, κατήγορος γενέσθαι· καὶ ταῦτα ἤδη τὰ περὶ Μειδίαν, καὶ τοὺς κονδύλους, οὓς ἔλαβεν ἐν τῇ ὀρχήστρᾳ χορηγὸς ὤν, καὶ ὡς ἀπέδοτο τριάκοντα μνῶν ἅμα τε τὴν εἰς αὐτὸν ὕβριν, καὶ τὴν τοῦ δήμου καταχειροτονίαν, ἣν ἐν Διονύσου κατεχειροτόνησε Μειδίου· ταῦτα μὲν οὖν μοι δοκῶ, καὶ τ' ἄλλα τὰ τούτοις ὅμοια ὑπερβήσεσθαι· οὐ προδιδοὺς ὑμᾶς, οὐδὲ τὸν ἀγῶνα καταχαριζόμενος, ἀλλ' ἐκεῖνο φοβούμενος, μή μοι παρ' ὑμῶν ἀπαντήσῃ τὸ δοκεῖν μὲν ἀληθῆ λέγειν, ἀρχαῖα δὲ, καὶ λίαν ὁμολογούμενα. Καί τοι ὦ Κτησιφῶν, ὅτῳ τὰ μέγιστα τῶν αἰσχρῶν οὕτως ἐστὶ πιστὰ, καὶ γνώριμα τοῖς ἀκούουσιν, ὡς τὸν κατήγορον μὴ δοκεῖν ψευδῆ λέγειν, ἀλλὰ παλαιὰ, καὶ λίαν προσωμολογημένα· πότερα αὐτὸν δεῖ χρυσῷ στεφάνῳ στεφανωθῆναι, ἢ ψέγεσθαι; καὶ σε τὸν ψευδῆ, καὶ παράνομα τολμῶντα γράφειν, πότερα χρὴ καταφρονεῖν τῶν δικαστηρίων, ἢ δίκην τῇ πόλει διδόναι;

Περὶ δὲ τῶν δημοσίων ἀδικημάτων πειράσομαι σαφέ-

ἕτερον εἰπεῖν· καὶ γὰρ πυνθάνομαι μέλλειν Δημοσθένην, ἐπειδὰν αὐτοῖς ὁ λόγος ἀποδοθῇ, καταριθμεῖσθαι πρὸς ὑμᾶς, ὡς ἄρα τῇ πόλει τέτταρες ἤδη γεγένηνται καιροί, ἐν οἷς αὐτὸς πεπολίτευται· ὧν ἕνα μὲν καὶ πρῶτον, ὡς ἔγωγε ἀκούω, καταλογίζεται ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ πρὸς Φίλιππον ὑπὲρ Ἀμφιπόλεως ἐπολεμοῦμεν· τοῦτον δ' ἀφορίζεται τὸν χρόνον τῇ γενομένῃ εἰρήνῃ, καὶ συμμαχίᾳ, ἣν Φιλοκράτης ὁ Ἁγνούσιος ἔγραψε, καὶ αὐτὸς οὗτος μετ' ἐκείνου, ὡς ἐγὼ δείξω· Δεύτερον δὲ καιρόν φησι γενέσθαι, ὃν ἤγομεν χρόνον τὴν εἰρήνην, δηλονότι μέχρι τῆς ἡμέρας ἐκείνης, ἐν ᾗ καταλύσας τὴν ὑπάρχουσαν εἰρήνην τῇ πόλει ὁ αὐτὸς ῥήτωρ ἔγραψε τὸν πόλεμον· Τρίτον δέ, ὃν ἐπολεμοῦμεν χρόνον, μέχρι τῆς ἀτυχίας τῆς ἐν Χαιρωνείᾳ· Τέταρτον δὲ τὸν νῦν παρόντα καιρόν. Ταῦτα δὲ καταριθμησάμενος, ὡς ἀκούω, μέλλει με καλεῖν, καὶ ἐπερωτᾶν ὁποίου τούτων τῶν τεττάρων αὐτοῦ καιρῶν κατηγορῶ· καὶ πότε αὐτὸν οὐ τὰ βέλτιστά φημι τῷ δήμῳ πεπολιτεῦσθαι· κἂν μὴ θέλω ἀποκρίνεσθαι, ἀλλ' ἐγκαλύπτωμαι, καὶ ἀποδιδράσκω, ἐκκαλύψειν μέ φησι προσελθών, καὶ ἄξειν ἐπὶ τὸ βῆμα, καὶ ἀναγκάζειν ἀποκρίνεσθαι· ἵν' οὖν μήθ' οὗτος ἰσχυρίζηται, ὑμεῖς τε προειδῆτε, ἐγώ τε ἀποκρίνωμαι ἐναντίον σοὶ τῶν δικαστῶν, Δημόσθενες, καὶ τῶν ἄλλων πολιτῶν, ὅσοι δὴ ἔξωθεν περιεστᾶσι, καὶ τῶν Ἑλλήνων ὅσοις ἐπιμελὲς γέγονεν ὑπακούειν τῆσδε τῆς κρίσεως· ὁρῶ δὲ οὐκ ὀλίγους παρόντας, ἀλλ' ὅσους οὐδεὶς πώποτε μέμνηται πρὸς ἀγῶνα δημόσιον παραγενομένους, ἀποκρίνομαι, ὅτι ἁπάντων τῶν τεττάρων καιρῶν κατηγορῶ σου, οὓς σὺ διαιρῇ· κἂν οἵτε θεοὶ θέλωσι, καὶ οἱ δικασταὶ ἐξ ἴσου ἡμῶν ἀκούσωσι, κἀγὼ δύνωμαι ἀπομνημονεῦσαι, ἃ σοι σύνοιδα, πάνυ προσδοκῶ ἀποδείξειν τοῖς δικασταῖς, τῆς μὲν σωτηρίας τῇ πόλει τοὺς θεοὺς αἰτίους γεγενημένους, καὶ τοὺς φιλανθρώπως καὶ μετρίως τοῖς τῆς πόλεως πράγμασι χρησαμένους, τῶν δὲ ἀτυχημάτων ἁπάντων Δημοσθένην αἴτιον γεγενημένον· καὶ χρήσομαι τῇ τοῦ λόγου τάξει ταύτῃ, ἣν τοῦτον πυνθάνομαι ποιεῖσθαι μέλλειν· λέξω δὲ πρῶτον περὶ τοῦ πρώτου καιροῦ, καὶ δεύτερον περὶ τοῦ δευτέρου, καὶ τρίτον περὶ τοῦ ἐφεξῆς, καὶ τέταρτον περὶ τῶν νῦν καθεστηκότων πραγμάτων, καὶ δὴ ἐπανάγω ἐμαυτὸν ἐπὶ τὴν εἰρήνην, ἣν σὺ καὶ Φιλοκράτης ἐγράψατε.

ὑμῖν γὰρ ἐξεγένετο ἄν, ὦ ἀθηναῖοι, τὴν προτέραν ἐκείνην εἰρήνην ποιήσασθαι μετὰ κοινοῦ συνεδρίου τῶν ἑλλήνων, εἴ τινες ὑμᾶς εἴασαν περιμεῖναι τὰς πρεσβείας, ἃς ἦτε ἐκπεπομφότες κατ᾽ ἐκεῖνον τὸν καιρὸν εἰς τὴν ἑλλάδα, παρακαλοῦντες ἐπὶ φίλιππον μετασχεῖν ἑλληνικοῦ συνεδρίου, καὶ προϊόντος τοῦ χρόνου παρ᾽ ἑκόντων τῶν ἑλλήνων ἀπολαβεῖν τὴν ἡγεμονίαν· καὶ τούτων ἀπεστερήθητε διὰ Δημοσθένην, καὶ Φιλοκράτην, καὶ τὰς τούτων δωροδοκίας, ἃς ἐδωροδόκησαν συστάντες ἐπὶ τὸ δημόσιον τὸ ὑμέτερον· εἰ δέ τισιν ὑμῶν ἐξαίφνης ἀκούουσιν ἀπιστότερος προσπέπτωκεν ὁ τοιοῦτος λόγος, ἐκείνως τὴν ὑπόλοιπον ποιήσασθε ἀκρόασιν, ὥσπερ ὅταν περὶ χρημάτων ἀνηλωμένων διὰ πολλοῦ χρόνου καθεζώμεθα ἐπὶ τοὺς λογισμούς· ἐρχόμεθα δήπου ψευδεῖς οἴκοθεν ἐνίοτε δόξας ἔχοντες κατὰ τῶν λογισμῶν· ἀλλ᾽ ὅμως ἐπειδὰν ὁ λογισμὸς συγκεφαλαιωθῇ, οὐδεὶς ὑμῶν ἐστιν οὕτω δύσκολος τὴν φύσιν, ὅς τις οὐκ ἀπέρχεται τοῦθ᾽ ὁμολογήσας, καὶ ἐπινεύσας ἀληθὲς εἶναι, ὅ, τι ἂν αὐτὸς ὁ λογισμὸς αἱρῇ· οὕτω καὶ νῦν τὴν ἀκρόασιν ποιήσασθε, εἴ τινες ὑμῶν ἐκ τῶν ἔμπροσθεν χρόνων ἥκουσιν οἴκοθεν τοιαύτην ἔχοντες τὴν δόξαν· ὡς ἄρα ὁ Δημοσθένης οὐδὲν πώποτε εἴρηκεν ὑπὲρ φιλίππου, συστὰς μετὰ Φιλοκράτους· ὅς τις οὕτω διάκειται, μήτε ἀπογνώτω μηδὲν, μήτε καταγνώτω πρὶν ἀκούσῃ· οὐ γὰρ δίκαιον, ἀλλ᾽ ἐὰν ἐμοῦ διὰ βραχέων ἀκούσητε ὑπομιμνήσκοντος τοὺς καιροὺς, καὶ τὸ ψήφισμα παρεχομένου ὃ μετὰ Φιλοκράτους ἔγραψε Δημοσθένης, ἐὰν αὐτὸς ὁ τῆς ἀληθείας λογισμὸς ἐγκαταλαμβάνῃ τὸν Δημοσθένην, πλείω μὲν γεγραφότα ψηφίσματα μετὰ Φιλοκράτους περὶ τῆς ἐξ ἀρχῆς εἰρήνης, καὶ συμμαχίας, καθ᾽ ὑπερβολὴν δὲ αἰσχύνης κεκολακευκότα φίλιππον, καὶ τοὺς παρ᾽ ἐκείνου πρέσβεις οὐκ ἀναμείναντα, αἴτιον δὲ γεγονότα τῷ δήμῳ τοῦ μὴ μετὰ κοινοῦ συνεδρίου τῶν ἑλλήνων ποιήσασθαι τὴν εἰρήνην, ἔκδοτον καὶ φιλίππῳ πεποιηκότα Κερσοβλέπτην τὸν Θρᾴκης βασιλέα, ἄνδρα φίλον, καὶ σύμμαχον τῇ πόλει· ἐὰν ταῦθ᾽ ὑμῖν σαφῶς ἐπιδείξω, δέομαι ὑμῶν μετρίαν δέησιν, ἐπινεύσατέ μοι πρὸς θεῶν τὸν πρῶτον τῶν τεττάρων καιρῶν μὴ καλῶς αὐτὸν πεπολιτεῦσθαι· λέξω δὲ ὅθεν μάλιστα παρακολουθήσετε· Ἔγραψε Φιλοκράτης ἐξεῖναι φιλίππῳ, δεῦρο κήρυκας, καὶ πρέσβεις πέμπειν περὶ εἰρήνης, καὶ συμμαχίας· τοῦτο τὸ

ψήφισμα ἐγράφη παρανόμων· ἧκον οἱ τῆς κρίσεως χρόνοι· κατηγόρει μὲν Λυκῖνος ὁ γραψάμενος, ἀπελογεῖτο Φιλοκράτης, συναπελογεῖτο δὲ καὶ Δημοσθένης, ἀπέφυγε Φιλοκράτης· μετὰ ταῦτα ἐπῄει ὁ χρόνος, Θεμιστοκλῆς ἄρχων· ἐνταῦθα εἰσέρχεται βουλευτὴς εἰς τὸ βουλευτήριον Δημοσθένης, οὔτε λαχών, οὔτε ἐπιλαχών, ἀλλ' ἐκ παρασκευῆς πριάμενος· ἵν' εἰς ὑποδοχὴν ἅπαντα, καὶ λέγοι, καὶ πράττοι Φιλοκράτει, ὡς αὐτὸ ἔδειξε τὸ ἔργον· νικᾷ γὰρ ἕτερον ψήφισμα Φιλοκράτης· ἐν ᾧ κελεύει ἑλέσθαι δέκα πρέσβεις, οἵτινες ἀφικόμενοι πρὸς Φίλιππον ἀξιώσουσιν αὐτὸν δεῦρο πρέσβεις αὐτοκράτορας πέμπειν ὑπὲρ τῆς εἰρήνης· τούτων εἷς ἦν Δημοσθένης· κἀκεῖθεν ἐπανήκων ἐπαινέτης ἦν τῆς εἰρήνης· καὶ ταὐτὰ τοῖς ἄλλοις πρέσβεσιν ἀπήγγελλε· καὶ μόνος τῶν βουλευτῶν ἔγραψε σπείσασθαι τῷ κήρυκι τῷ ὑπὸ τοῦ Φιλίππου, καὶ τοῖς πρέσβεσιν ἀκόλουθα γράφων Φιλοκράτει, ὁ μέν γε τὴν ἐξουσίαν δέδωκε τοῦ δεῦρο κήρυκας, καὶ πρέσβεις πέμπεσθαι· ὁ δέ, τῇ πρεσβείᾳ σπένδεται· τὰ δὲ μετὰ ταῦτα ἤδη μοι σφόδρα προσέχετε τὸν νοῦν· ἐπράττετο γὰρ οὐ πρὸς τοὺς ἄλλους πρέσβεις τὰ πολλὰ συκοφαντηθέντας ὕστερον ἐκ μεταβολῆς ὑπὸ Δημοσθένους, ἀλλὰ πρὸς Φιλοκράτην, καὶ Δημοσθένην· εἰκότως τοὺς ἅμα μὲν πρεσβεύοντας, ἅμα δὲ τὰ ψηφίσματα γράφοντας, πρῶτον μέν, ὅπως μὴ περιμείνητε τοὺς πρέσβεις, οὓς ἦτε ἐκπεπομφότες, παρακαλοῦντες ἐπὶ Φίλιππον, ἵνα μὴ μετὰ τῶν Ἑλλήνων, ἀλλ' ἰδίᾳ ποιήσησθε τὴν εἰρήνην·

Δεύτερον δ' ὅπως μὴ μόνον τὴν εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν εἶναι ψηφιεῖσθε πρὸς Φίλιππον, ἵν' εἴ τινες προσέχοιεν τῷ πλήθει τῷ ὑμετέρῳ, εἰς τὴν ἐσχάτην ἐμπέσοιεν ἀθυμίαν, ὁρῶντες ὑμᾶς αὐτοὺς μὲν παρακαλοῦντας ἐπὶ τὸν πόλεμον, οἴκοι δὲ μὴ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν ἐψηφισμένους ποιεῖσθαι· Τρίτον δέ, ὅπως Κερσοβλέπτης ὁ Θρᾴκης βασιλεὺς μὴ ἔσται ἔνορκος, μήτε μετέσται τῆς συμμαχίας, καὶ τῆς εἰρήνης αὐτῷ· παρηγγέλλετο δὲ ἐπ' αὐτὸν ἤδη στρατεία· καὶ ταῦθ' ὁ μὲν ἐξωνούμενος οὐκ ἠδίκει· πρὸ γὰρ τῶν ὅρκων, καὶ τῶν συνθηκῶν ἀνεμέσητον ἦν αὐτῷ πράττειν τὰ συμφέροντα· οἱ δὲ ἀποδόμενοι καὶ κατακοινωνήσαντες τὰ τῆς πόλεως, ἰσχυρᾶς μεγάλης ὀργῆς ἦσαν ἄξιοι.

Ὁ γὰρ μισαλέξανδρος νυνὶ φάσκων εἶναι, καὶ τότε μισοφίλιπ-

φίλιππος· Δημοσθένης, ὁ τὴν ξενίαν ἐμοὶ προφέρων τὴν Ἀλεξάνδρου, γράφει ψήφισμα, τοὺς καιροὺς τῆς πόλεως ὑφαιρούμενος, ἐκκλησίαν ποιεῖν τοὺς πρυτάνεις τῇ ὀγδόῃ ἱσταμένου τοῦ ἐλαφηβολιῶνος μηνός, ὅτε ἦν τῷ Ἀσκληπιῷ ἡ θυσία, καὶ ὁ προαγὼν ἐν τῇ ἱερᾷ ἡμέρᾳ, ὃ πρότερον οὐδεὶς μέμνηται γενομένην τινά, πρόφασιν ποιησάμενος· ἵνα, φησὶν, ἐὰν ἤδη παρῶσιν οἱ τοῦ φιλίππου πρέσβεις, βουλεύσηται ὁ δῆμος ὡς τάχιστα περὶ τῶν πρὸς φίλιππον πρέσβεων, τοῖς οὔπω παροῦσι πρέσβεσι προκαταλαμβάνων τὴν ἐκκλησίαν, καὶ τοὺς χρόνους ὑμῶν ὑποτεμνόμενος, καὶ τὸ πρᾶγμα κατασπεύδων, ἵνα μὴ μετὰ τῶν ἄλλων ἑλλήνων, ἐπανελθόντων τῶν ὑμετέρων πρέσβεων, ἀλλὰ μόνοι ποιήσησθε τὴν εἰρήνην· μετὰ δὲ ταῦτα, ὦ ἀθηναῖοι, ἧκον οἱ τοῦ φιλίππου πρέσβεις· οἱ δὲ ὑμέτεροι ἀπεδήμουν παρακαλοῦντες τοὺς ἕλληνας ἐπὶ φίλιππον· ἐνταῦθα ἕτερον ψήφισμα νικᾷ Δημοσθένης, ἐν ᾧ γράφει μὴ μόνον ὑπὲρ τῆς εἰρήνης, ἀλλὰ καὶ συμμαχίας ὑμᾶς βουλεύσασθαι, μὴ περιμείναντας τοὺς πρέσβεις τοὺς ὑμετέρους, ἀλλ' εὐθὺς μετὰ τὰ ἐν ἄστει διονύσια, τῇ ὀγδόῃ καὶ ἐνάτῃ ἐπὶ δέκα· ὅτι δὲ ἀληθῆ λέγω, ἀκούσατε τῶν ψηφισμάτων·

Ψηφίσματα. Ἐπειδὴ τοίνυν, ὦ ἀθηναῖοι, παρεληλύθει τὰ διονύσια, ἐγίνοντο δὲ αἱ ἐκκλησίαι, ἐν δὲ τῇ προτέρᾳ τῶν ἐκκλησιῶν ἀνεγνώσθη δόγμα τῇ ὀγδόῃ ἐπὶ δέκα κοινὸν τῶν συμμάχων, οὗ τὰ κεφάλαια διὰ βραχέων ἐγὼ προερῶ· Πρῶτον μὲν γὰρ ἔγραψαν ὑπὲρ εἰρήνης ὑμᾶς μόνον βουλεύσασθαι· τὸ δὲ τῆς συμμαχίας ὄνομα ὑπερέβησαν, οὐκ ἐπιλελησμένοι, ἀλλὰ καὶ τὴν εἰρήνην ἀναγκαιοτέραν, ἢ καλλίω ὑπολαμβάνοντες εἶναι· ἔπειτα ἀπήντησαν ὀρθῶς ἰασόμενοι τὸ Δημοσθένους δωροδόκημα, καὶ προσέγραψαν ἐν τῷ δόγματι, ἐξεῖναι τῷ βουλομένῳ τῶν ἑλλήνων ἐν τρισὶ μησὶν εἰς τὴν αὐτὴν στήλην ἀναγεγράφθαι μετ' ἀθηναίων, καὶ μετέχειν τῶν ὅρκων, καὶ τῶν συνθηκῶν· δύο μέγιστα προκαταλαμβάνοντες· Πρῶτον μὲν οὖν τὸν χρόνον τὸν τῆς τελειώσεως ταῖς τῶν ἑλλήνων πρεσβείαις ἱκανὸν γενέσθαι παρασκευάζοντες, ἔπειτα τὴν τῶν ἑλλήνων εὔνοιαν τῇ πόλει μετὰ κοινοῦ συνεδρίου κτώμενοι· ἵν', εἰ παραβαίνοιντο αἱ συνθῆκαι, μὴ μόνοι μηδ' ἀπαράσκευοι πολεμήσαιμεν· ἃ νῦν ὑμῖν παθεῖν συνέβη διὰ Δημοσθένην· ὅτι δὲ ἀληθῆ λέγω, ἐξ αὐτοῦ

τοῦ δόγματος ἀκούσαντες μαθήσεσθε. Δόγμα συμμάχων. Τούτῳ τῷ δόγματι συνειπεῖν ὁμολογῶ, καὶ πάντες οἱ ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγοροῦντες· καὶ ὁ δῆμος ἀπῆλθε τοιαύτην τινὰ δόξαν εἰληφὼς, ὡς ἔσται μὲν εἰρήνη, περὶ δὲ συμμαχίας οὐκ ἄμεινον εἴη, διὰ τὴν τῶν Ἑλλήνων παράκλησιν, βουλεύσασθαι· ἔσται δὲ κοινὴ μετὰ τῶν Ἑλλήνων ἁπάντων· νὺξ ἐν μέσῳ, καὶ παρῆμεν τῇ ὑστεραίᾳ εἰς τὴν ἐκκλησίαν· ἐνταῦθα δὴ προκαταλαμβάνων Δημοσθένης τὸ βῆμα, οὐδενὶ τῶν ἄλλων παραλιπὼν λόγον, οὐδὲν ὄφελος ἔφη τῶν χθὲς εἰρημένων εἶναι λόγων, ἐὰν ταῦθ' οἱ φιλίππου μὴ συμπεισθήσονται πρέσβεις, οὐδὲ γινώσκειν ἔφη τὴν εἰρήνην, ἀπὸ τῆς συμμαχίας· οὐ γὰρ ἔφη δεῖν (καὶ γὰρ τὸ ῥῆμα μέμνημαι ὡς εἶπε διὰ τὴν ἀηδίαν τοῦ λέγοντος ἅμα καὶ τοῦ ὀνόματος) ἀπορρῆξαι τῆς εἰρήνης τὴν συμμαχίαν, οὐδὲ τὰ τῶν Ἑλλήνων ἀναμένειν μελλήματα, ἀλλ' ἢ πολεμεῖν αὐτοὺς, ἢ τὴν εἰρήνην ἰδίᾳ ποιεῖσθαι· καὶ τελευτῶν ἐπὶ τὸ βῆμα παρακαλέσας Ἀντίπατρον, ἐρώτημά τι ἠρώτα, προειπὼν μὲν ἃ ἐρήσεται, προδιδάξας δὲ, ἃ χρῆν κατὰ τῆς πόλεως ἀποκρίνασθαι. καὶ τέλος ταῦτα ἐνίκα, τῷ μὲν λόγῳ προβιασαμένου τοῦ Δημοσθένους· τὸ δὲ ψήφισμα γράψαντος Φιλοκράτους· ὃ δὲ ἦν ὑπόλοιπον αὐτοῖς, Κερσοβλέπτην, καὶ τὸν ἐπὶ Θρᾴκης τόπον ἔκδοτον ποιῆσαι, καὶ τοῦτ' ἔπραξαν ἕκτῃ φθίνοντος τοῦ ἐλαφηβολιῶνος μηνὸς, πρὶν ἐπὶ τὴν ὑστέραν ἀπαίρειν πρεσβείαν τὴν ἐπὶ τοὺς ὅρκους Δημοσθένην· ὁ γὰρ μισαλέξανδρος, καὶ μισοφίλιππος ὑμῖν οὗτος ῥήτωρ δὶς ἐπρέσβευσεν ἐν Μακεδονίᾳ, ἐξὸν μηδὲ ἅπαξ, ὁ νυνὶ κελεύων τῶν Μακεδόνων καταπτύειν· εἰς δὲ τὴν ἐκκλησίαν τὴν τῇ ἕκτῃ λέγω καθεζόμενος βουλευτὴς ὢν ἐκ παρασκευῆς, ἔκδοτον Κερσοβλέπτην μετὰ Φιλοκράτους ἐποίησε· λανθάνει γὰρ ὁ μὲν Φιλοκράτης ἐν ψηφίσματι μετὰ τῶν ἄλλων γραμμάτων παρεγγράψας· ὁ δ' ἐπιψηφίσας Δημοσθένης, ἐν ᾧ γέγραπται ἀποδοῦναι τοὺς ὅρκους τοῖς πρέσβεσι τοῖς παρὰ φιλίππου ἐν τῇδε τῇ ἡμέρᾳ τοὺς συνέδρους τῶν συμμάχων· παρὰ δὲ τοῦ Κερσοβλέπτου σύνεδρος οὐκ ἐκάθητο· γράψας δὲ τοὺς συνεδρεύοντας ὀμνύναι, τὸν Κερσοβλέπτην οὐ συνεδρεύοντα ἐξέκλεισε τῶν ὅρκων· ὅτι δὲ ἀληθῆ λέγω, ἀνάγνωθί μοι, τίς ἦν ὁ ταῦτα γράψας, καὶ τίς ὁ ταῦτα ἐπιψηφίσας πρόεδρος. Ψήφισμα.

Πρόεδρος· Καλόν, ὦ Ἀθηναῖοι, καλὸν, ἡ τῶν δημοσίων γραμμάτων φυλακή· ἀκίνητον γάρ ἐστι, καὶ οὐ μεταπίπτει τοῖς αὐτομολοῦσιν ἐν τῇ πολιτείᾳ, ἀλλ' ἀπέδωκε τῷ δήμῳ, ὁπόταν βούληται, συνιδεῖν τοὺς πάλαι μὲν πονηροὺς ἐκ μεταβολῆς δ' ἀξιοῦντας εἶναι χρηστούς· ὑπόλοιπον δέ μοι ἐστὶ τὴν κολακείαν αὐτοῦ διεξελθεῖν·

Δημοσθένης γὰρ ἐνιαυτὸν βουλεύσας, οὐδεμίαν πώποτε φανήσεται πρεσβείαν εἰς προεδρίαν καλέσας· ἀλλὰ τότε μόνον, καὶ πρῶτον πρέσβεις εἰς προεδρίαν ἔθηκε, καὶ προσκεφάλαια ἔθηκε, καὶ φοινικίδας περιεπέτασε, καὶ ἅμα τῇ ἡμέρᾳ ἡγεῖτο τοῖς πρέσβεσιν εἰς τὸ θέατρον, ὥστε καὶ συρίττεσθαι διὰ τὴν ἀσχημοσύνην, καὶ κολακείαν· καὶ ὅτε ἀπῄεσαν εἰς Θήβας, ἐμισθώσατο αὐτοῖς τρία ζεύγη ὀρικά, καὶ τοὺς πρέσβεις προὔπεμψεν εἰς Θήβας, ἐγκαταγέλαστον τὴν πόλιν ποιῶν· ἵνα δ' ἐπὶ τῆς ὑποθέσεως μείνω, λαβέ μοι τὸ ψήφισμα τὸ περὶ τῆς προεδρίας· Ψήφισμα· Οὗτος τοίνυν, ὦ Ἀθηναῖοι, ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ, πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου πυθόμενος τὴν Φιλίππου τελευτὴν, τῶν μὲν θεῶν συμπλάσας ἑαυτῷ ἐνύπνιον, κατεψεύσατο ὡς οὐ παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος, ἀλλὰ παρὰ τοῦ Διός, καὶ τῆς Ἀθηνᾶς, οὓς μεθ' ἡμέραν ἐπιορκῶν, νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι, καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν, ἑβδόμην δ' ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι, καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος, καὶ λευκὴν ἐσθῆτα λαβὼν, ἐβουθύτει, καὶ παρενόμει τὴν μόνην ὁ δείλαιος, καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν, ἀπολέσας, καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω· ὁ γὰρ μισότεκνος, καὶ πατὴρ πονηρὸς, οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστός, οὐδὲ ὁ τὰ φίλτατα, καὶ οἰκειότατα σώματα μὴ στέργων οὐδέ ποτε ὑμᾶς περὶ πλείονος ποιήσεται τοὺς ἀλλοτρίους, οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς, οὐκ ἄν ποτε γένοιτο δημοσίᾳ χρηστός· οὐδ' ὅστις ἐστὶν οἴκοι φαῦλος, οὐδέ ποτ' ἦν ἐν Μακεδονίᾳ κατὰ τὴν πρεσβείαν καλὸς, κἀγαθός· οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸν τόπον μόνον μετήλλαξε· πόθεν οὖν ἐπὶ τὴν μεταβολὴν ἦλθε τῶν πραγμάτων; οὗτος γάρ ἐστιν ὁ δεύτερος καιρὸς, καὶ τί ποτ' ἐστὶ τὸ αἴτιον, ὅτι Φιλοκράτης μὲν ἀπὸ τῶν αὐτῶν πολιτευμάτων Δημοσθένει φυγὰς ἀπαγγελίας γεγένηται,

νηται, Δημοσθένης δὲ ἀπέστη τῶν ἄλλων κατήγορος; καὶ πόθεν ποθ' ἡμᾶς εἰς τὰς ἀτυχίας ὁ μιαρὸς ἄνθρωπος ἐμβέβληκε, ταῦτ' ἤδη διαφερόντως ἄξιόν ἐστιν ἀκοῦσαι· ὡς γὰρ τάχιστα ἔσω Πυλῶν Φίλιππος παρῆλθε, καὶ τάς τε ἐν Φωκεῦσι πόλεις παραδόξως ἀναστάτους ἐποίησε, Θηβαίους δὲ, ὡς τόθ' ἡμῖν ἐδόκει, περαιτέρω καιροῦ, καὶ τοῦ ἡμετέρου συμφέροντος, ἰσχυροὺς κατεσκεύασεν, ὑμεῖς δὲ ἐκ τῶν ἀγρῶν φοβηθέντες, ἐσκευαγωγήκατε, ἐν ταῖς μεγίσταις δ' ἦσαν αἰτίαις οἱ πρέσβεις, οἱ περὶ τῆς εἰρήνης πρεσβεύσαντες, πολὺ δὲ τῶν ἄλλων διαφερόντως Φιλοκράτης, καὶ Δημοσθένης, διὰ τὸ μὴ μόνον πρεσβεύειν, ἀλλὰ καὶ ψηφίσματα γεγραφέναι·

Συνέβη δ' ἐν τοῖς αὐτοῖς χρόνοις διαφέρεσθαί τι τὸν Δημοσθένην, καὶ Φιλοκράτην, σχεδὸν ὑπὲρ τούτων, ὑπὲρ ὧν καὶ ὑμεῖς αὐτοὺς ὑπωπτεύσατε διενεχθῆναι· τοιαύτης δὲ ἐπιπτούσης ταραχῆς μετὰ τῶν συμφύτων νοσημάτων αὐτῷ, ἤδη τὰ μετὰ ταῦτα ἐβουλεύετο μετὰ δειλίας, καὶ τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας, καὶ ἡγήσατο, εἰ τῶν συμπρεσβευόντων, καὶ τοῦ Φιλίππου κατήγορος ἀναφανείη, τὸν μὲν Φιλοκράτην προδήλως ἀπολεῖσθαι, τοὺς δὲ ἄλλους συμπρέσβεις κινδυνεύσειν, αὐτὸς δ' εὐδοκιμήσειν, καὶ προδότης ὢν τῶν φίλων, καὶ πονηρὸς, πιστὸς τῷ δήμῳ φανήσεσθαι·

Κατιδόντες δ' αὐτὸν οἱ τῆς πόλεως προπολεμοῦντες ἡσυχῇ, ἄσμενοι παρεκάλουν ἐπὶ τὸ βῆμα τὸν μόνον ἀδωροδόκητον ὀνομάζοντες τῇ πόλει· ὁ δὲ, παριὼν ἀρχὰς αὐτοῖς ἐνεδίδου πολέμου, καὶ ταραχῆς· οὗτός ἐστιν, ὦ Ἀθηναῖοι, ὁ πρῶτος ἐξευρὼν Σέρριον τεῖχος, καὶ Δορίσκον, καὶ Ἐργίσκην καὶ Μυργίσκην καὶ Γάνος, καὶ Γανίδα χωρία· ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν πρότερον, καὶ ἐς τοῦτο φέρων περιέστησε τὰ πράγματα, ὥστ' εἰ μὲν μὴ πέμποι Φίλιππος πρέσβεις, καταφρονεῖν αὐτὸν ἔφη τῆς πόλεως, εἰ δὲ πέμποι, κατασκόπους πέμπειν, ἀλλ' οὐ πρέσβεις· εἰ δὲ ἐπιτρέπειν ἐθέλοι πόλει τινὶ ἴσῃ, καὶ ὁμοίᾳ περὶ τῶν ἐγκλημάτων, οὐκ εἶναι κριτὴν ἴσον ἡμῖν ἔφη, καὶ Φιλίππῳ· Ἁλόννησον ἐδίδου· ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ δίδωσιν, ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος· καὶ τὸ τελευταῖον στεφανώσας τοὺς μετὰ Ἀριστοδήμου εἰς Θετταλίαν, καὶ Μαγνησίαν παρὰ τὰς περὶ τῆς εἰρήνης συνθήκας ἐπιστρατεύσαντας, τὴν μὲν εἰρήνην διέλυσε, τὴν δὲ συμ-

φορμὴν, καὶ τὸν πόλεμον παρεσκεύασε· Ναί· ἀλλὰ χαλκοῖς, καὶ ἀδαμαντίνοις τείχεσιν, ὡς αὐτός φησι, τὴν χώραν ἡμῶν ἐτείχισε, τῇ τῶν Εὐβοέων, καὶ Θηβαίων συμμαχίᾳ· ἀλλ', ὦ ἀθηναῖοι, περὶ ταῦτα τρία μέγιστα ἠδίκησθε, καὶ μάλιστα ἠγνοήκατε· σπεύδων δ' εἰπεῖν περὶ τῆς μεγίστης συμμαχίας τῆς τῶν Θηβαίων, ἵνα ἐφεξῆς εἴπω, περὶ τῶν Εὐβοέων πρῶτον μνησθήσομαι. Ὑμεῖς γὰρ, ὦ ἀθηναῖοι, πολλὰ, καὶ μεγάλα ἠδικημένοι ὑπὸ Μνησάρχου τοῦ Χαλκιδέως, τοῦ Καλλίου, καὶ Ταυροσθένους πατρὸς, οὓς οὗτος νυνὶ μισθὸν λαβὼν, ἀθηναίους εἶναι τολμᾷ γράφειν, καὶ πάλιν ὑπὸ Θεμίσωνος τοῦ Ἐρετριέως, ὃς ἡμῶν εἰρήνης οὔσης Ὠρωπὸν ἀφείλετο· τούτων ἑκόντες ἐπιλανθανόμενοι, ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς, καὶ ναυσὶ, καὶ πεζικῇ δυνάμει· καὶ πρὶν τριάκοντα ἡμέρας διελθεῖν, ὑποσπόνδους Θηβαίους ἀφήκατε, κύριοι τῆς Εὐβοίας γενόμενοι· καὶ τὰς πόλεις αὐτὰς, καὶ τὰς πολιτείας ἀπέδοτε, ὀρθῶς καὶ δικαίως αὐτοῖς παρακαταθέμενοι· οὐχ ἡγούμενοι δίκαιον εἶναι τὴν ὀργὴν ἀπομνημονεύειν ἐν τῷ πιστευθῆναι· καὶ τηλικαῦθ' ὑφ' ὑμῶν εὖ πεπονθότες οἱ Χαλκιδεῖς, οὐ τὰς ὁμοίας ὑμῖν ἀπέδοσαν χάριτας· ἀλλ' ἐπειδὴ τάχιστα διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθήσοντες, τοὺς μὲν πρώτους χρόνους, ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι· ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας παρήλθομεν, καὶ τὸ Κοτύλαιον ὀνομαζόμενον ὄρος ὑπερεβάλομεν, ἐνταῦθα Καλλίας ὁ Χαλκιδεὺς, ὃν Δημοσθένης μισθὸν λαβὼν ἐνεχυρίαζεν, ὁρῶν τὸ στρατόπεδον τὸ τῆς πόλεως εἴς τινας δυσχωρίας κατακεκλεισμένον, ὅθεν μὴ νικήσασι μάχην, οὐκ ἦν ἀναχώρησις, οὔτε βοηθείας ἐλπὶς, οὔτ' ἐκ γῆς, οὔτ' ἐκ θαλάσσης, συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπεδον, καὶ παρὰ Φιλίππου δύναμιν προσμεταπεμψάμενος, ὅ, τ' ἀδελφὸς αὐτοῦ Ταυροσθένης, ὁ νυνὶ πάντας δεξιούμενος, καὶ προσγελῶν, τοὺς Φωκικοὺς ξένους διαβιβάσας, ἦλθον ἐφ' ἡμᾶς ὡς ἀναιρήσοντες· Καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπεδον, ἔπειθ' οἱ στρατιῶται οἱ ὑμέτεροι, καὶ πεζοὶ, καὶ ἱππεῖς, ἄνδρες ἀγαθοὶ ἐγένοντο, καὶ κατὰ τὸν ἱππόδρομον τὸν ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ κρατήσαντες, ἀφεῖσαν ὑποσπόνδους τοὺς πολεμίους, ἐκινδύνευσεν ἂν ἡμῖν ἡ πόλις αἴσχιστα παθεῖν· οὐ

γὰρ

γὰρ τὸ δυστυχῆσαι κατὰ πόλεμον μέγιστόν ἐστι κακόν, ἀλλ' ὅταν τις πρὸς ἀνταγωνιστὰς ἀναξίους ἑαυτοῦ διακινδυνεύων ἀποτύχῃ, διπλασίαν εἰκὸς εἶναι τὴν συμφοράν· ἀλλ' ὅμως ὑμεῖς τοιαῦτα πεπονθότες, πάλιν διελύσασθε πρὸς αὐτούς. Τυχὼν δὲ παρ' ὑμῶν συγγνώμης Καλλίας ὁ Χαλκιδεὺς, μικρὸν διαλιπὼν χρόνον, πάλιν ἧκε φερόμενος εἰς τὴν ἑαυτοῦ φύσιν, Εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς Χαλκίδα συνάγων, ἰσχυρὰν δὲ τὴν Εὔβοιαν ἐφ' ὑμᾶς ἔργῳ παρασκευάζων, ἐξαίρετον δ' αὑτῷ τυραννίδα περιποιούμενος, καὶ ταύτης ἐλπίζων συναγωνιστὴν Φίλιππον λήψεσθαι, ἀπῆλθεν εἰς Μακεδονίαν, καὶ περιῄει μετὰ Φιλίππου, καὶ τῶν ἑταίρων εἷς ὠνομάζετο· ἀδικήσας δὲ Φίλιππον, κἀκεῖθεν ἀποδρὰς ὑπέβαλεν ἑαυτὸν φέρων Θηβαίοις, ἐγκαταλιπὼν δὲ κἀκείνους, καὶ πλείους τραπόμενος τροπὰς τοῦ Εὐρίπου, παρ' ὃν ᾤκει, εἰς μέσον πίπτει τῆς Θηβαίων ἔχθρας, καὶ τῆς Φιλίππου· ἀπορῶν δ' ὅ, τι χρήσαιτο αὑτῷ, καὶ παραγγελλομένης ἐπ' αὐτὸν ἤδη στρατιᾶς, μίαν ἐλπίδα λοιπὴν κατεῖδε σωτηρίας, ἔνορκον λαβεῖν τὸν Ἀθηναίων δῆμον, σύμμαχον ὀνομασθέντα, βοηθήσειν, εἴ τις ἐπ' αὐτὸν ἴῃ· ὃ προδῆλον ἦν ἐσόμενον, εἰ μὴ ὑμεῖς κωλύσετε· ταῦτα δὲ διανοηθεὶς ἀποστέλλει δεῦρο πρέσβεις Γλαυκέτην, καὶ Ἐμπέδωνα, καὶ Διόδωρον τὸν δολιχοδρομήσαντα, φέροντας τῷ μὲν δήμῳ ἐλπίδας κενὰς, Δημοσθένει δ' ἀργύριον, καὶ τοῖς περὶ αὐτόν· Τρία δ' ἦν, ἃ ἅμα ἐξωνεῖτο·

Πρῶτον μὲν μὴ διασφαλῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας· οὐδὲν γὰρ ἦν τὸ μέσον, εἰ μνησθεὶς τῶν προτέρων ἀδικημάτων ὁ δῆμος, μὴ προσδέξαιτο τὴν συμμαχίαν, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἐκ Χαλκίδος, ἢ τεθνάναι ἐγκαταληφθέντι· τηλικαῦται δυνάμεις ἐπ' αὐτὸν ἐπεστράτευον, ἥτε Φιλίππου, καὶ ἡ Θηβαίων· Δεύτερον δ' ἧκον οἱ μισθοὶ τῷ γράψαντι τὴν συμμαχίαν ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι Χαλκιδέας·

Τρίτον δὲ, ὥστε μὴ τελεῖν συντάξεις, καὶ τούτων τῶν προαιρέσεων οὐδεμιᾶς ἀπέτυχε Καλλίας· ἀλλ' ὁ μισοτύραννος Δημοσθένης, ὡς αὐτὸς προσποιεῖται, ὅν φησι Κτησιφῶν τὰ βέλτιστα λέγειν, ἀπέδοτο μὲν τοὺς καιροὺς τοὺς τῆς πόλεως, ἔγραψε δ' ἐν τῇ συμμαχίᾳ βοηθεῖν ἡμᾶς Χαλκιδεῦσι, ῥῆμα μόνον ἀντικαταλλαξάμενος ἀντὶ τούτων εὐφημίας ἕνεκα προσγράψας· Χαλκιδέας βοηθεῖν ἐάν τις ἴῃ ἐπ' Ἀθηναίους· τὰς δὲ συνεδρίας, καὶ τὰς

συντάξεις, ἐξ ὧν ἰσχύσειν ὁ πόλεμος ἤμελλεν, ἄρδην ἀπέδοτο καλλίστοις ὀνόμασιν αἰσχίστας πράξεις γράφων, καὶ τῷ λόγῳ προσβιβάζων ὑμᾶς, τὰς μὲν βοηθείας ὡς δεῖ τὴν πόλιν πρότερον ποιεῖσθαι τοῖς ἀεὶ δεομένοις τῶν Ἑλλήνων· τὰς δὲ συμμαχίας ὑστέρας ποιεῖσθαι μετὰ τὰς εὐεργεσίας· ἵνα δὲ εὖ εἰδῆτε, ὅτι ἀληθῆ λέγω, λαβέ μοι τὴν Καλλίου γραφὴν, καὶ τὴν συμμαχίαν, καὶ ἀνάγνωθι τὸ ψήφισμα· Ψήφισμα· Οὔ πω τοίνυν τοῦτό ἐστι δεινὸν, εἰ οἱ καιροὶ πέπρανται τηλικοῦτοι, καὶ συνέδρια, καὶ συντάξεις, ἀλλὰ πολὺ τούτου δεινότερον ὑμῖν φανήσεται, ὃ μέλλω λέγειν· εἰς γὰρ τοῦτο προήχθη Καλλίας μὲν ὁ Χαλκιδεὺς ὕβρεως, καὶ πλεονεξίας, Δημοσθένης δὲ, ὃν ἐπαινεῖ Κτησιφῶν δωροδοκίας, ὥστε τὰς ἐξ Ὠρεοῦ συντάξεις, καὶ τὰς ἐξ Ἐρετρίας, τὰ δέκα τάλαντα ὁρώντων, φρονούντων, βλεπόντων, ἔλαθον ὑμῶν ὑφελόμενοι, καὶ τοὺς ἐκ τῶν πόλεων τούτους συνέδρους παρ' ὑμῶν μὲν ἀνέστησαν, πάλιν δὲ εἰς Χαλκίδα, καὶ τὸ καλούμενον Εὐβοϊκὸν συνέδριον συνήγαγον. ὃν δὲ τρόπον, καὶ δι' οἵων κακουργημάτων, ταῦτ' ἤδη ἄξιόν ἐστιν ἀκοῦσαι· ἀφικνεῖται γὰρ πρὸς ὑμᾶς οὐκ ἔτι δι' ἀγγέλων, ἀλλ' αὐτὸς ὁ Καλλίας, καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν, λόγους διεξῆλθε κατεσκευασμένους ὑπὸ Δημοσθένους· εἶπε γὰρ ὡς ἥκει ἐκ Πελοποννήσου νεωστὶ σύνταγμα συντάξας εἰς ἑκατὸν ταλάντων πρόσοδον ἐπὶ Φίλιππον, καὶ διελογίζετο ὅσον ἑκάστους ἔδει συντελεῖν· Ἀχαιοὺς μὲν πάντας, καὶ Μεγαρέας ἑξήκοντα τάλαντα· τὰς δ' ἐν Εὐβοίᾳ πόλεις ἁπάσας τετταράκοντα· ἐκ δὲ τούτων τῶν χρημάτων ὑπάρξειν καὶ ναυτικὴν, καὶ πεζὴν δύναμιν· εἶναι δὲ πολλοὺς ἄλλους τῶν Ἑλλήνων, οὓς βούλεσθαι κοινωνεῖν τῆς συντάξεως, ὡς οὔτε χρημάτων, οὔτε στρατιωτῶν ἔσεσθαι ἀπορίαν, καὶ ταῦτα μὲν τὰ φανερά· ἔφη δὲ καὶ πράξεις πράττειν ἑτέρας δι' ἀπορρήτων, καὶ τούτων εἶναί τινας μάρτυρας τῶν ἡμετέρων πολιτῶν, καὶ τελευτῶν ὀνομαστὶ παρεκάλει Δημοσθένην, καὶ συνειπεῖν ἠξίου· ὁ δὲ, σεμνῶς πάνυ παρελθὼν τόν τε Καλλίαν ὑπερεπῄνει, καὶ τὸ ἀπόρρητον προσεποιήσατο εἰδέναι· Τὴν δὲ εἰς Πελοπόννησον πρεσβείαν, ἣν ἐπρέσβευσε, καὶ τὴν ἐξ Ἀκαρνανίας ἔφη βούλεσθαι ὑμῖν ἀπαγγεῖλαι· ἦν δὲ αὐτῷ κεφάλαιον τῶν λόγων, πάντας μὲν Πελοποννησίους ὑπάρχειν, πάντας δ' Ἀκαρνᾶνας συντεταγμένους ἐπὶ Φίλιππον ὑφ' ἑαυτοῦ, εἶναι δὲ τὸ σύν-

ταγμα

ταγμα χρημάτων μὲν εἰς ἑκατὸν νεῶν ταχυναυτουσῶν πληρώματα, καὶ εἰς πεζοὺς στρατιώτας μυρίους, καὶ ἱππέας χιλίους, ὑπάρξειν δὲ πρὸς τούτοις τὰς πολιτικὰς δυνάμεις, ἐκ Πελοποννήσου μὲν πλείονας ἢ δισχιλίους ὁπλίτας, ἐξ Ἀκαρνανίας δὲ ἑτέρους τοσούτους· δεδόσθαι δὲ ἀπὸ πάντων τούτων τὴν ἡγεμονίαν ὑμῖν· πραχθήσεσθαι δὲ οὐκ εἰς μακρὰν, ἀλλ' εἰς τὴν ἕκτην ἐπὶ δέκα τοῦ ἀνθεστηριῶνος μηνός· εἰρῆσθαι γὰρ ἐν ταῖς πόλεσιν ὑπ' αὐτοῦ καὶ παρηγγέλθαι πάντας ἥκειν συνεδρεύσοντας Ἀθήναζε εἰς τὴν σελήνην· καὶ γὰρ τοῦτο ἄνθρωπος ἴδιον καὶ οὐ κοινὸν ποιεῖ· Οἱ μὲν γὰρ ἄλλοι ἀλαζόνες, ὅταν τι ψεύδωνται, ἀόριστα, καὶ ἀσαφῆ πειρῶνται λέγειν, φοβούμενοι τὸν ἔλεγχον· Δημοσθένης δ' ὅταν ἀλαζονεύηται, πρῶτον μὲν μεθ' ὅρκου ψεύδεται, ἐξώλειαν ἐπαρώμενος αὐτῷ, δεύτερον δὲ, ἃ εὖ οἶδεν, οὐδέ ποτε ἐσόμενα, τολμᾷ λέγειν ἀριθμῶν εἰς ὁπότ' ἔσται, καὶ ὧν τὰ σώματα οὐχ ἑώρακε, τούτων τὰ ὀνόματα λέγει κλέπτων τὴν ἀκρόασιν, καὶ μιμούμενος τοὺς τἀληθῆ λέγοντας· διὸ καὶ μάλιστα ἄξιός ἐστι μισεῖσθαι, ὅτι πονηρὸς ὢν, καὶ τὰ τῶν χρηστῶν σημεῖα διαφθείρει· ταῦτα δ' εἰπὼν δίδωσιν ἀναγνῶναι ψήφισμα τῷ γραμματεῖ, μακρότερον μὲν τῆς Ἰλιάδος, κενώτερον δὲ τῶν λόγων, οὓς εἴωθε λέγειν, καὶ τοῦ βίου ὃν βεβίωκε, μεστὸν δ' ἐλπίδων οὐκ ἐσομένων καὶ στρατοπέδων, οὐδέποτε συλλεγησομένων· ἀπαγαγὼν δ' ὑμᾶς ἄπωθεν ἀπὸ τοῦ κλέμματος, καὶ ἀνακρεμάσας ἀπὸ τῶν ἐλπίδων, ἐνταῦθα δὴ συστρέψας γράφει καλοῦν ἑλέσθαι πρέσβεις εἰς Ἐρέτριαν, οἵ τινες δεήσονται τῶν Ἐρετριέων (πάνυ γὰρ ἔδει δεηθῆναι αὐτῶν) μηκέτι διδόναι τὴν σύνταξιν ὑμῖν τὰ πέντε τάλαντα, ἀλλὰ Καλλίᾳ· καὶ πάλιν ἑτέρους αἱρεῖσθαι εἰς Ὠρεὸν πρὸς τοὺς Ὠρείτας πρέσβεις, οἵ τινες δεήσονται αὐτοῖς τὸν αὐτὸν Ἀθηναίοις φίλον καὶ ἐχθρὸν νομίζειν εἶναι· ἔπειτα ἀναφαίνεται περὶ ἁπάντων ἐπὶ τῷ ψηφίσματι πρὸς τῷ κλέμματι γράψας, καὶ τὰ πέντε τάλαντα τοὺς πρέσβεις ἀξιῶν τοὺς Ὠρείτας, μὴ ὑμῖν, ἀλλὰ Καλλίᾳ διδόναι· ὅτι δ' ἀληθῆ λέγω, ἀφελὼν τὸν κόμπον καὶ τὰς τριήρεις καὶ τὴν ἀλαζονείαν ἐκ τοῦ ψηφίσματος, ἀνάγνωθι, καὶ τοῦ κλέμματος ἅψαι, ὃ ὑφείλετο ὁ μιαρὸς καὶ ἀνόσιος ἄνθρωπος, ὅν φησι Κτησιφῶν ἐν τῷδε τῷ ψηφίσματι διατελεῖν λέγοντα καὶ πράττοντα τὰ ἄριστα τῷ δήμῳ τῶν Ἀθηναίων· Ψήφισμα·

ΟΙ'κου

Οὐκοῦν τὰς μὲν τριήρεις, καὶ τὴν πεζὴν στρατιάν, καὶ τὴν πανσέληνον, καὶ τοὺς συνέδρους λόγῳ ἠκούσατε, τὰς δὲ συντάξεις τῶν συμμάχων, τὰ δέκα τάλαντα, ἔργῳ ἀπωλέσατε· ὑπόλοιπον δέ μοι ἐστὶν εἰπεῖν, ὅτι λαβὼν τρία τάλαντα μισθόν, τὴν γνώμην ταύτην ἔγραψε Δημοσθένης, τάλαντον μὲν ἐκ Χαλκίδος παρὰ Καλλίου, τάλαντον δὲ ἐξ Ἐρετρίας παρὰ Κλειτάρχου τοῦ τυράννου, τάλαντον δὲ ἐξ Ὠρεοῦ· διὸ καὶ καταφανὴς ἐγένετο, δημοκρατουμένων τῶν Ὠρειτῶν, καὶ πάντα πραττόντων μετὰ ψηφίσματος· ἐξανηλωμένοι γὰρ ἐν τῷ πρὸς Φίλιππον πολέμῳ, καὶ παντελῶς ἀπόρως διακείμενοι, πέμπουσι πρὸς αὐτὸν Γνωσίδημον τὸν Χαριγένους υἱόν, τοῦ δυναστεύσαντός ποτε ἐν Ὠρεῷ, δεησόμενον αὐτοῦ, τὸ μὲν τάλαντον ἀφιέναι τῇ πόλει, ἐπαγγελλόμενον δ᾽ αὐτῷ χαλκῆν εἰκόνα σταθήσεσθαι ἐν Ὠρεῷ· ὁ δὲ ἀπεκρίνατο τῷ Γνωσιδήμῳ, ὅτι ἐλαχίστου χαλκοῦ οὐδὲν δέοιτο, τὸ δὲ τάλαντον διὰ τοῦ Καλλίου εἰσέπραττεν· ἀναγκαζόμενοι δὲ οἱ Ὠρεῖται καὶ οὐκ εὐποροῦντες, ὑπέθεσαν αὐτῷ τοῦ ταλάντου τὰς δημοσίας προσόδους, καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν, καὶ ταῦτ᾽ ἐπράχθη μετὰ ψηφίσματος τοῦ δήμου· ὅτι δὲ ἀληθῆ λέγω, λαβέ μοι τὸ ψήφισμα τῶν Ὠρειτῶν. Ψήφισμα. Τοῦτ᾽ ἐστὶ τὸ ψήφισμα, ὦ ἀθηναῖοι, αἰσχύνη μὲν τῆς πόλεως, ἔλεγχος δὲ οὐ μικρὸς τῶν Δημοσθένους πολιτευμάτων, φανερὰ δὲ κατηγορία Κτησιφῶντος· τὸν γὰρ οὕτως αἰσχρῶς δωροδοκοῦντα οὐκ ἔστιν ἄνδρα γεγονέναι ἀγαθόν, ἃ τετόλμηκεν οὗτος γράψαι ἐν τῷ ψηφίσματι· ἐνταῦθα ἤδη τέτακται καὶ ὁ τρίτος τῶν καιρῶν, μᾶλλον δ᾽ ὁ πάντων πικρότατος χρόνος, ἐν ᾧ Δημοσθένης ἀπώλεσε τὰς τῶν ἑλλήνων, καὶ τῆς πόλεως πράξεις, ἀσεβήσας μὲν εἰς τὸ ἱερὸν τὸ ἐν δελφοῖς, ἄδικον δὲ καὶ οὐδαμῶς ἴσην τὴν πρὸς Θηβαίους συμμαχίαν γράψας· ἄρξομαι δὲ ἀπὸ τῶν εἰς τοὺς θεοὺς αὐτοῦ πλημμελημάτων λέγειν· Ἔστι γάρ, ὦ ἀθηναῖοι, τὸ Κιρραῖον ὠνομασμένον πεδίον, καὶ λιμὴν ὁ νῦν ἐξάγιστος καὶ ἐπάρατος ὠνομασμένος· ταύτην ποτὲ τὴν χώραν κατῴκησαν Κιρραῖοι καὶ Ἀκραγαλλίδαι, γένη παρανομώτατα, οἳ εἰς τὸ ἱερὸν τὸ ἐν Δελφοῖς, καὶ τὰ ἀναθήματα ἠσέβουν, ἐξημάρτανον δὲ καὶ εἰς τοὺς Ἀμφικτύονας· ἀγανακτήσαντες δ᾽ ἐπὶ τοῖς γιγνομένοις μάλιστα μέν, ὡς λέγονται, οἱ πρόγονοι οἱ ὑμέτεροι,

ἔπει-

ἔπειτα καὶ οἱ ἄλλοι Ἀμφικτύονες, μαντείαν ἐμαντεύσαντο παρὰ τῷ θεῷ, τίνι χρὴ τιμωρίᾳ τοὺς ἀνθρώπους τούτους μετελθεῖν· καὶ αὐτοῖς ἀναιρεῖ ἡ Πυθία πολεμεῖν Κιρραίοις καὶ Ἀκραγαλλίδαις πάντ' ἤματα καὶ πάσας νύκτας, καὶ τὴν χώραν αὐτῶν ἐκπορθήσαντας, καὶ αὐτοὺς ἀνδραποδισαμένους, ἀναθεῖναι τῷ Ἀπόλλωνι τῷ Πυθίῳ, καὶ τῇ Ἀρτέμιδι, καὶ Λητοῖ, καὶ Ἀθηνᾷ Προνοίᾳ, ἐπὶ πάσῃ ἀεργίᾳ· καὶ ταύτην τὴν χώραν μήτ' αὐτοὺς ἐργάζεσθαι, μήτ' ἄλλον ἐᾶν· λαβόντες δὲ τὸν χρησμὸν οἱ Ἀμφικτύονες ἐψηφίσαντο Σόλωνος εἰπόντος Ἀθηναίου τὴν γνώμην, ἀνδρὸς καὶ νομοθετῆσαι δυνατοῦ, καὶ περὶ ποίησιν καὶ φιλοσοφίαν διατετριφότος ἐπιστρατεύειν ἐπὶ τοὺς ἐναγεῖς, κατὰ τὴν μαντείαν τοῦ θεοῦ· καὶ συναθροίσαντες δύναμιν ἱκανὴν ἐκ τῶν Ἀμφικτυόνων, ἐξηνδραποδίσαντο τοὺς ἀνθρώπους, καὶ τοὺς λιμένας ἔχωσαν, καὶ τὴν πόλιν αὐτῶν κατέσκαψαν, καὶ τὴν χώραν αὐτῶν καθιέρωσαν κατὰ τὴν μαντείαν· καὶ ἐπὶ τούτοις ὅρκον ὤμοσαν ἰσχυρὸν, μήτε αὐτοὶ τὴν ἱερὰν γῆν ἐργάσεσθαι, μήτε ἄλλῳ ἐπιτρέψειν, ἀλλὰ βοηθήσειν τῷ θεῷ, καὶ τῇ γῇ τῇ ἱερᾷ, καὶ χειρὶ, καὶ ποδὶ, καὶ πάσῃ δυνάμει, καὶ οὐκ ἀπέχρησεν αὐτοῖς τοῦτον μόνον τὸν ὅρκον ὀμόσαι, ἀλλὰ καὶ προστροπὴν καὶ ἀρὰν ἰσχυρὰν ὑπὲρ τούτων ἐποιήσαντο· γέγραπται γὰρ οὕτως ἐν τῇ ἀρᾷ· εἴ τις τάδε φησὶ παραβαίνοι, ἢ πόλις, ἢ ἰδιώτης, ἢ ἔθνος, ἐναγὴς φησὶν ἔσω τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος, καὶ Λητοῦς, καὶ Ἀθηνᾶς Προνοίας· καὶ ἐπεύχεται αὐτοῖς μηδὲ γῆν καρποὺς φέρειν, μήτε γυναῖκας τέκνα τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα· μηδὲ βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι· ἧτταν δὲ αὐτοῖς εἶναι πολέμου, καὶ δικῶν, καὶ ἀγορῶν, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς, καὶ οἰκίας, καὶ γένος τὸ ἐκείνων, καὶ μή ποτέ φησιν ὁσίως θύσαιεν τῷ Ἀπόλλωνι, μηδὲ τῇ Ἀρτέμιδι, μηδὲ τῇ Λητοῖ, μηδ' Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐτοῖς τὰ ἱερά· ὅτι δὲ ἀληθῆ λέγω, ἀνάγνωθι τὴν τοῦ θεοῦ μαντείαν, ἀκούσατε τῆς ἀρᾶς, ἀναμνήσθητε τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι μετὰ τῶν Ἀμφικτυόνων συνώμοσαν.

Μαντεία. Ὅρκοι. Ἀρά.

Οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες,
Πρίν γε θεοῦ τεμένει κυανώπιδος ἀμφιτρίτης,
Κῦμα ποτικλύζῃ κελαδοῦν ἱεραῖσιν ἐπ' ἀκταῖς.

Ταύτης τῆς ἀρᾶς, καὶ τῶν ὅρκων, καὶ τῆς μαντείας ἀναγεγραμ-

μένης,

μένης, ἀναγεγραμμένων ἐπὶ τῷ νεῷ, οἱ Λοκροὶ, οἱ Ἀμφισσεῖς, μᾶλλον δὲ οἱ προεστηκότες αὐτῶν ἄνδρες παρανομώτατοι ἐπηργάζοντο τὸ πεδίον, καὶ τὸν λιμένα τὸν ἐξάγιστον καὶ ἐπάρατον πάλιν ἐτείχισαν, καὶ συνῴκισαν, καὶ τέλη τοὺς παραπλέοντας ἐξέλεγον, καὶ τῶν ἀφικνουμένων εἰς Δελφοὺς Πυλαγόρων ἐνίους χρήμασι διέφθειραν, ὧν εἷς ἦν Δημοσθένης· χειροτονηθεὶς γὰρ ὑφ' ὑμῶν Πυλαγόρας, λαμβάνει χιλίας δραχμὰς παρὰ τῶν Ἀμφισσέων, ὑπὲρ τοῦ μηδεμίαν μνείαν περὶ αὐτῶν ἐν τοῖς Ἀμφικτύοσι ποιήσασθαι· διωμολογήθη δ' αὐτῷ καὶ εἰς τὸν λοιπὸν χρόνον ἀποσταλήσεσθαι Ἀθήναζε τοῦ ἐνιαυτοῦ ἑκάστου μνᾶς εἴκοσι τῶν ἐξαγίστων καὶ ἐπαράτων χρημάτων, ἐφ' ᾧτε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν Ἀθήνησι κατὰ πάντα τρόπον· ὅθεν μᾶλλον ἢ πρότερον συμβέβηκεν αὐτῷ ὅτου ἂν προσάψηται ἀνδρὸς ἰδιώτου, ἢ δυνάστου, ἢ πόλεως δημοκρατουμένης, τούτων ἑκάστους ἀνιάτοις κακοῖς περιβάλλειν· σκέψασθε δὴ τὸν δαίμονα καὶ τὴν τύχην ὡς περιεγένετο τῆς τῶν Ἀμφισσέων ἀσεβείας· ἐπὶ γὰρ Θεοφράστου ἄρχοντος, ἱερομνήμονος ὄντος Διογνήτου Ἀναφλυστίου Πυλαγόρους ὑμεῖς εἵλεσθε, Μειδίαν τε ἐκεῖνον τὸν Ἀναγυράσιον, ὃν ἐβουλόμην ἂν πολλῶν ἕνεκα ζῆν, καὶ Θρασυκλέα τὸν Λέσβιον, καὶ τρίτον δὲ μετὰ τούτων ἐμέ· συνέβη δὲ ἡμῖν ἀρτίως μὲν εἰς Δελφοὺς ἀφῖχθαι, παραχρῆμα δὲ τὸν ἱερομνήμονα Διόγνητον πυρέττειν· τὸ δ' αὐτὸ τοῦτο συνεπεπτώκει καὶ τῷ Μειδίᾳ, οἱ δ' ἄλλοι συνεκάθηντο Ἀμφικτύονες· ἐξηγγέλλετο δ' ἡμῖν παρὰ τῶν βουλομένων εὔνοιαν ἐνδείκνυσθαι τῇ πόλει, ὅτι οἱ Ἀμφισσεῖς ὑποπεπτωκότες τότε καὶ δεινῶς θεραπεύοντες τοὺς Θηβαίους, εἰσέφερον δόγμα κατὰ τῆς ὑμετέρας πόλεως πεντήκοντα ταλάντοις ζημιῶσαι τὸν δῆμον τῶν Ἀθηναίων, ὅτι τὰς χρυσᾶς ἀσπίδας ἀνέθεμεν, πρὸς τὸν καινὸν νεὼν πρὶν ἐξειργάσθαι, καὶ ἐπεγράψαμεν τὸ προσῆκον, ἐπίγραμμα· Ἀθηναῖοι ἀπὸ Μήδων καὶ Θηβαίων, ὅτε τἀναντία τοῖς Ἕλλησιν ἐμάχοντο· μεταπεμψάμενος δὲ ὁ ἱερομνήμων ἠξίου εἰσελθεῖν εἰς τὸ συνέδριον, καὶ εἰπεῖν τι πρὸς τοὺς Ἀμφικτύονας ὑπὲρ τῆς πόλεως, καὶ αὐτὸν οὕτω προῃρημένον· ἀρχομένου δέ μου λέγειν καὶ προθυμότερόν πως εἰσεληλυθότος εἰς τὸ συνέδριον τῶν ἄλλων Πυλαγόρων μεθεστηκότων, ἀναβοήσας τις τῶν Ἀμφισσέων, ἄνθρωπος ἀσελγέστατος καὶ, ὡς ἐμοὶ ἐφαίνετο, οὐδεμιᾶς παιδείας μετεσχηκὼς, ἴσως δὲ καὶ δαιμονίου τινὸς

ἐξα-

ἐξαμαρτάνειν αὐτὸν προηγουμένου, ἀρχὴν δέ γε, ἔφη, ὦ ἄνδρες Ἕλληνες, εἰ ἐσωφρονεῖτε, οὐδ' ἂν ὠνομάζετο τοὔνομα τοῦ δήμου τῶν Ἀθηναίων ἐν ταῖσδε ταῖς ἡμέραις, ἀλλ' ὡς ἐναγεῖς ἐξείργετο ἐκ τοῦ ἱεροῦ· ἅμα δὲ ἐμέμνητο τῆς τῶν Φωκέων συμμαχίας, ἣν ὁ Κρωβύλος ἐκεῖνος ἔγραψε, καὶ ἄλλα πολλὰ καὶ δυσχερῆ κατὰ τῆς πόλεως διεξῄει λέγων, ἃ ἐγὼ οὔτε τότ' ἐκαρτέρουν ἀκούων, οὔτε νῦν ἡδέως μέμνημαι αὐτῶν· ἀκούσας δέ, οὕτω παρωξύνθην, ὡς οὐδεπώποτ' ἐν τῷ ἐμαυτοῦ βίῳ· καὶ τοὺς μὲν ἄλλους λόγους ὑπερβήσομαι· ἐπῆλθε δ' οὖν μοι ἐπὶ τὴν γνώμην μνησθῆναι τῆς τῶν Ἀμφισσέων ἐπὶ τὴν γῆν τὴν ἱερὰν ἀσεβείας, καὶ αὐτόθεν ἑστηκὼς ἐδείκνυον τοῖς Ἀμφικτύοσιν· ὑπόκειται γὰρ τὸ Κιρραῖον πεδίον τῷ ἱερῷ, καὶ ἔστιν εὐσύνοπτον· ὁρᾶτε, ἔφην ἐγώ, ὦ ἄνδρες Ἀμφικτύονες, ἐξειργασμένον τοῦτο τὸ πεδίον ὑπὸ τῶν Ἀμφισσέων, καὶ κεραμεῖα ἐνῳκοδομημένα καὶ ἐπαύλια; ὁρᾶτε τοῖς ὀφθαλμοῖς τὸν ἐξάγιστον καὶ ἐπάρατον λιμένα τετειχισμένον; ἴστε τούτους αὐτοί· καὶ οὐδὲν ἑτέρων δεῖσθε μαρτύρων, τέλη πεπραχότας καὶ χρήματα λαμβάνοντας ἐκ τοῦ ἱεροῦ λιμένος· ἅμα δὲ ἀναγινώσκειν ἐκέλευον αὐτοῖς τὴν μαντείαν τοῦ θεοῦ, τὸν ὅρκον τῶν προγόνων, τὴν ἀρὰν τὴν γενομένην· καὶ διωριζόμην, ὅτι ἐγὼ μὲν ὑπὲρ τοῦ δήμου τῶν Ἀθηναίων καὶ τοῦ σώματος καὶ τῶν τέκνων καὶ οἰκίας τῆς ἐμαυτοῦ βοηθῶ κατὰ τὸν ὅρκον, καὶ τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ, καὶ χειρὶ καὶ ποδὶ καὶ φωνῇ, καὶ πᾶσιν οἷς δύναμαι, καὶ τὴν πόλιν τὴν ἡμετέραν τὰ πρὸς τοὺς θεοὺς ἀφοσιῶ· ὑμεῖς δὲ ὑπὲρ ὑμῶν αὐτῶν ἤδη βουλεύεσθε· ἐνῆρκται μὲν τὰ κανᾶ, παρέστηκε δὲ τοῖς βωμοῖς τὰ θύματα, μέλλετε δ' αἰτεῖν τοὺς θεοὺς τἀγαθὰ καὶ κοινῇ καὶ ἰδίᾳ· σκοπεῖτε δὴ ποίᾳ φωνῇ, ποίᾳ ψυχῇ, ποίοις ὄμμασι, τίνα τόλμαν κτησάμενοι, τὰς ἱκεσίας ποιήσεσθε, τούτους παρέντες ἀτιμωρήτους τοὺς ἐναγεῖς καὶ ταῖς ἀραῖς ἐνόχους· ΟΥ' γὰρ δι' αἰνιγμάτων, ἀλλ' ἐναργῶς γέγραπται ἐν τῇ ἀρᾷ κατά τε τῶν ἀσεβησάντων, ἃ χρὴ παθεῖν αὐτούς, καὶ κατὰ τῶν ἐπιτρεψάντων, καὶ τελευταῖον ἐν τῇ ἀρᾷ γέγραπται, μηδ' ὁσίως θύσαιεν οἱ μὴ τιμωροῦντές φησι τῷ Ἀπόλλωνι, μήτε τῇ Ἀρτέμιδι, μήτε τῇ Λητοῖ, μηδὲ Ἀθηνᾷ Προνοίᾳ, μηδὲ δέξαιντο αὐτῶν τὰ ἱερά· Τοιαῦτα καὶ πρὸς τούτοις ἕτερα πολλὰ διεξελθόντος ἐμοῦ, ἐπειδή ποτε ἀπηλλάγην καὶ μετέστην ἐκ τοῦ συνεδρίου, κραυγὴ πολ-

λή,

λῇ, καὶ θόρυβος ἦν τῶν Ἀμφικτυόνων, καὶ λόγος ἦν οὐκ ἔτι περὶ τῆς ἀσπίδων ἃς ἡμεῖς ἀνέθεμεν, ἀλλ᾽ ἤδη περὶ τῆς τῶν Ἀμφιστέων τιμωρίας· ἤδη δὲ πόρρω τῆς ἡμέρας οὔσης, προελθὼν ὁ κῆρυξ ἀνεῖπε· Δελφῶν ὅσοι ἐπὶ διετὲς ἡβῶσι καὶ δούλους καὶ ἐλευθέρους ἥκειν ἅμα τῇ ἡμέρᾳ, ἔχοντας ἅμας καὶ δικέλλας πρὸς τὸ Θυτεῖον ἐκεῖ καλούμενον· καὶ πάλιν ὁ αὐτὸς κῆρυξ ἀνηγόρευε, τοὺς ἱερομνήμονας καὶ Πυλαγόρους ἥκειν εἰς τὸν αὐτὸν τόπον βοηθήσοντας τῷ θεῷ καὶ τῇ γῇ τῇ ἱερᾷ· Ἥτις δ᾽ ἂν μὴ παρῇ πόλις, εἴρξεται τοῦ ἱεροῦ, καὶ ἐναγὴς ἔσαι καὶ τῇ ἀρᾷ ἔνοχος, τῇ δὲ ὑστεραίᾳ ἥκομεν ἕωθεν εἰς τὸν προειρημένον τόπον, καὶ κατέβημεν εἰς τὸ Κιῤῥαῖον πεδίον, καὶ τὸν λιμένα κατασκάψαντες, καὶ τὰς οἰκίας ἐμπρήσαντες ἀνεχωροῦμεν· ταῦτα δὲ ἡμῶν πραττόντων, οἱ Λοκροὶ οἱ Ἀμφιστεῖς ἑξήκοντα στάδια ἄπωθεν οἰκοῦντες Δελφῶν, ἧκον πρὸς ἡμᾶς μεθ᾽ ὅπλων πανδημεί· καὶ εἰ μὴ δρόμῳ μόλις ἐξεφύγομεν εἰς Δελφοὺς, ἐκινδυνεύσαμεν ἀπολέσθαι· τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ Κόττυφος, ὁ τὰς γνώμας ἐπιψηφίζων, ἐκκλησίαν ἐποίει τῶν Ἀμφικτυόνων· ἐκκλησίαν γὰρ ὀνομάζουσι, ὅταν μὴ μόνον τοὺς Πυλαγόρους καὶ τοὺς ἱερομνήμονας συγκαλέσωσιν, ἀλλὰ καὶ τοὺς συνθύοντας, καὶ χρωμένους τῷ θεῷ· ἐνταῦθ᾽ ἤδη πολλαὶ μὲν τῶν Ἀμφιστέων ἐγίνοντο κατηγορίαι, πολὺς δ᾽ ἔπαινος ἦν κατὰ τῆς ὑμετέρας πόλεως· τέλος δὲ παντὸς τοῦ λόγου ψηφίζονται ἥκειν τοὺς ἱερομνήμονας πρὸ τῆς ἐπιούσης Πυλαίας ἐν ῥητῷ χρόνῳ εἰς Πύλας, ἔχοντας δόγμα καθότι δίκας δώσουσιν οἱ Ἀμφιστεῖς ὑπὲρ ὧν εἰς τὸν θεὸν καὶ τὴν γῆν τὴν ἱερὰν καὶ τοὺς Ἀμφικτύονας ἐξήμαρτον· ὅτι δὲ ἀληθῆ λέγω ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ψήφισμα.

Ψήφισμα.

Τοῦ δόγματος ἐν τούτῳ ἀποδοθέντος ὑφ᾽ ἡμῶν ἐν τῇ βουλῇ, καὶ πάλιν ἐν τῇ ἐκκλησίᾳ τῷ δήμῳ, καὶ τὰς πράξεις ἡμῶν ἀποδεξαμένου τοῦ δήμου, καὶ τῆς πόλεως πάσης προαιρουμένης εὐσεβεῖν, καὶ Δημοσθένους ὑπὲρ τοῦ μεσεγγυήματος τοῦ ἐξ Ἀμφίσσης ἀντιλέγοντος, καὶ ἐμοῦ φανερῶς ἐναντίον ὑμῶν ἐξελέγχοντος· ἐπειδὴ ἐκ τοῦ φανεροῦ τὴν πόλιν ἄνθρωπος οὐκ ἠδύνατο σφῆλαι, εἰσελθὼν εἰς τὸ βουλευτήριον, καὶ μεταστησάμενος τοὺς ἰδιώτας, ἐκφέρεται προβούλευμα εἰς τὴν ἐκκλησίαν, προσλαβὼν τὴν τοῦ γράψαντος ἀπειρίαν· τὸ δ᾽ αὐτὸ τοῦτο καὶ ἐν τῇ ἐκ-

κλησίᾳ

ἐκκλησίᾳ διεπράξατο ἐπιψηφισθῆναι, καὶ γενέσθαι τοῦ δήμου τὸ ψήφισμα, ἤδη ἐπαναστάσης τῆς ἐκκλησίας, ἀπεληλυθότος ἐμοῦ· οὐ γὰρ ἄν ποτε ἐπέτρεψα, καὶ τῶν πολλῶν δὲ ἀφειμένων, οὗ τὸ κεφάλαιόν ἐστι· τὸν δὲ ἱερομνήμονα, φησὶ, τῶν ἀθηναίων, καὶ τοὺς Πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας πορεύεσθαι εἰς Πύλας καὶ εἰς Δελφοὺς ἐν τοῖς τεταγμένοις χρόνοις ὑπὸ τῶν προγόνων, εὐπρεπῶς γε τῷ ὀνόματι, ἀλλὰ τῷ ἔργῳ αἰσχρῶς· κωλύει γὰρ εἰς τὸν σύλλογον τὸν ἐν Πύλαις ἀπαντᾶν, ὃς ἐξ ἀνάγκης πρὸ τοῦ καθήκοντος ἔμελλε χρόνου γίνεσθαι· καὶ πάλιν ἐν τῷ αὐτῷ ψηφίσματι πολὺ καὶ σαφέστερον καὶ πικρότερον σύγγραμμα γράφει· τὸν ἱερομνήμονα, φησὶ, τῶν ἀθηναίων καὶ τοὺς Πυλαγόρους τοὺς ἀεὶ πυλαγοροῦντας μὴ μετέχειν τοῖς ἐκεῖ συλλεγομένοις, μὴ λόγων, μήτε ἔργων, μήτε δογμάτων, μήτε πράξεως μηδεμιᾶς· τὸ δὲ μὴ μετέχειν τί ἐστι; πότερα τ' ἀληθὲς εἴπω, ἢ τὸ ἥδιστον ἀκοῦσαι; τὸ ἀληθὲς ἐρῶ· τὸ γὰρ ἀεὶ πρὸς ἡδονὴν λεγόμενον οὑτωσὶ τὴν πόλιν διατέθηκεν· οὐκ ἐᾷ μεμνῆσθαι τῶν ὅρκων, οὓς ὑμῶν οἱ πρόγονοι ὤμοσαν, οὐδὲ τῆς ἀρᾶς, οὐδὲ τῆς τοῦ θεοῦ μαντείας.

Ὑμεῖς μὲν οὖν, ὦ ἀθηναῖοι, κατεμείναμεν διὰ τοῦτο τὸ ψήφισμα, οἱ δ' ἄλλοι Ἀμφικτύονες συνελέγησαν εἰς Πύλας, πλὴν μιᾶς πόλεως, ἧς ἐγὼ οὔτ' ἂν τοὔνομα εἴποιμι, μήθ' αἱ συμφοραὶ παραπλήσιοι γένοιντο αὐτοῖς μηδενὶ τῶν ἑλλήνων, καὶ συνελθόντες ἐψηφίσαντο ἐπιστρατεύειν ἐπὶ τοὺς Ἀμφισσέας. Καὶ στρατηγὸν εἵλοντο Κόττυφον τὸν Φαρσάλιον, τὸν τότε τὰς γνώμας ἐπιψηφίζοντα, οὐκ ἐπιδημοῦντος ἐν Μακεδονίᾳ φιλίππου, ἀλλ' οὐδ' ἐν τῇ ἑλλάδι παρόντος, ἀλλ' ἐν Σκύθαις οὕτω μακρὰν ἀπόντος· ὃν αὐτίκα μάλιστα τολμήσει λέγειν Δημοσθένης ὡς ἐγὼ ἐπὶ τοὺς ἕλληνας ἐπήγαγον· καὶ παρελθόντες τῇ πρώτῃ στρατιᾷ καὶ μάλα μετρίως ἐχρήσαντο τοῖς Ἀμφισσεῦσιν· ἀντὶ γὰρ τῶν μεγίστων ἀδικημάτων χρήμασιν αὐτοὺς ἐζημίωσαν, καὶ ταῦτα ἐν ῥητῷ χρόνῳ προεῖπον τῷ θεῷ καταθεῖναι.

Καὶ τοὺς μὲν ἐναγεῖς καὶ τῶν πεπραγμένων αἰτίους μετεστήσαντο· τοὺς δὲ δι' εὐσέβειαν φυγόντας κατήγαγον·

Ἐπειδὴ δὲ οὐδὲ τὰ χρήματα ἐξέτινον τῷ θεῷ, τούς τ' ἐναγεῖς κατήγαγον, καὶ τοὺς εὐσεβεῖς κατελθόντας διὰ τῶν Ἀμφικτυόνων ἐξέβαλλον, οὕτως ἤδη τὴν δευτέραν ἐπὶ τοὺς Ἀμφισσεῖς στρατείαν ἐποιήσαντο, πολλῷ

χρό-

χρόνῳ ὕστερον ἐπανελθόντος Φιλίππου ἐκ τῆς ἐπὶ τοὺς Σκύθας στρατείας, τῶν μὲν θεῶν τὴν ἡγεμονίαν τῆς εὐσεβείας ἡμῖν παραδεδωκότων, τῆς δὲ Δημοσθένους δωροδοκίας ἐμποδὼν γεγενημένης· ἀλλ' οὐ προὔλεγον, οὐ προεσήμαινον ἡμῖν οἱ θεοὶ φυλάξασθαι, μόνον οὐκ ἀνθρώπων φωνὰς προσκτησάμενοι; οὐδεμίαν τι πώποτε ἔγωγε μᾶλλον πόλιν ἑώρακα ὑπὸ μὲν τῶν θεῶν σῳζομένην, ὑπὸ δὲ τῶν ῥητόρων ἐνίων ἀπολλυμένην· οὐχ ἱκανὸν ἦν τὸ τοῖς μυστηρίοις φανὲν σημεῖον φυλάξασθαι ἡ τῶν μυστῶν τελευτή; οὐ περὶ τούτων Ἀμεινιάδης μὲν προὔλεγεν εὐλαβεῖσθαι, καὶ πέμπειν εἰς Δελφοὺς ἐπερησομένους τὸν θεὸν ὅ, τι χρὴ πράττειν· Δημοσθένης δὲ ἀντέλεγε φιλιππίζειν τὴν Πυθίαν φάσκων, ἀπαίδευτος ὢν, καὶ ἀπολαύων καὶ ἐμπιπλάμενος τῆς διδομένης ὑφ' ὑμῶν αὐτῷ ἐξουσίας· οὐ τὸ τελευταῖον ἀθύτων καὶ ἀκαλλιερήτων τῶν ἱερῶν ἐξέπεμψε τοὺς στρατιώτας ἐπὶ τὸν πρόδηλον κίνδυνον; καίτοιγε πρώην ἀπετόλμησε λέγειν, ὅτι διὰ τοῦτο φίλιππος οὐκ ἦλθεν ἡμῶν ἐπὶ τὴν χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερά· τίνος οὖν ζημίας ἄξιος εἶ τυχεῖν ὦ τῆς Ἑλλάδος ἀλιτήριε; εἰ γὰρ ὁ μὲν κρατῶν οὐκ ἦλθεν εἰς τὴν τῶν κρατουμένων χώραν, ὅτι οὐκ ἦν αὐτῷ καλὰ τὰ ἱερὰ, σὺ δ' οὐδὲν προειδὼς τῶν μελλόντων ἔσεσθαι, πρὶν καλλιερῆσαι τοὺς στρατιώτας ἐξέπεμψας; πότερον στεφανοῦσθαί σε δεῖ ἐπὶ ταῖς τῆς πόλεως ἀτυχίαις, ἢ ὑπερορίζεσθαι; τοιγάρτοι τί τῶν ἀνελπίστων καὶ ἀπροσδοκήτων ἐφ' ἡμῶν οὐ γέγονεν; οὐ γὰρ βίον γε ὑμεῖς ἀνθρώπινον βεβιώκαμεν, ἀλλ' εἰς παραδοξολογίαν τοῖς ἐσομένοις μεθ' ἡμᾶς ἔφυμεν, οὐχ ὁ μὲν τῶν Περσῶν βασιλεὺς, ὁ τὸν Ἄθω διορύξας, ὁ τὸν Ἑλλήσποντον ζεύξας, ὁ γῆν καὶ ὕδωρ τοὺς Ἕλληνας αἰτῶν, ὁ τολμῶν ἐν ταῖς ἐπιστολαῖς γράφειν, ὅτι δεσπότης ἐστὶν ἁπάντων ἀνθρώπων ἀφ' ἡλίου ἀνιόντος μέχρι δυομένου, νῦν οὐ περὶ τοῦ κύριος ἑτέρων εἶναι διαγωνίζεται, ἀλλ' ἤδη περὶ τῆς τοῦ σώματος σωτηρίας; καὶ τοὺς αὐτοὺς ὁρῶμεν τῆς τε δόξης ταύτης καὶ τῆς ἐπὶ τὴν Πέρσην ἡγεμονίας ἠξιωμένους, οἱ καὶ τὸ ἐν Δελφοῖς ἱερὸν ἠλευθέρωσαν; Θῆβαι δὲ πόλις ἀστυγείτων μεθ' ἡμέραν μίαν ἐκ μέσης τῆς Ἑλλάδος ἀνήρπασαι, εἰ καὶ μὴ δικαίως περὶ τῶν ὅλων οὐκ ὀρθῶς βουλευσάμενοι, ἀλλὰ τήν γε θεοβλάβειαν καὶ τὴν ἀφροσύνην οὐκ ἀνθρωπίνως ἀλλὰ δαιμονίως κτησάμενοι· Λακεδαιμόνιοι δὲ οἱ ταλαίπωροι, προσαψάμενοι μόνον τούτων

τῶν

τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὸ ἱερὸν κατάληψιν, οἱ τῶν ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι· νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι, τοῦτο πεισόμενοι καὶ αὐτοὶ καὶ ἡ πατρὶς ὅ, τι ἂν ἐκείνῳ δόξῃ· καὶ ἐν τῇ τοῦ κρατοῦντος καὶ προηδικημένου μετριότητι κριθήσονται· Ἡ δ' ἡμετέρα πόλις, ἡ κοινὴ καταφυγὴ τῶν ἑλλήνων, πρὸς ἣν ἀφικνοῦντο πρότερον ἐκ τῆς ἑλλάδος αἱ πρεσβεῖαι, κατὰ πόλεις ἕκαστοι παρ' ἡμῶν τὴν σωτηρίαν εὑρησόμενοι, νῦν οὐκ ἔτι περὶ τῆς τῶν ἑλλήνων ἡγεμονίας ἀγωνίζεται, ἀλλ' ἤδη περὶ τοῦ τῆς πατρίδος ἐδάφους; καὶ ταῦθ' ἡμῖν συμβέβηκεν ἐξότου Δημοσθένης πρὸς τὴν πολιτείαν εἰσελήλυθεν· εὖ γὰρ περὶ τῶν τοιούτων Ἡσίοδος ὁ ποιητὴς ἀποφαίνεται· λέγει γάρ που παιδεύων τὰ πλήθη καὶ συμβουλεύων ταῖς πόλεσι τοὺς πονηροὺς τῶν δημαγωγῶν μὴ προσδέχεσθαι.

λέξω δὲ κἀγὼ τὰ ἔπη· διὰ τοῦτο γὰρ οἶμαι ἡμᾶς παῖδας ὄντας τὰς τῶν ποιητῶν γνώμας ἐκμανθάνειν, ἵν' ἄνδρες ὄντες αὐταῖς χρώμεθα.

Πολλάκι δὲ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα
Ὅς κεν ἀλιτραίνῃ καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
Λοιμὸν ὁμοῦ καὶ λιμὸν ἀποφθινύθουσι δὲ λαοί,
Ἢ τῶν γε στρατὸν εὐρὺν ἀπώλεσεν, ἢ ὅγε τεῖχος,
Ἢ νέας ἐν πόντῳ κρονίδης ἀποτίνυται αὐτῶν.

Ἐὰν δὲ περιελόντες τοῦ ποιητοῦ τὸ μέτρον, τὰς γνώμας ἐξετάζητε· οἶμαι ὑμῖν δόξειν οὐ ποιήματα Ἡσιόδου εἶναι, ἀλλὰ χρησμὸν εἰς τὴν Δημοσθένους πολιτείαν· καὶ γὰρ ναυτικὴ καὶ πεζὴ στρατιὰ καὶ πόλεις ἄρδην εἰσὶν ἀνῃρημέναι ἐκ τῆς τούτου πολιτείας. Ἀλλ' οἶμαι, οὔτε Φρυνώνδας, οὔτε Εὐρύβατος, οὔτ' ἄλλος οὐδεὶς πώποτε τῶν πάλαι πονηρῶν, τοιοῦτος μάγος καὶ γόης ἐγένετο, ὅς, ὦ γῆ καὶ θεοὶ καὶ δαίμονες, καὶ ἄνθρωποι ὅσοι βούλεσθε ἀκούειν τἀληθῆ, τολμᾷ λέγειν, βλέπων εἰς τὰ πρόσωπα τὰ ὑμέτερα, ὡς ἄρα Θηβαῖοι τὴν συμμαχίαν ὑμῖν ἐποιήσαντο, οὐ διὰ τὸν καιρὸν, οὐ διὰ τὸν φόβον τὸν περιστάντα αὐτοὺς, οὐδὲ διὰ τὴν ὑμετέραν δόξαν, ἀλλὰ διὰ τὰς Δημοσθένους δημηγορίας· καίτοι πολλὰς μὲν τούτου πρότερον πρεσβείας ἐπρέσβευσαν εἰς Θήβας οἱ μάλιστα οἰκείως ἐκείνοις διακείμενοι· πρῶτος μὲν, ὁ στρατηγὸς Θρασύβουλος ὁ Κολλυτεὺς, ἀνὴρ ἐν Θή-

βαις

βαίοις πιστευθεὶς ὡς οὐδεὶς ἕτερος· πάλιν Θράσων ὁ Ἐρχιεὺς πρόξενος ὢν Θηβαίοις, Λεωδάμας ὁ Ἀχαρνεὺς, οὐχ ἧττον Δημοσθένους λέγειν δυνάμενος, ἀλλ᾽ ἔμοιγε καὶ ἡδίων ῥήτωρ, καὶ ἔτος Ἀρχίδημος ὁ Πήληξ, καὶ δυνατὸς εἰπεῖν, καὶ πολλὰ κεκινδυνευκὼς ἐν τῇ πολιτείᾳ διὰ Θηβαίους· δημαγωγὸς Ἀριστοφῶν ὁ Ἀζηνιεὺς, πλεῖστον χρόνον τὴν τοῦ βοιωτιάζειν ὑπομείνας αἰτίαν, ῥήτωρ Πύρανδρος ὁ Ἀναφλύστιος, ὃς ἔτι καὶ νῦν ζῇ· ἀλλ᾽ ὅμως οὐδεὶς πώποτε αὐτοὺς ἠδυνήθη προτρέψασθαι εἰς τὴν ὑμετέραν φιλίαν· τὸ δ᾽ αἴτιον οἶδα μὲν, λέγειν δ᾽ οὐδὲν δέομαι, διὰ τὰς ἀτυχίας αὐτῶν· ἀλλ᾽ οἶμαι ἐπειδὴ Φίλιππος αὐτῶν ἀφελόμενος Νίκαιαν Θετταλοῖς παρέδωκε, καὶ τὸν πόλεμον ὃν πρότερον ἐξήλασεν ἐκ τῆς χώρας τῆς τῶν Βοιωτῶν, τοῦτον πάλιν τὸν αὐτὸν πόλεμον ἐπήγαγε διὰ τῆς Φωκίδος ἐπ᾽ αὐτὰς τὰς Θήβας, καὶ τὸ τελευταῖον Ἐλάτειαν καταλαβὼν ἐχαράκωσε, καὶ φρουρὰν εἰσήγαγεν, ἐνταῦθ᾽ ἤδη ἐπεὶ τὸ δεινὸν ἥπτετο αὐτῶν μετεπέμψαντο Ἀθηναίους· καὶ ὑμεῖς ἐξήλθετε καὶ εἰσῄειτε εἰς τὰς Θήβας, ἐν τοῖς ὅπλοις διεσκευασμένοι, καὶ οἱ ἱππεῖς καὶ οἱ πεζοὶ, πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην· ὁ δ᾽ εἰσάγων ἦν ὑμᾶς εἰς τὰς Θήβας καιρὸς καὶ φόβος, καὶ χρεία συμμαχίας, ἀλλ᾽ οὐ Δημοσθένης· ἐπεὶ περί γε ταύτας τὰς πράξεις τρία τὰ πάντων μέγιστα Δημοσθένης εἰς ὑμᾶς ἐξημάρτηκε· πρῶτον μὲν, ὅτι Φιλίππου τῷ μὲν ὀνόματι πολεμοῦντος ὑμῖν, τῷ δ᾽ ἔργῳ πολὺ μᾶλλον μισοῦντος Θηβαίους, ὡς αὐτὰ τὰ πράγματα δεδήλωκε (καὶ τί δεῖ πλείω λέγειν) ταῦτα μὲν τὰ τηλικαῦτα τὸ μέγεθος ἀπεκρύψατο, προσποιησάμενος δὲ μέλλειν τὴν συμμαχίαν γενήσεσθαι, οὐ διὰ τοὺς καιροὺς, ἀλλὰ διὰ τὰς αὐτοῦ πρεσβείας. Πρῶτον μὲν συνέπεισε τὸν δῆμον μηκέτι βουλεύεσθαι ἐπὶ τίσι δεῖ ποιεῖσθαι τὴν συμμαχίαν, ἀλλ᾽ ἀγαπᾶν μόνον εἰ γίνεται· τοῦτο δὲ προλαβὼν, ἔκδοτον μὲν τὴν Βοιωτίαν ἅπασαν ἐποίησε Θηβαίοις, γράψας ἐν τῷ ψηφίσματι, ἐάν τις ἀφιστῆται πόλις ἀπὸ Θηβαίων, βοηθεῖν Ἀθηναίους Βοιωτοῖς τοῖς ἐν Θήβαις, τοῖς ὀνόμασι κλέπτων καὶ μεταφέρων τὰ πράγματα, ὥσπερ εἴωθεν, ὡς τοὺς Βοιωτοὺς ἔργῳ κακῶς πάσχοντας, τὴν τῶν ὀνομάτων σύνθεσιν τῶν Δημοσθένους ἀγαπήσοντας, ἀλλ᾽ οὐ μᾶλλον ἐφ᾽ οἷς κακῶς πεπόνθεσαν ἀγανακτήσοντας. Δεύτερον δὲ τῶν εἰς τὸν πόλεμον ἀναλωμάτων τὰ

μὲν δύο μέρη ὑμῖν ἀνέθηκεν, οἷς ἦσαν ἀπωτέρω οἱ κίνδυνοι· τὸ δὲ τρίτον μέρος Θηβαίοις, δωροδοκῶν ἐφ' ἑκάστοις τούτων, καὶ τὴν ἡγεμονίαν τὴν μὲν κατὰ θάλασσαν ἐποίησε κοινὴν, τὸ δ' ἀνάλωμα ἴδιον ὑμέτερον· τὴν δὲ κατὰ γῆν, εἰ μὴ δεῖ ληρεῖν, ἄρδην φέρων ἀνέθηκε Θηβαίοις· ὥστε παρὰ τὸν γενόμενον πόλεμον μὴ κύριον γενέσθαι Στρατοκλέα τὸν ὑμέτερον στρατηγὸν βουλεύσασθαι περὶ τῆς τῶν στρατιωτῶν σωτηρίας.

Καὶ ταῦτ' οὐκ ἐγὼ μὲν κατηγορῶ, ἕτεροι δὲ παραλείπουσιν· ἀλλὰ κἀγὼ λέγω, καὶ πάντες ἐπιτιμῶσι, καὶ ὑμεῖς σύνιστε, καὶ οὐκ ὀργίζεσθε. ἐκεῖνο γὰρ πεπόνθατε πρὸς Δημοσθένη· συνήθεις ἤδη τἀδικήματα αὐτοῦ ἀκούειν, ὥστε οὐ θαυμάζετε· δεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀγανακτεῖν καὶ τιμωρεῖσθαι, εἰ χρὴ τὰ λοιπὰ τῇ πόλει καλῶς ἔχειν. Δεύτερον δὲ καὶ πολὺ τούτου μεῖζον ἀδίκημα ἠδίκησεν, ὅτι τὸ βουλευτήριον τὸ τῆς πόλεως, καὶ τὴν δημοκρατίαν ἄρδην ἔλαθεν ὑφελόμενος, καὶ μετήνεγκεν εἰς Θήβας εἰς τὴν Καδμείαν τὴν κοινωνίαν τῶν πράξεων, τοῖς Βοιωτάρχαις συνθέμενος. καὶ τηλικαύτην αὐτὸς αὑτῷ δυναστείαν κατεσκεύασεν, ὥσθ' ἤδη παριὼν ἐπὶ τὸ βῆμα, πρεσβεύειν μὲν ἔφη ὅποι ἂν αὐτῷ δοκῇ, κἂν μὴ ὑμεῖς ἐκπέμπητε· εἰ δέ τις αὐτῷ τῶν στρατηγῶν ἀντείποι, καταδουλούμενος τοὺς ἄρχοντας, καὶ συνεθίζων μηδὲν αὐτῷ ἀντιλέγειν, διαδικασίαν ἔφη γράψειν τῷ βήματι πρὸς τὸ στρατήγιον· πλείω γὰρ ὑμᾶς ἀγαθὰ ὑφ' ἑαυτοῦ ἔφη ἀπὸ τοῦ βήματος πεπονθέναι, ἢ ὑπὸ τῶν στρατηγῶν ἐκ τοῦ στρατηγίου· μισθοφορῶν δ' ἐν τῷ ξενικῷ κεναῖς χώραις, καὶ τὰ στρατιωτικὰ χρήματα κλέπτων, καὶ τοὺς μυρίους ξένους ἐκμισθώσας Ἀμφισσεῦσι, πολλὰ διαμαρτυρομένου καὶ σχετλιάζοντος ἐν ταῖς ἐκκλησίαις ἐμοῦ, προσέμιξε φέρων ἀνηρπασμένων τῶν ξένων, τὸν κίνδυνον ἀπαρασκεύῳ τῇ πόλει· τί γὰρ ἂν οἴεσθε Φίλιππον ἐν τοῖς τότε καιροῖς εὔξασθαι; οὐ χωρὶς μὲν πρὸς τὴν πολιτικὴν δύναμιν, χωρὶς δ' ἐν Ἀμφίσσῃ πρὸς τοὺς ξένους διαγωνίσασθαι, ἀθύμους δὲ τοὺς Ἕλληνας λαβεῖν τηλικαύτης πληγῆς γεγενημένης; καὶ τηλικούτων κακῶν αἴτιος γεγενημένος Δημοσθένης, οὐκ ἀγαπᾷ, εἰ μὴ δίκην δέδωκεν, ἀλλ' εἰ καὶ μὴ χρυσῷ στεφάνῳ στεφανωθήσεται ἀγανακτεῖ· οὐδ' ἱκανόν ἐστιν αὐτῷ ἐναντίον ὑμῶν κηρύττεσθαι, ἀλλ' εἰ μὴ τῶν Ἑλλήνων ἐναντίον ἀναρρηθήσεται, τοῦτ' ἀγανακτεῖ. οὕτως, ὡς ἔοικε, πονη-

N ρὰ

ρὰ φύσις μεγάλης ἐξουσίας ἐπιλαβομένη, δημοσίας ἀπεργάζεται συμφοράς. Τρίτον δὲ καὶ τῶν προειρημένων μέγιστόν ἐστιν ὃ μέλλω λέγειν· φίλιππος γὰρ οὐ καταφρονῶν τῶν ἑλλήνων, οὐδ' ἀγνοῶν· οὐ γὰρ ἦν ἀσύνετος, ὅτι περὶ τῶν ὑπαρχόντων ἀγαθῶν ἐν ἡμέρας σμικρῷ μέρει διαγωνιεῖται, καὶ διὰ ταῦτα βουλόμενος ποιήσασθαι τὴν εἰρήνην, καὶ πρεσβείας ἀποστέλλειν μέλλοντος, καὶ τῶν ἀρχόντων τῶν ἐν Θήβαις φοβουμένων τὸν ἐπιόντα κίνδυνον, εἰκότως· οὐ γὰρ ῥήτωρ ἀστράτευτος, καὶ λιπὼν τὴν τάξιν αὐτοὺς ἐνουθέτησεν, ἀλλ' ὁ Φωκικὸς πόλεμος, δεκαετὴς γεγονὼς ἀείμνηστον παιδείαν αὐτοὺς ἐπαίδευσε. Τούτων δὲ ἐχόντων οὕτως, αἰσθόμενος Δημοσθένης, καὶ τοὺς Βοιωτάρχας ὑποπτεύσας μέλλειν εἰρήνην ἰδίᾳ ποιεῖσθαι, χρυσίον ἄνευ αὐτοῦ παρὰ φιλίππου λαβόντας, ἀβίωτον ἡγησάμενος εἶναι εἴ τινος ἀπολειφθήσεται δωροδοκίας, ἀναπηδήσας ἐν τῇ ἐκκλησίᾳ, οὐδενὸς ἀνθρώπων λέγοντος, οὔθ' ὡς δεῖ ποιεῖσθαι πρὸς φίλιππον εἰρήνην, οὔθ' ὡς οὐ δεῖ, ἀλλ' ὡς ᾤετο· τοῦτο κήρυγμά τι τοῖς Βοιωτάρχαις προκηρύττων, ἀναφέρειν αὐτῷ τὰ μέρη τῶν λημμάτων, διώμνυτο τὴν Ἀθηνᾶν, ἣν, ὡς ἔοικε, Φειδίας ἐνεργολαβεῖν εἰργάσατο καὶ ἐνεπιορκεῖν Δημοσθένει, ἦ μὴν εἴ τις ἐρεῖ ὡς χρὴ πρὸς φίλιππον εἰρήνην ποιήσασθαι, ἀπάξειν εἰς τὸ δεσμωτήριον ἐπιλαβόμενος τῶν τριχῶν, ἀπομιμούμενος τὴν Κλεοφῶντος πολιτείαν, ὃς ἐπὶ τοῦ πρὸς Λακεδαιμονίους πολέμου (ὡς λέγεται) τὴν πόλιν ἀπώλεσεν· ὡς δ' οὐ προσεῖχον αὐτῷ οἱ ἄρχοντες οἱ ἐν ταῖς Θήβαις, ἀλλὰ καὶ τοὺς στρατιώτας τοὺς ὑμετέρους ἀνέστρεψαν ἐξεληλυθότας, ἵνα βουλεύσησθε περὶ τῆς εἰρήνης, ἐνταῦθα παντάπασιν ἔκφρων ἐγένετο, καὶ παρελθὼν ἐπὶ τὸ βῆμα προδότας τῶν ἑλλήνων τοὺς Βοιωτάρχας ἀπεκάλεσε, καὶ γράψειν ἔφη ψήφισμα ὁ τοῖς πολεμίοις οὐδεπώποτ' ἀντιβλέψας, πέμπειν ὑμᾶς πρέσβεις εἰς Θήβας, αἰτήσοντας Θηβαίους δίοδον ἐπὶ φίλιππον· ὑπεραισχυνθέντες δὲ οἱ ἐν Θήβαις ἄρχοντες μὴ δόξωσιν ὡς ἀληθῶς εἶναι προδόται τῶν ἑλλήνων, ἀπὸ μὲν τῆς εἰρήνης ἀπετρέποντο, ἐπὶ δὲ τὴν παράταξιν ὥρμησαν· ἔνθα δὴ καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἄξιόν ἐστιν ἐπιμνησθῆναι, οὓς οὗτος ἀθύτων καὶ ἀκαλλιερήτων ὄντων τῶν ἱερῶν, ἐκπέμψας ἐπὶ τὸν πρόδηλον κίνδυνον, ἐτόλμησε τοῖς δραπέταις ποσὶ καὶ λελοιπόσι τὴν τάξιν ἀναβὰς ἐπὶ τὸν τάφον τῶν τετελευτηκότων ἐγκωμιάζειν τὴν ἐκείνων ἀρετήν· ὦ

πρὸς

πρὸς μὲν τὰ μεγάλα καὶ ψευδῆ τῶν πραγμάτων, ἁπάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε, ἐπιχειρήσειν ἐθελήσεις αὐτίκα μάλα βλέπων εἰς τὰ τούτων πρόσωπα λέγειν, ὡς δεῖ σε ἐπὶ ταῖς τῆς πόλεως συμφοραῖς στεφανοῦσθαι; ἐὰν δ' οὗτος λέγῃ, ὑμεῖς ὑπομενεῖτε, καὶ συναποθανεῖται τοῖς τελευτήσασιν, ὡς ἔοικε, καὶ ἡ ὑμετέρα μνήμη; Γένεσθε δή μοι μικρὸν χρόνον τὴν διάνοιαν μὴ ἐν τῷ δικαστηρίῳ, ἀλλ' ἐν τῷ θεάτρῳ, καὶ νομίζετε ὁρᾶν προϊόντα τὸν κήρυκα, καὶ τὴν ἐκ τοῦ ψηφίσματος ἀνάρρησιν μέλλουσαν γίνεσθαι, καὶ λογίσασθε πότερ' οἴεσθε τοὺς οἰκείους τῶν τελευτησάντων πλείω δάκρυα ἀφήσειν ἐπὶ ταῖς τραγῳδίαις, καὶ τοῖς ἡρωϊκοῖς πάθεσι τοῖς μετὰ ταῦτα ἐπεισιοῦσιν, ἢ ἐπὶ τῇ τῆς πόλεως ἀγνωμοσύνῃ; τίς γὰρ οὐκ ἂν ἀλγήσειεν ἄνθρωπος Ἕλλην, ἢ καὶ παιδευθεὶς ἐλευθέρως, ἀναμνησθεὶς ἐν τῷ θεάτρῳ ἐκεῖνό γε, εἰ μηδὲν ἕτερον, ὅτι ταύτῃ ποτὲ τῇ ἡμέρᾳ μελλόντων, ὥσπερ νυνί, τῶν τραγῳδῶν γίνεσθαι, ὅτ' εὐνομεῖτο μᾶλλον ἡ πόλις καὶ βελτίοσι προστάταις ἐχρῆτο, προσελθὼν ὁ κῆρυξ, καὶ παραστησάμενος τοὺς ὀρφανούς, ὧν οἱ πατέρες ἦσαν ἐν τῷ πολέμῳ τετελευτηκότες, νεανίσκους πανοπλίᾳ κεκοσμημένους, ἐκήρυττε τὸ κάλλιστον κήρυγμα, καὶ προτρεπτικώτατον πρὸς ἀρετήν. Ὅτι τούσδε τοὺς νεανίσκους, ὧν οἱ πατέρες ἐτελεύτησαν ἐν τῷ πολέμῳ ἄνδρες ἀγαθοὶ γενόμενοι, μέχρι μὲν ἥβης ὁ δῆμος ἔτρεφε· νυνὶ δὲ καθοπλίσας τῇδε τῇ πανοπλίᾳ ἀφίησιν ἀγαθῇ τύχῃ τρέπεσθαι ἐπὶ τὰ ἑαυτῶν, καὶ καλεῖ εἰς προεδρίαν. Τότε μὲν ταῦτ' ἐκήρυττεν, ἀλλ' οὐ νῦν· ἀλλὰ παραστησάμενος τὸν τῆς ὀρφανίας τοῖς παισὶν αἴτιον, τί ποτ' ἂν ἐρεῖ, ἢ τί φθέγξεται; καὶ γὰρ ἂν αὐτὰ διεξίῃ τὰ ἐκ τοῦ ψηφίσματος προστάγματα, ἀλλ' οὐ τὸ ἐκ τῆς ἀληθείας αἰσχρὸν σιωπηθήσεται; ἀλλὰ τἀναντία δόξει τῇ τοῦ κήρυκος φωνῇ φθέγγεσθαι.

Ὅτι τόνδε τὸν ἄνδρα (εἰ δὴ καὶ οὗτος ἀνὴρ) στεφανοῖ ὁ δῆμος ὁ τῶν ἀθηναίων, ἀρετῆς ἕνεκα τὸν κάκιστον, καὶ ἀνδραγαθίας ἕνεκα τὸν ἄνανδρον καὶ λελοιπότα τὴν τάξιν; μὴ πρὸς τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν ἱκετεύω ὑμᾶς, ὦ ἀθηναῖοι, μὴ τρόπαιον ἵστατε ἀφ' ὑμῶν αὐτῶν ἐν τῇ τοῦ Διονύσου ὀρχήστρᾳ, μηδ' αἱρεῖτε παρανοίας ἐναντίον τῶν ἑλλήνων τὸν δῆμον τῶν ἀθηναίων· μηδ' ὑπομιμνήσκετε τῶν ἀνιάτων καὶ ἀνηκέστων κακῶν τοὺς ταλαιπώρους Θηβαίους,

ους φυγόντας διὰ τοῦτον ὑποδέδεχθε τῇ πόλει· ὧν ἴσα μὲν τέκνα καὶ τάφους ἀπώλεσεν ἡ Δημοσθένους δωροδοκία, καὶ τὸ βασιλικὸν χρυσίον. Ἀλλ' ἐπειδὴ τοῖς σώμασιν οὐ παρεγένεσθε, ταῖς γε διανοίαις ἀποβλέψατ' αὐτῶν εἰς τὰς συμφορὰς, καὶ νομίσατε ὁρᾶν ἁλισκομένην τὴν πόλιν, τειχῶν κατασκαφὰς, ἐμπρήσεις οἰκιῶν, ἀγομένας γυναῖκας καὶ παῖδας εἰς δουλείαν, πρεσβύτας ἀνθρώπους, πρεσβύτιδας γυναῖκας, ὀψὲ μεταμανθάνοντας τὴν ἐλευθερίαν, κλαίοντας, ἱκετεύοντας ὑμᾶς, ὀργιζομένους οὐ τοῖς τιμωρουμένοις, ἀλλὰ τοῖς τούτων αἰτίοις. Ἐπισκήπτοντας μηδενὶ τρόπῳ τὸν τῆς ἑλλάδος ἀλιτήριον στεφανοῦν, ἀλλὰ καὶ τὸν δαίμονα καὶ τὴν τύχην τὴν συμπαρακολουθοῦσαν τῷ ἀνθρώπῳ φυλάξασθαι· οὔτε πόλις γὰρ οὔτ' ἰδιώτης ἀνὴρ οὐδεὶς πώποτε καλῶς ἀπήλλαξε Δημοσθένει συμβούλῳ χρησάμενος. Ὑμεῖς δ', ὦ ἀθηναῖοι, οὐκ αἰσχύνεσθε, εἰ ἐπὶ μὲν τοὺς πορθμέας τοὺς εἰς Σαλαμῖνα πορθμεύοντας νόμον ἔθεσθε, ἐάν τις αὐτῶν ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι· ἵνα μηδεὶς αὐτοσχεδιάζῃ εἰς τὰ τῶν ἑλλήνων σώματα· τὸν δὲ τὴν ἑλλάδα καὶ τὴν πόλιν ἄρδην ἀνατετροφότα, τοῦτον ἐάσετε πάλιν ἀπευθύνειν τὰ κοινά; ἵνα δ' εἴπω καὶ περὶ τοῦ τετάρτου καιροῦ, καὶ τῶν νυνὶ καθεστηκότων πραγμάτων, ἐκεῖνο ὑμᾶς ὑπομνῆσαι βούλομαι, ὅτι Δημοσθένης οὐ τὴν ἀπὸ στρατοπέδου μόνον τάξιν ἔλιπεν, ἀλλὰ καὶ τὴν ἐκ τῆς πόλεως τριήρη προσλαβὼν ὑμῶν, καὶ τοὺς ἕλληνας ἠργυρολόγησε· καταγαγούσης δὲ αὐτὸν εἰς τὴν πόλιν τῆς ἀπροσδοκήτου σωτηρίας, τοὺς μὲν πρώτους χρόνους ὑπότρομος ἦν ἄνθρωπος, καὶ παριὼν ἡμιθνὴς ἐπὶ τὸ βῆμα, εἰρηνοφύλακα ὑμᾶς ἐκέλευεν αὐτὸν χειροτονεῖν.

Ὑμεῖς δὲ κατὰ μὲν τοὺς πρώτους χρόνους οὐδ' ἐπὶ τὰ ψηφίσματα εἰᾶτε τὸ Δημοσθένους ἐπιγράφειν ὄνομα, ἀλλὰ Ναυσικλεῖ τοῦτο προσετάττετε· νυνὶ δ' ἤδη καὶ στεφανοῦσθαι ἀξιοῖ· ἐπειδὴ δ' ἐτελεύτησε Φίλιππος, Ἀλέξανδρος δ' εἰς τὴν ἀρχὴν κατέστη, πάλιν αὖ τερατευόμενος, ἱερὰ μὲν ἱδρύσατο Παυσανίου, εἰς αἰτίαν δὲ εὐαγγελίων καὶ θυσίας τὴν βουλὴν κατέστησεν· ἐπωνυμίαν δὲ Ἀλεξάνδρῳ Μαργίτην ἐπέθετο· ἀπετόλμα δὲ λέγειν, ὡς οὐ κινηθήσεται ἐκ Μακεδονίας· ἀγαπᾶν γὰρ αὐτὸν ἔφη ἐν Πέλλῃ περιπατοῦντα, καὶ τὰ σπλάγχνα φυλάττοντα· καὶ ταυτὶ λέγειν ἔφη οὐκ εἰκάζων, ἀλλ' ἀ-

ἀκριβῶς εἰδώς, ὅτι ἄμικτός ἐστιν ἡ ἀρετὴ ὠνίᾳ, αὐτὸς οὐκ ἔχων αἷμα, καὶ θεωρῶν τὸν Ἀλέξανδρον οὐκ ἐκ τῆς Ἀλεξάνδρου φύσεως, ἀλλ' ἐκ τῆς ἑαυτοῦ ἀνανδρίας· ἤδη δ' ἐψηφισμένων Θετταλῶν ἐπιστρατεύειν ἐπὶ τὴν ὑμετέραν πόλιν, καὶ τοῦ νεανίσκου τὸ πρῶτον παροξυνθέντος, εἰκότως, ἐπειδὴ περὶ Θήβας ἦν τὸ στρατόπεδον, πρεσβευτὴς ὑφ' ὑμῶν χειροτονηθεὶς ἀποδρὰς ἐκ μέσου τοῦ Κιθαιρῶνος ἧκεν ὑποστρέψας, οὔτ' ἐν εἰρήνῃ, οὔτ' ἐν πολέμῳ χρήσιμον ἑαυτὸν παρέχων· καὶ, τὸ πάντων δεινότατον, ὑμεῖς μὲν τοῦτον οὐ προὔδοτε, οὐδ' εἰάσατε κριθῆναι ἐν τῷ τῶν Ἑλλήνων συνεδρίῳ, οὗτος δ' ὑμᾶς νυνὶ προδέδωκεν, εἴπερ ἀληθῆ ἐστιν ἃ λέγεται· ὡς γάρ φασιν οἱ Πάραλοι, καὶ οἱ πρεσβεύσαντες πρὸς Ἀλέξανδρον, καὶ τὸ πρᾶγμα εἰκότως πιστεύεται· ἐστί τις Ἀριστίων Πλαταϊκός, ὁ τοῦ Ἀριστοβούλου τοῦ φαρμακοπώλου υἱός, εἴ τις ἄρα καὶ ὑμῶν γιγνώσκει· οὗτός ποτε ὁ νεανίσκος ἑτέρων τὴν ὄψιν διαφέρων γενόμενος, ᾤκησε πολὺν χρόνον ἐν τῇ Δημοσθένους οἰκίᾳ· ὅ,τι δὲ πράττων ἢ πάσχων, ἀμφίβολος ἡ αἰτία, καὶ τὸ πρᾶγμα οὐδαμῶς εὔσχημον ἐμοὶ λέγειν· οὗτος, ὡς ἐγὼ ἀκούω, ἠγνοημένος ὅστις καὶ πῶς ποτε ἐστὶ βεβιωκώς, τὸν Ἀλέξανδρον ὑποτρέχει, καὶ πλησιάζει ἐκείνῳ· διὰ τούτου γράμματα πέμψας Δημοσθένης ὡς Ἀλέξανδρον, ἄδειάν τινα εὕρηται καὶ διαλλαγάς, καὶ πολλὴν κολακείαν πεποίηται· ἐκεῖθεν δὲ θεωρήσατε ὡς ὅμοιόν ἐστι τὸ πρᾶγμα τῇ αἰτίᾳ· εἰ γάρ τι τούτων ἐφρόνει Δημοσθένης, καὶ πολεμικῶς εἶχεν, ὥσπερ καί φησι, πρὸς τὸν Ἀλέξανδρον, τρεῖς αὐτῷ καιροὶ κάλλιστοι παραγεγόνασιν, ὧν οὐδενὶ φαίνεται κεχρημένος· εἷς μὲν ὁ πρῶτος, ὅτ' εἰς τὴν ἀρχὴν οὐ πάλαι καθεστηκὼς Ἀλέξανδρος, ἀπαρασκεύων αὐτῷ τῶν ἰδίων ὄντων, εἰς τὴν Ἀσίαν διέβη, ἤκμαζε δ' ὁ τῶν Περσῶν βασιλεὺς καὶ ναυσὶ καὶ χρήμασι καὶ πεζῇ στρατιᾷ, ἅσμενος δ' ἂν ὑμᾶς εἰς τὴν κοινὴν συμμαχίαν προσεδέξατο, διὰ τοὺς ἐπιφερομένους αὐτῷ κινδύνους· εἶπάς τινα ἐνταῦθα λόγον Δημόσθενες, ἢ ἔγραψάς τι ψήφισμα; βούλει σε θῶ καὶ φοβηθῆναι, καὶ χρήσασθαι τῷ ἑαυτοῦ τρόπῳ (καίτοι ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει)· ἀλλ' ἐπειδὴ πάσῃ τῇ δυνάμει Δαρεῖος καταβεβήκει, ὁ δ' Ἀλέξανδρος ἦν ἀπειλημμένος ἐν Κιλικίᾳ, πάντων ἐνδεής, ὡς ἔφησθα σύ, αὐτίκα μάλα δ' ἤμελλεν, ὡς ἦν ὁ παρὰ σοῦ λόγος, συμπατη-

θήσεσθαι ὑπὸ τῆς Περσικῆς ἵππου, τὴν δὲ σὴν ἀνδρείαν ἡ πόλις οὐκ ἐχώρει, καὶ τὰς ἐπιστολὰς ἃς ἐξηρτημένος ἐκ τῶν δακτύλων περιῄεις, ἐπιδεικνύων τισὶ τὸ ἐμὸν πρόσωπον, ὡς ἐκπεπληγμένου καὶ ἀθυμοῦντος, καὶ χρυσόκερων ἀποκαλῶν, καὶ κατεστέφθαι φάσκων, εἴ τι πταῖσμα συμβήσεται Ἀλεξάνδρῳ, οὐδ' ἐνταῦθα ἔπραξας οὐδὲν, ἀλλ' εἴς τινα καιρὸν ἀνεβάλλου καλλίω. Ὑπερβὰς τοίνυν ἅπαντα ταῦτα, ὑπὲρ τῶν νυνὶ καθεστηκότων λέξω· Λακεδαιμόνιοι μὲν καὶ τὸ ξενικὸν ἐπέτυχον μάχῃ, καὶ διέφθειραν τοὺς ἐπὶ Κόρραγον στρατιώτας· Ἠλεῖοι δ' αὐτοῖς συμμετεβάλλοντο καὶ Ἀχαιοὶ πάντες, πλὴν Πελληνέων, καὶ Ἀρκαδία πᾶσα, πλὴν μεγάλης πόλεως· αὕτη δὲ ἐπολιορκεῖτο, καὶ καθ' ἑκάστην ἡμέραν ἐπίδοξος ἦν ἁλῶναι· ὁ δὲ Ἀλέξανδρος ἔξω τῆς ἄρκτου καὶ τῆς οἰκουμένης ὀλίγου δεῖν πάσης μεθειστήκει· ὁ δὲ Ἀντίπατρος πολὺν χρόνον συνῆγε στρατόπεδον, τὸ δ' ἐσόμενον ἄδηλον ἦν. ἐνταῦθ' ἡμῖν ἀπόδειξιν ποίησαι, ὦ Δημόσθενες, τί ποτ' ἦν ἃ ἔπραξας καὶ τί ποτ' ἦν ἃ ἔλεγες; καὶ, εἰ βούλει, παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν εἴπῃς. ἐπειδὴ δὲ σιγᾷς, ὅτι μὲν ἀπορεῖς, συγγνώμην ἔχω σοι· ἃ δὲ τότ' ἔλεγες, ἐγὼ νῦν λέξω.

Οὐ μέμνησθε αὐτοῦ τὰ μιαρὰ καὶ ἀπίθανα ῥήματα, ἃ πῶς ποθ' ὑμεῖς ὦ σιδήρεοι ἐκαρτερεῖτε ἀκροώμενοι; ὅτ' ἔφη παρελθὼν, ἀμπελουργοῦσί τινες τὴν πόλιν, ἀνατετμήκασί τινες τὰ κλήματα τοῦ δήμου· ὑποτέτμηται τὰ νεῦρα τῶν πραγμάτων, φορμορραφούμεθα, ἐπὶ τὰ στενὰ, τινὲς πρῶτον ὥσπερ τὰς βελόνας διείρουσι· ταῦτα δὲ τίνος ἐστὶν, ὦ κίναδος, ῥήματα, ἢ θαύματα; καὶ πάλιν ὅτε κύκλῳ περιδινῶν σεαυτὸν ἐπὶ τοῦ βήματος ἔλεγες ὡς ἀντιπράττων Ἀλεξάνδρῳ, ὁμολογῶ τὰ Λακωνικὰ συστῆσαι, ὁμολογῶ Θετταλοὺς καὶ Περραιβοὺς ἀφιστάναι· σὺ γὰρ ἂν κώμην ἀποστήσαις; σὺ γὰρ ἂν προσέλθοις μὴ ὅτι πρὸς πόλιν, ἀλλὰ πρὸς οἰκίαν, ὅπου κίνδυνος πρόσεστιν; ἀλλ' εἰ μέν που χρήματα ἀναλίσκεται, προσκαθεσθήσῃ, πρᾶξιν δὲ ἀνδρὸς οὐ πράξεις· ἐὰν δ' αὐτόματόν τι συμβῇ, προσποιήσῃ, καὶ σαυτὸν ἐπὶ τὸ γεγενημένον ἐπιγράψεις; ἂν δ' ἔλθῃ φόβος τις, ἀποδράσῃ· ἐὰν δὲ θαρρήσωμεν, δωρεὰς αἰτήσεις, καὶ χρυσοῖς στεφάνοις στεφανοῦσθαι· ναί· ἀλλὰ δημοτικός ἐστιν· ἐὰν μὲν τοίνυν πρὸς εὐφημίαν αὐτοῦ τῶν λόγων ἀποβλέψητε, ἐξαπατηθήσεσθε, ὥσπερ καὶ πρότερον· ἐὰν

δ' εἰς

δ' εἰς τὴν φύσιν καὶ τὴν ἀλήθειαν, οὐκ ἐξαπατηθήσεσθε· ἐκείνως δὲ ἀπολάβετε παρ' αὐτοῦ τὸν λόγον· ἐγὼ μὲν μεθ' ὑμῶν λογιοῦμαι ἃ δεῖ ὑπάρξαι ἐν τῇ φύσει τῷ δημοτικῷ ἀνδρὶ καὶ σώφρονι, καὶ πάλιν ἀντιθήσω ποῖόν τινα εἰκός ἐστιν εἶναι τὸν ὀλιγαρχικὸν ἄνθρωπον καὶ φαῦλον. ὑμεῖς δ' ἀντιθέντες ἑκάτερα τούτων, θεωρήσατ' αὐτὸν, μὴ ὁποτέρου τοῦ λόγου, ἀλλ' ὁποτέρου τοῦ βίου ἐστίν.

Οἶμαι τοίνυν ἅπαντας ἂν ὑμᾶς ὁμολογῆσαι τάδε δεῖν ὑπάρξαι τῷ δημοτικῷ· πρῶτον μὲν, ἐλεύθερον αὐτὸν εἶναι καὶ πρὸς πατρὸς καὶ μητρός· ἵνα μὴ διὰ τὴν πρὸς τὸ γένος ἀτυχίαν δυσμενὴς ᾖ τοῖς νόμοις, οἱ σώζουσι τὴν δημοκρατίαν· δεύτερον δ' ἀπὸ τῶν προγόνων εὐεργεσίαν τινὰ αὐτῷ πρὸς τὸν δῆμον ὑπάρχειν, ἢ (τό γ' ἀναγκαιότατον) μηδεμίαν ἔχθραν, ἵνα μὴ βοηθῶν τοῖς τῶν προγόνων ἀτυχήμασι, κακῶς ἐπιχειρῇ ποιεῖν τὴν πόλιν· τρίτον σώφρονα καὶ μέτριον χρὴ πεφυκέναι αὐτὸν πρὸς τὴν καθ' ἡμέραν δίαιταν, ὅπως μὴ διὰ τὴν ἀσέλγειαν τῆς δαπάνης δωροδοκῇ κατὰ τοῦ δήμου· τέταρτον εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν· καλὸν γὰρ τὴν μὲν διάνοιαν προαιρεῖσθαι τὰ βέλτιστα, τὴν δὲ παιδείαν τὴν τοῦ ῥήτορος, καὶ τὸν λόγον πείθειν τοὺς ἀκούοντας· εἰ δὲ μὴ, τὴν εὐγνωμοσύνην ἀεὶ προτακτέον τοῦ λόγου· πέμπτον ἀνδρεῖον εἶναι τὴν ψυχὴν, ἵνα μὴ παρὰ τὰ δεινὰ καὶ τοὺς πολέμους ἐγκαταλίπῃ τὸν δῆμον, τὸν δ' ὀλιγαρχικὸν πάντα τἀναντία τούτων ἔχειν· τί γὰρ δεῖ πάλιν διεξιέναι; σκέψασθε δὴ, τί τούτων ὑπάρχει Δημοσθένει· ὁ δὲ λογισμὸς ἔστω ἐπὶ πᾶσι δικαίοις· τούτῳ πατὴρ μὲν Δημοσθένης, ὁ Παιανιεὺς, ἀνὴρ ἐλεύθερος· (οὐ γὰρ δεῖ ψεύδεσθαι·) τὰ δ' ἀπὸ τῆς μητρὸς καὶ τοῦ πάππου τοῦ πρὸς μητρὸς, πῶς ἔχει αὐτῷ, ἐγὼ φράσω· Γύλων ἦν ἐκ Κεραμέων· οὗτος προδοὺς τοῖς πολεμίοις Νύμφαιον τὸ ἐν τῷ Πόντῳ, τότε τῆς πόλεως ἐχούσης τὸ χωρίον τοῦτο, φυγὰς ἐκ τῆς πόλεως ἐγένετο, θανάτου καταγνωσθέντος αὐτοῦ, τὴν κρίσιν οὐχ ὑπομείνας· καὶ ἀφικνεῖται εἰς Βόσπορον, κἀκεῖ λαμβάνει δωρεὰν παρὰ τῶν τυράννων τοὺς ὠνομασμένους κήπους, καὶ γαμεῖ γυναῖκα πλουσίαν μὲν νὴ Δία, καὶ χρυσίον ἐπιφερομένην πολὺ, Σκύθιν δὲ τὸ γένος· ἐξ ἧς γίνονται αὐτῷ θυγατέρες δύο, ἃς ἐκεῖνος δεῦρο μετὰ πολλῶν χρημάτων ἀποστείλας, συνῴκισε τὴν μὲν ἑτέραν ὁτῳδήποτε, ἵνα μὴ πολλοῖς ἀπεχθάνωμαι, τὴν

δὲ ἑτέραν ἔγημε, παριδὼν τοὺς τῆς πόλεως νόμους, Δημοσθένης ὁ Παιανιεύς· ἐξ ἧς ὑμῖν ὁ περίεργος καὶ συκοφάντης γεγένηται Δημοσθένης. οὐκοῦν ἀπὸ μὲν τοῦ πάππου τοῦ πρὸς μητρὸς, πολέμιος ἂν εἴη τῷ δήμῳ· (θάνατον γὰρ αὐτοῦ τῶν προγόνων κατέγνωτε) τὰ δὲ ἀπὸ τῆς μητρὸς, Σκύθης, βάρβαρος ἑλληνίζων τῇ φωνῇ· ὅθεν καὶ τὴν πονηρίαν οὐκ ἐπιχώριός ἐστι· περὶ δὲ τὴν καθ' ἡμέραν δίαιταν, τίς ἐστιν; ἐκ τριηράρχου λογογράφος ἀνεφάνη, τὰ πατρῷα καταγελάστως προέμενος, ἄπιστος δὲ καὶ περὶ ταῦτα δόξας εἶναι, καὶ τοὺς λόγους ἐκφέρων τοῖς ἀντιδίκοις ἀνεπήδησεν ἐπὶ τὸ βῆμα· πλεῖστον δ' ἐκ τῆς πόλεως εἰληφὼς ἀργύριον, ἐλάχιστα περιεποιήσατο· νῦν μέν τοι τὸ βασιλικὸν χρυσίον ἐπικέκλυκε τὴν δαπάνην αὐτοῦ· ἔστι δ' οὐδὲ τοῦθ' ἱκανόν· οὐδεὶς γὰρ πλοῦτος τρόπου πονηροῦ περιεγένετο· καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ' ἐκ τῶν ὑμετέρων κινδύνων· περὶ δ' εὐγνωμοσύνην καὶ λόγου δύναμιν, πῶς πέφυκε; δεινῶς λέγειν, κακῶς βιῶναι· οὕτω γὰρ κέχρηται καὶ τῷ ἑαυτοῦ σώματι καὶ παιδοποιΐᾳ, ὥστε με μὴ βούλεσθαι λέγειν, ἃ τούτῳ πέπρακται· ἤδη γάρ ποτε εἶδον μισηθέντας τοὺς τὰ τῶν πλησίον αἰσχρὰ λίαν σαφῶς λέγοντας· ἔπειτα τί συμβαίνει τῇ πόλει; οἱ μὲν λόγοι καλοὶ, τὰ δ' ἔργα φαῦλα· πρὸς δὲ ἀνδρείαν βραχύς μοι λείπεται λόγος· εἰ μὲν γὰρ ἠρνεῖτο μὴ δειλὸς εἶναι, ἢ ὑμεῖς μὴ συνῄδειτε αὐτῷ, διατριβὴν ὁ λόγος ἄν μοι παρέσχεν· ἐπειδὴ δὲ καὶ αὐτὸς ὁμολογεῖ ἐν ταῖς ἐκκλησίαις, καὶ ὑμεῖς σύνιστε, λοιπὸν ὑπομνῆσαι τοὺς περὶ τούτων κειμένους νόμους. Ὁ γὰρ Σόλων ὁ παλαιὸς νομοθέτης ἐν τοῖς αὐτοῖς ἐπιτιμίοις ᾤετο δεῖν ἐνέχεσθαι τὸν ἀστράτευτον καὶ τὸν λελοιπότα τὴν τάξιν, καὶ τὸν δειλὸν ὁμοίως· εἰσὶ γὰρ καὶ δειλίας γραφαί· καί τοι θαυμάσειεν ἄν τις ὑμῶν, εἰ εἰσὶ φύσεως γραφαί· εἰσί· τίνος ἕνεκα; ἵνα ἕκαστος ἡμῶν τὰς ἐκ τῶν νόμων ζημίας φοβούμενος μᾶλλον ἢ τοὺς πολεμίους, ἀμείνων ἀγωνιστὴς ὑπὲρ τῆς πατρίδος ὑπάρχῃ· ὁ μὲν τοίνυν νομοθέτης τὸν ἀστράτευτον καὶ τὸν δειλὸν, καὶ τὸν λιπόντα τὴν τάξιν, ἔξω τῶν περιρραντηρίων τῆς ἀγορᾶς ἐξείργει, καὶ οὐκ ἐᾷ στεφανοῦσθαι, οὐδὲ εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ· σὺ δὲ τὸν ἀστεφάνωτον ἐκ τῶν νόμων κελεύεις ἡμᾶς στεφανοῦν, καὶ τῷ σαυτοῦ ψηφίσματι τὸν ἀ-

πρα-

προσήκοντα εἰσκαλεῖς τοῖς τραγῳδοῖς εἰς τὴν ὀρχήστραν, εἰς τὸ ἱερὸν τοῦ Διονύσου, τὸν τὰ ἱερὰ διὰ δειλίαν προδεδωκότα· ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἐκεῖνο μέμνησθε, ὅταν φῇ δημοτικὸς εἶναι, θεωρεῖτ' αὐτοῦ μὴ τὸν λόγον, ἀλλὰ τὸν βίον, καὶ σκοπεῖτε μὴ τίς φησιν εἶναι, ἀλλὰ τίς ἐστιν· ἐπεὶ δὲ στεφάνων ἀνεμνήσθην καὶ δωρεῶν ἕως ἔτι μέμνημαι, προλέγω ὑμῖν, ἄνδρες Ἀθηναῖοι, εἰ μὴ καταλύσετε τὰς ἀφθόνους ταύτας δωρεὰς, καὶ τοὺς εἰκῇ διδομένους στεφάνους, οὔθ' οἱ τιμώμενοι χάριν ὑμῖν εἴσονται, οὔτε τὰ τῆς πόλεως πράγματα ἐπανορθωθήσεται· τοὺς μὲν γὰρ πονηροὺς οὐ μήποτε βελτίους ποιήσετε, τοὺς δὲ χρηστοὺς εἰς τὴν ἐσχάτην ἀθυμίαν ἐμβαλεῖτε· ὅτι δ' ἀληθῆ λέγω, μέγιστα οἶμαι σημεῖα δείξειν ὑμῖν· εἰ γάρ τις ὑμᾶς ἐρωτήσειε, πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νυνὶ καιρῶν ἢ ἐπὶ τῶν προγόνων, ἅπαντες ἂν ὁμολογήσαιτε ἐπὶ τῶν προγόνων· ἄνδρες δὲ πότερον τότε ἀμείνους ἦσαν ἢ νυνί; τότε μὲν διαφέροντες, νυνὶ δὲ πολὺ καταδεέστεροι· δωρεαὶ δὲ καὶ στέφανοι καὶ κηρύγματα καὶ σιτήσεις ἐν πρυτανείῳ, πότερον τότε ἦσαν πλείους ἢ νυνί; τότε μὲν ἦν σπάνια τὰ καλὰ παρ' ἡμῖν, καὶ τὸ τῆς ἀρετῆς ὄνομα τίμιον· νυνὶ δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα, καὶ τὸ στεφανοῦν ἐξ ἔθους, ἀλλ' οὐκ ἐκ προνοίας ποιεῖσθε· οὐκοῦν ἄτοπον, οὑτωσὶ διαλογιζομένοις, τὰς μὲν δωρεὰς νυνὶ πλείους εἶναι, τὰ δὲ πράγματα τῆς πόλεως τότε μᾶλλον ἢ νῦν ἰσχύειν, καὶ τοὺς ἄνδρας νυνὶ μὲν χείρους εἶναι, τότε δ' ἀμείνους· ἐγὼ δὲ τοῦθ' ὑμᾶς ἐπιχειρήσω διδάσκειν. Οἴεσθ' ἄν ποτε, ὦ Ἀθηναῖοι, ἐθελῆσαί τινα ἐπασκεῖν εἰς τὰ Παναθήναια, ἢ εἰς ἄλλον τινὰ τῶν στεφανιτῶν ἀγώνων, παγκράτιον ἢ καὶ ἄλλο τι τῶν βαρυτέρων ἄθλων, εἰ ὁ στέφανος ἐδίδοτο μὴ τῷ κρατίστῳ, ἀλλὰ τῷ διαπραξαμένῳ; οὐδέποτ' ἠθέλησεν ἐπασκεῖν· νυνὶ δ' οἶμαι, διὰ τὸ σπάνιον καὶ τὸ φιλομάχητον καὶ τὸ καλὸν καὶ τὸ ἀείμνηστον ἐκ τῆς νίκης ἐθέλουσι τινὲς τὰ σώματα παρακαταθέμενοι, καὶ τὰς μεγίστας ταλαιπωρίας ὑπομείναντες διακινδυνεύειν· ὑπολάβετε τοίνυν ὑμᾶς αὐτοὺς εἶναι ἀγωνοθέτας πολιτικῆς ἀρετῆς· κἀκεῖνο ἐκλογίσασθε, ὅτι ἐὰν μὲν τὰς δωρεὰς ὀλίγοις καὶ ἀξίοις καὶ κατὰ τοὺς νόμους διδῶτε, πολλοὺς ἀγωνιστὰς ἕξετε τῆς ἀρετῆς· ἐὰν δὲ τῷ βουλομένῳ καὶ τοῖς διαπραξαμένοις χαρίζησθε,

θε, καὶ τὰς ἐπιεικεῖς φύσεις διαφθείρετε· ὅτι δὲ ὀρθῶς λέγω, ἔτι μικρῷ σαφέστερον ὑμᾶς βούλομαι διδάξαι· πότερον ὑμῖν ἀμείνων ἀνὴρ εἶναι δοκεῖ Θεμιστοκλῆς, ὁ στρατηγήσας ὅτε τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ τὸν Πέρσην ἐνικᾶτε, ἢ Δημοσθένης ὁ τὴν τάξιν λιπών; Μιλτιάδης δὲ ὁ τὴν ἐν Μαραθῶνι μάχην τοὺς βαρβάρους νικήσας, ἢ οὗτος; ἔτι δ' οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες, Ἀριστείδης δ' ὁ δίκαιος ἐπικαλούμενος, ὁ τὴν ἀνόμοιον ἔχων ἐπωνυμίαν Δημοσθένει; ἀλλ' ἔγωγε μὰ τοὺς θεοὺς τοὺς Ὀλυμπίους, οὐδ' ἐν ταῖς αὐταῖς ἡμέραις ἄξιον ἡγοῦμαι μεμνῆσθαι τοῦ θηρίου τούτου καὶ ἐκείνων τῶν ἀνδρῶν· ἐπιδειξάτω τοίνυν Δημοσθένης ἐν τῷ αὑτοῦ λόγῳ, εἴ που γέγραπταί τινα τούτων τῶν ἀνδρῶν στεφανῶσαι· ἀχάριστος ἄρ' ἦν ὁ δῆμος; οὔκ, ἀλλὰ μεγαλόφρων, κἀκεῖνοί γε οἱ μὴ οὕτω τετιμημένοι, τῆς πόλεως ἄξιοι· οὐ γὰρ ᾤοντο δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα διαμένει· δωρεὰς δὲ τίνας ἐλάμβανον, ἄξιόν ἐστι μνησθῆναι. Ἦσάν τινες κατὰ τοὺς τότε καιρούς, οἳ πολὺν ὑπομείναντες χρόνον καὶ μεγάλους κινδύνους, ἐπὶ τῷ Στρυμόνι ποταμῷ ἐνίκων μαχόμενοι Μήδους· οὗτοι δεῦρο ἀφικόμενοι τὸν δῆμον ᾔτησαν δωρεάν, καὶ ἔδωκεν αὐτοῖς ὁ δῆμος τιμὰς μεγάλας, ὡς τότ' ἐδόκει, τρεῖς λιθίνους ἑρμᾶς στῆσαι ἐν τῇ στοᾷ τῇ τῶν ἑρμῶν, ἔφη τε μὴ ἐπιγράφειν τὰ ὀνόματα τὰ ἑαυτῶν, ἵνα μὴ τῶν στρατηγῶν, ἀλλὰ τοῦ δήμου δοκῇ εἶναι τὸ ἐπίγραμμα· ὅτι δ' ἀληθῆ λέγω, ἐξ αὐτῶν τῶν ποιημάτων εἴσεσθε· ἐπιγέγραπται γὰρ ἐπὶ μὲν τῷ πρώτῳ τῶν ἑρμῶν.

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
Παισὶν ἐπ' Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοὰς
Λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες ἄρηα,
Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

ἐπὶ δὲ τῷ δευτέρῳ.

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδε δῶκαν
Ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
Ἀμφὶ ξυνοῖσι πράγμασι μόχθον ἔχειν.

Ἐπὶ δὲ τῷ τρίτῳ ἐπιγέγραπται ἑρμῇ.

Ἔκποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
Ἡγεῖτο ζάθεον, Τρωϊκὸν ἂμ πεδίον,

Ὅς

Ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα χαλκοχιτώνων
Κοσμήτορα μάχης ἔξοχον ἄνδρα μολεῖν.
Οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
Κοσμητὰς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

Ἐστί που τὸ τῶν στρατηγῶν ὄνομα; οὐδαμοῦ, ἀλλὰ τὸ τοῦ δήμου· προσέλθετε οὖν τῇ διανοίᾳ καὶ εἰς τὴν στοὰν τὴν ποικίλην· ἁπάντων γὰρ ὑμῖν τῶν καλῶν ἔργων τὰ ὑπομνήματα ἐν τῇ ἀγορᾷ ἀνάκειται· τί οὖν ἐστιν, ὦ Ἀθηναῖοι, ὃ ἐγὼ λέγω; ἐνταῦθα ἡ ἐν Μαραθῶνι μάχη γέγραπται· τίς οὖν ἦν ὁ στρατηγός; οὑτωσὶ μὲν ἐρωτηθέντες ἅπαντες ἀποκρίναισθε ἄν, ὅτι Μιλτιάδης· ἐκεῖ δὲ οὐκ ἐπιγέγραπται· πῶς; οὐκ ᾔτησε τὴν δωρεὰν ταύτην; ᾔτησεν, ἀλλ' ὁ δῆμος οὐκ ἔδωκεν, ἀλλ' ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ γραφῆναι, παρακαλοῦντι τοὺς στρατιώτας· ἐν τοίνυν τῷ μητρῴῳ παρὰ τὸ βουλευτήριον, ἣν ἔδοτε δωρεὰν τοῖς ἀπὸ Φυλῆς φεύγοντι, τὸν δῆμον καταγαγοῦσιν ἐστὶν ἰδεῖν· ἦν μὲν γὰρ τὸ ψήφισμα γράψας καὶ νικήσας, Ἀρχῖνος ὁ ἐκ Κοίλης, εἷς τῶν καταγαγόντων τὸν δῆμον· ἔγραψε δὲ πρῶτον μὲν, αὐτοῖς εἰς θυσίαν καὶ ἀναθήματα δοῦναι χιλίας δραχμάς· (καὶ τοῦτ' ἐστιν ἔλαττον ἢ δέκα δραχμαὶ κατ' ἄνδρα ἕκαστον.) ἔπειτα κελεύει στεφανῶσθαι θαλλοῦ στεφάνῳ αὐτῶν ἕκαστον, ἀλλ' οὐ χρυσῷ· (τότε μὲν γὰρ ἦν ὁ τοῦ θαλλοῦ στέφανος τίμιος, νυνὶ δὲ καὶ ὁ χρυσοῦς καταπεφρόνηται·) καὶ οὐδὲ τοῦτο εἰκῇ πρᾶξαι κελεύει, ἀλλ' ἀκριβῶς τὴν βουλὴν σκεψαμένην ὅσοι αὐτῶν ἐπὶ Φυλῆς ἐπολιορκήθησαν, ὅτε Λακεδαιμόνιοι καὶ οἱ τριάκοντα προσέβαλλον τοῖς καταλαβοῦσι Φυλὴν, οὐχ ὅσοι τὴν τάξιν ἔλιπον ἐν Χαιρωνείᾳ τῶν πολεμίων ἐπιόντων· ὅτι δ' ἀληθῆ λέγω, ἀναγνώσεται ὑμῖν τὸ ψήφισμα· Ψήφισμα περὶ δωρεᾶς τοῖς ἀπὸ Φυλῆς·

Παρανάγνωθι καὶ ὃ γέγραφε Κτησιφῶν Δημοσθένει, τῷ τῶν μεγίστων κακῶν αἰτίῳ. Ψήφισμα· τούτῳ τῷ ψηφίσματι ἐξαλείφεται ἡ τῶν καταγαγόντων τὸν δῆμον δωρεά· εἰ τοῦτο ἔχει καλῶς, ἐκεῖνο αἰσχρῶς· εἰ ἐκεῖνοι κατὰ ἀξίαν ἐτιμήθησαν, οὗτος ἀνάξιος ὢν στεφανοῦται· καί τοι πυνθάνομαί γ' αὐτὸν μέλλειν λέγειν, ὡς οὐ δίκαια ποιῶ, παραβάλλων αὐτῷ τὰ τῶν προγόνων ἔργα· οὐδὲ γὰρ Φιλάμμονα φήσειν τὸν πύκτην Ὀλυμπίασι στεφανωθῆναι, νικήσαντα Γλαῦκον τὸν παλαιὸν ἐκεῖνον πύκτην, ἀλλὰ τοὺς καθ' ἑαυτὸν ἀγωνιστάς· ὥσπερ

ἡμᾶς ἀγνοοῦντας, ὅτι τοῖς μὲν πύκταις ἐστὶν ὁ ἀγὼν πρὸς ἀλλήλους, τοῖς δ' ἀξιοῦσι στεφανοῦσθαι, πρὸς αὐτὴν τὴν ἀρετήν, ἧς δὲ ἕνεκα στεφανοῦνται· δεῖ γὰρ τὸν κήρυκα ἀψευδεῖν, ὅταν τὴν ἀνάρρησιν ἐν τῷ θεάτρῳ ποιῆται πρὸς τοὺς Ἕλληνας· μὴ δὴ ἡμῖν ὡς Παταικίων ἄμεινον πεπολίτευσαι διέξιθι, ἀλλ' ἐφικόμενος τῆς ἀνδραγαθίας, οὕτω τὰς χάριτας τὸν δῆμον ἀπαίτει. ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως, ἀναγνώσεται ὑμῖν ὁ γραμματεὺς τὸ ἐπίγραμμα, ὃ ἐπιγέγραπται τοῖς ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγοῦσι.

Ἐπίγραμμα.

Τὰς δ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
Δῆμος Ἀθηναίων· οἵποτε τοὺς ἀδίκοις
Θεσμοῖς ἄρξαντας πρῶτοι πόλεως καταπαύειν
Ἦρξαν κίνδυνον σώμασιν ἀράμενοι.

Ὅτι τοὺς παρὰ τοὺς νόμους ἄρξαντας κατέλυσαν, διὰ τοῦτ' αὐτούς φησιν ὁ ποιητὴς τιμηθῆναι· ἔναυλον γὰρ ἦν ἔτι τότε πᾶσιν, ὅτι τηνικαῦτα ὁ δῆμος κατελύθη, ἐπειδή τινες τὰς γραφὰς τῶν παρανόμων ἀνεῖλον. καὶ γάρ τι ὡς ἐγὼ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ ἐπυνθανόμην (ὃς ἔτη βιοὺς ἐνενήκοντα καὶ πέντε ἐτελεύτησεν, ἁπάντων μετασχὼν τῶν πόνων τῇ πόλει) ὃς πολλάκις πρός με διεξῄει ἐπὶ σχολῆς· ἔφη γάρ, ὅτε ἀρτίως κατεληλύθει ὁ δῆμος, εἴ τις εἰσῄει γραφὴ παρανόμων εἰς δικαστήριον, εἶναι ὅμοιον τὸ ὄνομα καὶ τὸ ἔργον· τί γὰρ ἀνοσιώτερον ἀνδρὸς παράνομα λέγοντος καὶ πράττοντος; καὶ τὴν ἀκρόασιν (ὡς ἐκεῖνος ἀπήγγελλεν) οὐ τὸν αὐτὸν τρόπον ἐποιοῦντο ὥσπερ νῦν γίνεται, ἀλλ' ἦσαν πολὺ χαλεπώτεροι οἱ δικασταὶ τοῖς παράνομα γράφουσιν αὐτοῦ τοῦ κατηγόρου, καὶ πολλάκις ἀνεπόδιζον τὸν γραμματέα, καὶ ἐκέλευον πάλιν ἀναγινώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα, καὶ ἡλίσκοντο οἱ παράνομα γράφοντες, οὐκ εἰ πάντας παραπηδήσειαν τοὺς νόμους, ἀλλ' εἰ μίαν μόνον συλλαβὴν παραλλάξειαν· τὸ δὲ νυνὶ γινόμενον πρᾶγμα ὑπερκαταγέλαστόν ἐστιν· ὁ μὲν γὰρ γραμματεὺς ἀναγινώσκει τὸ παράνομον, οἱ δὲ δικασταὶ ὥσπερ ἐπῳδὴν ἢ ἀλλότριόν τι πρᾶγμα ἀκροώμενοι, πρὸς ἑτέρῳ τινὶ τὴν γνώμην ἔχουσιν· ἤδη δ' ἐκ τῶν τεχνῶν τῶν Δημοσθένους, αἰσχρὸν ἔθος ἐν τοῖς δικαστηρίοις παραδέχεσθε· μετενήνεκται γὰρ ὑμῖν τὰ τῆς πόλεως δίκαια· ὁ μὲν γὰρ κα-

τήγορος ἀπολογεῖται, ὁ δὲ φεύγων τὴν γραφὴν κατηγορεῖ· οἱ δὲ δικασταὶ ἐνίοτε, ὧν μέν εἰσι κριταί, ἐπιλανθάνονται, ὧν δὲ οὐκ εἰσὶ δικασταί, περὶ τούτων ἀναγκάζονται τὴν ψῆφον φέρειν· λέγει δὲ ὁ φεύγων, ἂν ἄρα ποτὲ ἅψηται τοῦ πράγματος, οὐχ ὡς ἔννομα γέγραφεν, ἀλλ' ὡς ἤδη ποτὲ καὶ πρότερος ἄλλος τοιαῦτα γράψας ἀπέφυγεν· ἐφ' ᾧ καὶ νυνὶ μέγα φρονεῖν ἀκούω Κτησιφῶντα· ἐτόλμα δ' ἐν ὑμῖν ποτε σεμνύνεσθαι Ἀριστοφῶν ἐκεῖνος ὁ Ἀζηνιεύς, λέγων ὅτι γραφὰς παρανόμων πέφευγεν ἑβδομήκοντα καὶ πέντε· ἀλλ' οὐχ ὁ Κέφαλος ὁ παλαιὸς ἐκεῖνος ὁ δοκῶν δημοτικώτατος γεγονέναι, οὐχ οὕτως, ἀλλ' ἐπὶ τοῖς ἐναντίοις ἐφιλοτιμεῖτο, λέγων ὅτι πλεῖστα πάντων γεγραφὼς ψηφίσματα, οὐδεμίαν πώποτε γραφὴν πέφευγε παρανόμων, καλῶς (οἶμαι) σεμνυνόμενος· ἐγράφοντο γὰρ ἀλλήλους παρανόμων οὐ μόνον οἱ διαπολιτευόμενοι, ἀλλὰ καὶ οἱ φίλοι τοὺς φίλους, εἴ τι ἐξαμαρτάνοιεν εἰς τὴν πόλιν· ἐκεῖθεν δὲ τοῦτο γνώσεσθε· Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων Θρασύβουλον τὸν Στειριέα, γράψαντά τι παρὰ τοὺς νόμους, σύνενα τῶν συγκατελθόντων αὐτῷ ἀπὸ Φυλῆς, καὶ εἷλε, νεωστὶ γεγενημένων αὐτῷ τῶν εὐεργεσιῶν, ἃς οὐχ ὑπελογίζοντο οἱ δικασταί· ἡγοῦντο γάρ, ὥσπερ τότε αὐτοὺς φεύγοντας ἀπὸ Φυλῆς Θρασύβουλος κατήγαγεν, οὕτω καὶ μένοντας ἐξελαύνειν, παρὰ τοὺς νόμους γράφοντά τι· ἀλλ' οὐ νῦν, ἀλλ' ἅπαν τοὐναντίον γίνεται· οἱ γὰρ ἀγαθοὶ στρατηγοὶ ὑμῶν καὶ τῶν τὰς σιτήσεις τινὲς εὑρημένων ἐν τῷ πρυτανείῳ, ἐξαιτοῦνται τὰς γραφὰς τῶν παρανόμων, οὓς ὑμεῖς ἀχαρίστους εἶναι δικαίως ἂν ὑπολαμβάνοιτε· εἰ γάρ τις ἐν δημοκρατίᾳ τετιμημένος ἐν τοιαύτῃ πόλει, ἣν οἱ θεοὶ καὶ οἱ νόμοι σῴζουσι, τολμᾷ βοηθεῖν τοῖς παράνομα γράφουσι, καταλύει τὴν πολιτείαν, ὑφ' ἧς τετίμηται· τίς οὖν ἀποδέδεικται λόγος ἀνδρὶ δικαίῳ συνηγόρῳ καὶ σώφρονι, ἐγὼ λέξω. Εἰς τρία μέρη διαιρεῖται ἡ ἡμέρα, ὅταν εἰσίῃ γραφὴ παρανόμων εἰς τὸ δικαστήριον· ἐγχεῖται γὰρ τὸ μὲν πρῶτον ὕδωρ τῷ κατηγόρῳ, καὶ τοῖς νόμοις, καὶ τῇ δημοκρατίᾳ· τὸ δὲ δεύτερον ὕδωρ, τῷ τὴν γραφὴν φεύγοντι καὶ τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν· ἐπειδὰν δὲ τῇ πρώτῃ ψήφῳ μὴ λυθῇ τὸ παράνομον, ἤδη τὸ τρίτον ὕδωρ ἐγχεῖται τῇ τιμήσει καὶ τῷ μεγέθει τῆς ὀργῆς τῆς ὑμετέρας· ὅς τις μὲν οὖν ἐν τῇ τιμήσει τὴν ψῆφον αἰ-

τεῖ,

τοῦ, τὴν ὀργὴν τὴν ὑμετέραν παραιτεῖται· ὅστις δ' ἐν τῷ
πρώτῳ λόγῳ τὴν ψῆφον αἰτεῖ, ὅρκον αἰτεῖ, νόμον αἰτεῖ,
δημοκρατίαν αἰτεῖ, ὧν οὔτε αἰτῆσαι οὐδὲν ὅσιον οὐδενὶ, οὔτ'
αἰτηθέντα ἑτέρῳ δοῦναι· κελεύσατε οὖν αὐτοὺς ἐάσαντας
ὑμᾶς, τὴν πρώτην ψῆφον κατὰ τοὺς νόμους διενεγκεῖν,
ἀπαντᾶν εἰς τὴν τίμησιν· ὅλως δ' ἔγωγε, ὦ Ἀθηναῖοι,
ὀλίγου δέω εἰπεῖν, ὡς καὶ νόμον δεῖ τεθῆναι ἐπὶ ταῖς
γραφαῖς μόνον τῶν παρανόμων, μὴ ἐξεῖναι μήτε τῷ
κατηγόρῳ συνηγόρους παρέχεσθαι, μήτε τῷ τὴν γρα-
φὴν τῶν παρανόμων φεύγοντι· οὐ γὰρ ἀόριστόν ἐστι τὸ
δίκαιον, ἀλλ' ὡρισμένον τοῖς νόμοις τοῖς ὑμετέροις· ὥσ-
περ γὰρ ἐν τῇ τεκτονικῇ, ὅταν εἰδέναι βουλώμεθα τὸ
ὀρθὸν καὶ τὸ μὴ, τὸν κανόνα προσφέρομεν ᾧ διαγινώ-
σκεται, οὕτω καὶ ἐν ταῖς γραφαῖς τῶν παρανόμων πα-
ράκειται κανὼν τοῦ δικαίου, τουτὶ τὸ σανίδιον, καὶ τὸ ψή-
φισμα, καὶ οἱ παραγεγραμμένοι νόμοι· ταῦτα συμ-
φωνοῦντα ἀλλήλοις ἐπιδείξας κατάβαινε· καὶ τί δεῖ σε
Δημοσθένην παρακαλεῖν; ὅταν δὲ ὑπερπηδήσας τὴν
δικαίαν ἀπολογίαν, παρακαλεῖς κακοῦργον ἄνθρωπον
καὶ τεχνίτην λόγων, κλέπτεις τὴν ἀκρόασιν, βλάπτεις
τὴν πόλιν, καταλύεις τὴν δημοκρατίαν· τίς οὖν ἐστιν ἀ-
ποτροπὴ τῶν τοιούτων λόγων, ἐγὼ ἐρῶ· ἐπειδὰν προσελ-
θὼν ἐνταυθοῖ Κτησιφῶν διεξέλθῃ πρὸς ὑμᾶς τοῦτο δὴ τὸ
συντεταγμένον αὐτῷ προοίμιον, ἔπειτ' ἐνδιατρίβῃ
καὶ μὴ ἀπολογῆται· ὑπομνήσατ' αὐτὸν ἄνευ θορύβου τὸ
σανίδιον λαβεῖν, καὶ τοὺς νόμους τῷ ψηφίσματι παρα-
ναγνῶναι· ἐὰν δὲ μὴ προσποιῆται ὑμῶν ἀκούειν, μηδὲ
ὑμεῖς ἐκείνου ἐθέλετε ἀκούειν· οὐ γὰρ τῶν φευγόντων τὰς
οὐ δικαίας ἀπολογίας εἰσεληλύθατε ἀκροασόμενοι, ἀλ-
λὰ τῶν ἐθελόντων δικαίως ἀπολογεῖσθαι· ἐὰν δὲ ὑ-
περπηδήσας τὴν δικαίαν ἀπολογίαν Δημοσθένην παρα-
καλῇ, μάλιστα μὲν μὴ προσδέχεσθε κακοῦργον ἄνθρω-
πον, οἰόμενον ῥήμασι τοὺς νόμους ἀναιρήσειν, μηδ' ἐν ἀ-
ρετῇ τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἂν ἐπανερό-
μενος Κτησιφῶντα εἰ καλέσει Δημοσθένην, πρῶτος ἀ-
ναβοήσει, κάλει, κάλει· καλῶν γὰρ ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ
τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς· ἐὰν δ' ἄρα
ὑμῖν δόξῃ ἀκούειν, ἀξιώσατε τὸν Δημοσθένην τὸν αὐτὸν
τρόπον ἀπολογεῖσθαι, ὅνπερ κἀγὼ κατηγόρηκα,
ὡς δέ πως, ἵνα καὶ ὑπομνήσω ὑμᾶς· οὔτε τὸν ἴ-
διον βίον τοῦ Δημοσθένους πρότερον διεξῆλθον, οὔτε τῶν
δημο-

δημοσίων ἀδικημάτων οὐδενὸς πρότερον ἐμνήσθην, ἀφθονία δήπου καὶ πολλὰ ἔχων λέγειν (ἢ πάντων γ' ἂν εἴην ἀπορώτατος) ἀλλὰ πρῶτον μὲν τοὺς νόμους ἐπέδειξα ἀπαγορεύοντας μὴ στεφανοῦν τοὺς ὑπευθύνους, ἔπειτα τὸν ῥήτορα ἐξήλεγξα γράψαντα Δημοσθένην ὑπεύθυνον ὄντα στεφανοῦν, οὐδὲν προβαλόμενον, οὐδὲ προσεγγράψαντα, ἐπειδὰν δῷ τὰς εὐθύνας, ἀλλὰ παντελῶς καὶ ὑμῶν καὶ τῶν νόμων καταπεφρονηκότα, καὶ τὰς ἐσομένας πρὸς ταῦτα προφάσεις εἶπον, ἃς ἀξιῶ καὶ ὑμᾶς διαμνημονεύειν· δεύτερον δ' ὑμῖν διεξῆλθον τοὺς περὶ τῶν κηρυγμάτων νόμους, ἐν οἷς διαρρήδην ἀπείρηται, τὸν ὑπὸ τοῦ δήμου στεφανούμενον μὴ κηρύττεσθαι ἔξω τῆς ἐκκλησίας· ὁ δὲ ῥήτωρ ὁ φεύγων τὴν γραφὴν, οὐ τοὺς νόμους μόνον παραβέβηκεν, ἀλλὰ καὶ τὸν καιρὸν τῆς ἀναρρήσεως καὶ τὸν τόπον, κελεύων οὐκ ἐν τῇ ἐκκλησίᾳ, ἀλλ' ἐν τῷ θεάτρῳ τὴν ἀνάρρησιν γίνεσθαι, οὐδὲ ἐκκλησιαζόντων Ἀθηναίων, ἀλλὰ μελλόντων τραγῳδῶν εἰσιέναι· ταῦτα δ' εἰπὼν, μικρὰ μὲν περὶ τῶν ἰδίων εἶπον, τὰ δὲ πλεῖστα περὶ τῶν δημοσίων ἀδικημάτων λέγω· οὕτω δὴ καὶ τὸν Δημοσθένην ἀξιοῦτε ἀπολογεῖσθαι πρὸς τὸν τῶν ὑπευθύνων νόμον πρῶτον, καὶ τὸν περὶ τῶν κηρυγμάτων δεύτερον· τρίτον δὲ τὸ μέγιστον, λέγω, ὡς οὐδὲ ἄξιός ἐστι τῆς δωρεᾶς· ἐὰν δ' ὑμῶν δέηται συγχωρῆσαι αὐτῷ περὶ τῆς τάξεως τοῦ λόγου, κατεπαγγελλόμενος ὡς ἐπὶ τῇ τελευτῇ τῆς ἀπολογίας λύσει τὸ παράνομον, μὴ συγχωρεῖτε, μηδ' ἀγνοεῖθ' ὅτι πάλαισμα τοῦτ' ἐστὶ δικαστηρίου· οὐ γὰρ εἰσαῦθίς ποτε βούλεται πρὸς τὸ παράνομον ἀπολογεῖσθαι, ἀλλ' οὐδὲν ἔχων δίκαιον εἰπεῖν, ἑτέρων παρεμβολῇ πραγμάτων εἰς λήθην ὑμᾶς βούλεται τῆς κατηγορίας ἐμβαλεῖν· ὥσπερ οὖν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὁρᾶτε τοὺς πύκτας περὶ τῆς στάσεως πρὸς ἀλλήλους διαγωνιζομένους, οὕτω καὶ ὑμεῖς ὅλην τὴν ἡμέραν ὑπὲρ τῆς πόλεως καὶ περὶ τῆς τάξεως αὐτῷ τοῦ λόγου μάχεσθε· καὶ μὴ ἐᾶτε αὐτὸν ἔξω τοῦ παρανόμου λόγους περιΐστασθαι, ἀλλ' ἐγκαθήμενοι καὶ ἐνεδρεύοντες ἐν τῇ ἀκροάσει, εἰσελαύνετε αὐτὸν εἰς τοὺς τοῦ πράγματος λόγους, καὶ τὰς ἐκτροπὰς αὐτοῦ τῶν λόγων ἐπιτηρεῖτε· ἀλλ' ἃ δὴ συμβήσεται ὑμῖν, ἐὰν τοῦτον τὸν τρόπον τὴν ἀκρόασιν ποιῆσθε, ταῦθ' ὑμῖν ἤδη δίκαιός εἰμι προειπεῖν· ἐπεισάξει γὰρ τὸν γόητα καὶ βαλαντιοτόμον, καὶ διατετμηκότα τὴν πολιτείαν· οὗτος κλαίει μὲν ῥᾷον

ἢ ἄλ-

ἢ ἄλλοι γελῶσιν, ἐπιορκεῖ δὲ πάντων προχειρότατα ἀνθρώπων· οὐκ ἂν θαυμάσαιμι δέ, εἰ μεταβαλλόμενος τοῖς ἔξω περιεστηκόσι λοιδορήσεται· φάσκων τοὺς μὲν ὀλιγαρχικοὺς ὑπ' αὐτῆς τῆς ἀληθείας διηριθμημένους ἥκειν πρὸς τὸ τοῦ κατηγόρου βῆμα, τοὺς δὲ δημοτικοὺς πρὸς τὸ τοῦ φεύγοντος· ὅταν δὴ ταῦτα λέγῃ, πρὸς μὲν τοὺς στασιαστικοὺς λόγους ἐκεῖνο αὐτῷ ὑποβάλλετε, ὅτι, ὦ Δημόσθενες, εἰ σοὶ ἦσαν ὅμοιοι οἱ ἀπὸ Φυλῆς φεύγοντα τὸν δῆμον καταγαγόντες, οὐκ ἄν ποτε δημοκρατία κατέστη· νῦν δὲ ἐκεῖνοι μέν, μεγάλων κακῶν συμβάντων, ἔσωσαν τὴν πόλιν, τὸ κάλλιστον ἐκ παιδείας ῥῆμα φθεγξάμενοι, μὴ μνησικακεῖν· σὺ δὲ ἑλκοποιεῖς, καὶ μᾶλλόν σοι μέλει τῶν αὐθημερινῶν λόγων, ἢ τῆς σωτηρίας τῆς πόλεως· ὅταν δ' ἐπίορκος ὤν, εἰς τὴν διὰ τῶν ὅρκων πίστιν καταφυγγάνῃ, ἐκεῖνο ἀπομνημονεύσατε αὐτῷ, ὅτι τῷ πολλάκις μὲν ἐπιορκοῦντι, ἀεὶ δὲ πρὸς τοὺς αὐτοὺς μεθ' ὅρκων ἀξιοῦντι πιστεύεσθαι, δυοῖν θάτερον ὑπάρξαι δεῖ, (ὧν οὐδέτερόν ἐστι Δημοσθένει ὑπάρχον,) ἢ τοὺς θεοὺς καινοὺς, ἢ τοὺς ἀκροατὰς μὴ τοὺς αὐτούς· περὶ δὲ τῶν δακρύων καὶ τοῦ τόνου τῆς φωνῆς, ὅταν ὑμᾶς ἐπερωτᾷ, ποῖ καταφύγω, ἄνδρες Ἀθηναῖοι; περιγράψετέ με ἐκ τῆς πολιτείας· οὐκ ἔστιν ὅποι ἀναπτήσομαι· ἀνθυποβάλλετε αὐτῷ, ὁ δὲ δῆμος ὁ Ἀθηναίων ποῖ καταφύγῃ, Δημόσθενες; ἢ πρὸς ποίαν συμμαχίαν παρασκευήν; πρὸς ποῖα χρήματα; τί προβαλλόμενος ὑπὲρ τοῦ δήμου πεπολίτευσαι; ἃ μὲν γὰρ ὑπὲρ σεαυτοῦ βεβούλευσαι, ἅπαντες ὁρῶμεν· ἐκλιπὼν μὲν τὸ ἄστυ, οὐκ οἰκεῖς, ὡς δοκεῖς, ἐν Πειραιεῖ, ἀλλ' ἐξορμεῖς ἐκ τῆς πόλεως· ἐφόδια δὲ πεπόρισαι τῇ σαυτοῦ ἀνανδρίᾳ τὸ βασιλικὸν χρυσίον καὶ τὰ δημόσια δωροδοκήματα· ὅλως δὲ τί τὰ δάκρυα; τίς ἡ κραυγή; τίς ὁ τόνος τῆς φωνῆς; οὐχ ὁ μὲν τὴν γραφὴν φεύγων ἐστὶ Κτησιφῶν, ὁ δὲ ἀγὼν οὐκ ἀτίμητος; σὺ δ' οὔτε περὶ τῆς οὐσίας, οὔτε περὶ τοῦ σώματος, οὔτε περὶ τῆς ἐπιτιμίας ἀγωνίζῃ· ἀλλὰ περὶ τίνος ἐστὶν αὐτῷ ἡ σπουδή; περὶ χρυσῶν στεφάνων καὶ κηρυγμάτων ἐν τῷ θεάτρῳ παρὰ τοὺς νόμους· ὃν ἐχρῆν, εἰ καὶ μανεὶς ὁ δῆμος, ἢ τῶν καθεστηκότων ἐπιλελησμένος, ἐπὶ τοιαύτης ἀκαιρίας ἐβούλετο στεφανοῦν, αὐτὸν παρελθόντα εἰς τὴν ἐκκλησίαν εἰπεῖν· ἄνδρες Ἀθηναῖοι, τὸν μὲν στέφανον δέχομαι, τὸν δὲ καιρὸν ἀποδοκιμάζω, ἐν ᾧ τὸ κήρυγμα γίγνεται· οὐ γὰρ δεῖ ἐφ'

οἷς ἡ πόλις ἐπείθη τε καὶ ἐκέχρητο, ἐπὶ τούτοις ἐμὲ στεφανοῦσθαι· ἀλλ' οἶμαι, ταῦτα μὲν ἂν εἴποι ἀνὴρ ὄντως βεβιωκὼς μετ' ἀρετῆς· ἃ δὲ σὺ λέξεις, εἴποι ἂν κάθαρμα ζηλοτυποῦν ἀρετήν· οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα τοῦτό γε ὑμῶν οὐδεὶς φοβηθήσεται, μὴ ὁ Δημοσθένης, ἀνὴρ μεγαλόψυχος, καὶ τὰ πολεμικὰ διαφέρων, ἀποτυχὼν τῆς ἀριστείας, οἴκαδε ἐπανελθὼν ἑαυτὸν διαχρήσεται, ὃς τοσοῦτον καταγελᾷ τῆς πρὸς ὑμᾶς φιλοτιμίας, ὥστε τὴν μικρὰν κεφαλὴν ταύτην καὶ ὑπεύθυνον, ἣν οὗτος παρὰ πάντας τοὺς νόμους γέγραφε στεφανῶσαι, μυριάκις κατατέτμηκε· καὶ τούτων μισθοὺς εἴληφε, τραύματος ἐκ προνοίας γραφὰς γραφόμενος, καὶ κατακεκονδύλισται, ὥστε αὐτὸν οἶμαι τὰ τῶν κονδύλων ἴχνη τῶν Μειδίου ἔχειν ἔτι φανερά· ὁ γὰρ ἄνθρωπος οὐ κεφαλήν, ἀλλὰ πρόσοδον κέκτηται· περὶ δὲ Κτησιφῶντος τοῦ γράψαντος τὴν γνώμην βραχέα βούλομαι εἰπεῖν· τὰ δὲ πολλὰ ὑπερβήσομαι, ἵνα καὶ πεῖραν ὑμῶν λάβω, εἰ δύνασθε τοὺς σφόδρα πονηρούς, κἂν μή τις προείπῃ, διαγινώσκειν· ὃ δ' ἐστὶ κοινὸν καὶ δίκαιον κατ' ἀμφοτέρων αὐτῶν ἀπαγγεῖλαι, πρὸς ὑμᾶς τοῦτ' ἐρῶ. Περιέρχονται τὴν ἀγορὰν ἀληθεῖς κατ' ἀλλήλων ἔχοντες δόξας, καὶ λόγους οὐ ψευδεῖς λέγοντες· ὁ μὲν γὰρ Κτησιφῶν οὐ τὸ καθ' ἑαυτόν φησι φοβεῖσθαι (ἐλπίζει γὰρ δόξειν ἰδιώτης εἶναι) ἀλλὰ τὴν τοῦ Δημοσθένους ἐν τῇ πολιτείᾳ δωροδοκίαν φησὶ φοβεῖσθαι, καὶ τὴν ἐμπληξίαν καὶ δειλίαν· ὁ δὲ Δημοσθένης εἰς αὐτὸν μὲν ἀποβλέπων, θαρρεῖν φησιν, τὴν δὲ τοῦ Κτησιφῶντος πονηρίαν καὶ πορνοβοσκίαν ἰσχυρῶς δεδιέναι· τοὺς δὴ κατεγνωκότας ἀλλήλων ἀδικεῖν, μηδαμῶς ὑμεῖς οἱ κοινοὶ κριταὶ τῶν ἐγκλημάτων ἀπολύσητε· περὶ δὲ τῶν εἰς ἐμαυτὸν λοιδοριῶν βραχέα βούλομαι προειπεῖν· πυνθάνομαι γὰρ λέξειν Δημοσθένην ὡς ἡ πόλις ὑπ' αὐτοῦ μὲν ὠφέληται, πολλὰ δὲ ὑπ' ἐμοῦ καταβέβλαπται· καὶ τὸν Φίλιππον καὶ τὸν Ἀλέξανδρον καὶ τὰς ἀπὸ τούτων αἰτίας ἀνοίσειν ἐπ' ἐμέ· οὕτω γάρ ἐστιν (ὡς ἔοικε) δεινὸς δημιουργὸς λόγων, ὥστε οὐκ ἀπόχρη αὐτῷ, εἴ τι πεπολίτευμαι παρ' ὑμῖν ἐγώ, ἢ εἴ τινας δημηγορίας εἴρηκα, τούτων κατηγορεῖν, ἀλλὰ καὶ τὴν ἡσυχίαν αὐτὴν τοῦ βίου διαβάλλει, καὶ τῆς σιωπῆς μου κατηγορεῖ (ἵνα μηδεὶς αὐτῷ τόπος ἀσυκοφάντητος παραλίπηται) καὶ τὰς ἐν τοῖς γυμνασίοις μετὰ τῶν νεωτέρων μου

δια-

διατριβὰς καταμέμφεται, καὶ κατὰ τοῦτο τῆς κρίσεως εὐθὺς ἀρχόμενος τοῦ λόγου φέρει τινὰ αἰτίαν, λέγων ὡς ἐγὼ τὴν γραφὴν οὐχ ὑπὲρ τῆς πόλεως ἐγραψάμην, ἀλλ' ἐνδεικνύμενος Ἀλεξάνδρῳ διὰ τὴν πρὸς αὐτὸν ἔχθραν· καὶ νὴ Δί', ὡς ἐγὼ πυνθάνομαι, μέλλει με ἀνερωτᾶν, διὰ τί τὸ μὲν κεφάλαιον τῆς πολιτείας αὐτοῦ ψέγω, τὰ δὲ καθ' ἕκαστον οὐκ ἐκώλυον, οὐδ' ἐγραφόμην, ἀλλὰ διαλιπών, καὶ πρὸς τὴν πολιτείαν οὐ πυκνὰ προσιὼν ἀπήνεγκα τὴν γραφήν· ἐγὼ δὲ οὔτε τὰς Δημοσθένους διατριβὰς ἐζήλωκα, οὔτ' ἐπὶ ταῖς ἐμαυτοῦ αἰσχύνομαι, οὔτε τοὺς εἰρημένους ἐν ὑμῖν λόγους ἐμαυτῷ ἀρρήτους εἶναι βουλοίμην, οὔτε τὰ αὐτὰ τούτῳ δημηγορήσας, ἐδεξάμην ἂν ζῆν· τὴν δ' ἐμὴν σιωπήν, ὦ Δημόσθενες, ἡ τοῦ βίου μετριότης παρεσκεύασεν· ἀρκεῖ γάρ μοι μικρά, καὶ μειζόνων αἰσχρῶς οὐκ ἐπιθυμῶ· ὥστε καὶ σιγῶ καὶ λέγω βουλευσάμενος, ἀλλ' οὐκ ἀναγκαζόμενος ὑπὸ τῆς ἐν τῇ φύσει δαπάνης· σὺ δ', οἶμαι, λαβὼν μὲν σεσίγηκας, ἀναλώσας δὲ κέκραγας· λέγεις δὲ οὐχ ὁπόταν σοι δοκῇ οὐδ' ἃ βούλει, ἀλλ' ὁπόταν οἱ μισθοδόται σοι προστάττωσιν· οὐκ αἰσχύνῃ γὰρ ἀλαζονευόμενος, ἃ παραχρῆμα ἐξελέγχῃ ψευδόμενος· ἀπηνέχθη γὰρ ἡ κατὰ τοῦδε τοῦ ψηφίσματος γραφή, ἣν οὐχ ὑπὲρ τῆς πόλεως, ἀλλ' ὑπὲρ τῆς εἰς Ἀλέξανδρον ἐνδείξεώς με φῂς ἀπενεγκεῖν, ἔτι Φιλίππου ζῶντος, πρὶν Ἀλέξανδρον εἰς τὴν ἀρχὴν καταστῆναι, οὔπω σοῦ τὸ περὶ Παυσανίαν ἐνύπνιον ἑωρακότος, οὐδὲ πρὸς τὴν Ἀθηνᾶν καὶ τὴν Ἥραν νύκτωρ διειλεγμένου· πῶς ἂν οὖν ἐγὼ προενεδεικνύμην Ἀλεξάνδρῳ; εἴ γε μὴ ταυτὸ ἐνύπνιον ἐγὼ καὶ Δημοσθένης εἴδομεν. Ἐπιτιμᾷς δέ μοι εἰ μὴ συνεχῶς, ἀλλὰ διαλείπων πρὸς τὸν δῆμον προσέρχομαι, καὶ τὴν ἀξίωσιν ταύτην οἴει λανθάνειν ἡμᾶς μεταφέρων οὐκ ἐκ δημοκρατίας, ἀλλ' ἐξ ἑτέρας πολιτείας· ἐν μὲν γὰρ ταῖς ὀλιγαρχίαις οὐχ ὁ βουλόμενος, ἀλλ' ὁ δυναστεύων κατηγορεῖ· ἐν δὲ ταῖς δημοκρατίαις ὁ βουλόμενος, καὶ ὅταν αὐτῷ δόξῃ, καὶ τὸ μὲν διὰ χρόνου λέγειν, σημεῖόν ἐστιν ἐπὶ τῶν καιρῶν καὶ τοῦ συμφέροντος ἀνδρὸς πολιτευομένου· τὸ δὲ μηδεμίαν παραλείπειν ἡμέραν, ἐργαζομένου καὶ μισθαρνοῦντος· ὑπὲρ δὲ τοῦ μηδέπω κεκρίσθαι ὑπ' ἐμοῦ, μηδὲ τῶν ἀδικημάτων τιμωρίαν ὑποσχεῖν, ὅταν καταφεύγῃς ἐπὶ τοὺς τοιούτους λόγους, ἢ τοὺς ἀκούοντας ἐπιλήσμονας ὑπολαμβάνεις, ἢ σαυτὸν παρα-

λογί-

λογίζῃ· τὰ μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας ἠσεβημένα σοι, καὶ τὰ περὶ τὴν Εὔβοιαν δωροδοκηθέντα, χρόνων ἐγγεγενημένων, ἐν οἷς ὑπ' ἐμοῦ φανερῶς ἐξηλέγχου, ἴσως ἐλπίζεις τὸν δῆμον ἀμνημονεῖν· τὰ δὲ περὶ τὰς τριήρεις καὶ τοὺς τριηράρχους ἁρπάγματα, τίς ἂν ἀποκρύψαι χρόνος δυνήσαιτ' ἂν, ὅτε νομοθετήσας περὶ τῶν τριακοσίων νεῶν, καὶ σαυτὸν πείσας Ἀθηναίους ἐπιστάτην τάξαι τοῦ ναυτικοῦ, ἐξηλέγχθης ὑπ' ἐμοῦ ἑξήκοντα, καὶ πέντε νεῶν ταχυναυτουσῶν τριηράρχους ὑφῃρημένος, πλέον τῆς πόλεως ἡμῶν ἀφανίζων ναυτικὸν, ἢ ὅτε Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλιν ἐνίκησαν· οὕτω καὶ ταῖς αἰτίαις ἐνέφραξας τὰς κατὰ σαυτοῦ τιμωρίας, ὥστε τὸν κίνδυνον εἶναι μὴ σοὶ τῷ ἀδικήσαντι, ἀλλὰ τοῖς ἐπεξιοῦσι· πολλὴν μὲν τὸν Ἀλέξανδρον καὶ Φίλιππον ἐν ταῖς διαβολαῖς φέρων, αἰτιώμενος δέ τινας ἐμποδίζειν τοὺς τῆς πόλεως καιροὺς, ἀεὶ τὸ παρὸν λυμαινόμενος, τὸ δὲ μέλλον κατεπαγγελλόμενος· οὕτω τελευταῖον εἰσαγγέλλεσθαι μέλλων ὑπ' ἐμοῦ, τὴν Ἀναξίνου σύλληψιν τοῦ Ὠρείτου κατεσκεύασας, τοῦ τὰ ἀγοράσματα Ὀλυμπιάδι ἀγοράζοντος, καὶ τὸν αὐτὸν ἄνδρα διεστρέβλωσας τῇ σαυτοῦ χειρὶ, γράψας αὐτὸν θανάτῳ ζημιῶσαι, καὶ παρὰ τῷ αὐτῷ ἐν Ὠρεῷ κατήγου· καὶ ἀπὸ τῆς αὐτῆς τραπέζης ἔφαγες καὶ ἔπιες καὶ ἔσπεισας, καὶ τὴν δεξιὰν ἐνέβαλες, ἄνδρα φίλον καὶ ξένον ποιούμενος· καὶ τοῦτον ἀπέκτεινας, καὶ περὶ τούτων ἐν ἅπασιν Ἀθηναίοις ἐξελεγχθεὶς ὑπ' ἐμοῦ, καὶ κληθεὶς ξενοκτόνος, οὐ τὸ ἀσέβημα ἠρνήσω, ἀλλ' ἀπεκρίνω, ἐφ' ᾧ ἀνεβόησεν ὁ δῆμος, καὶ ὅσοι ξένοι περιέστασαν τὴν ἐκκλησίαν· ἔφησθα γὰρ τοὺς τῆς πόλεως ἅλας περὶ πλείονος ποιήσασθαι τῆς ξενικῆς τραπέζης· ἐπιστολὰς δὲ σιγῶ ψευδεῖς, καὶ κατασκόπων συλλήψεις, καὶ βασάνους ἐπ' αἰτίαις ἀγενήτοις, ὡς ἐμοῦ μετά τινων ἐν τῇ πόλει νεωτερίζειν βουλομένου· ἔπειτα ἐπερωτᾶν με (ὡς ἐγὼ πυνθάνομαι) μέλλει, τίς ἂν εἴη τοιοῦτος ἰατρὸς, ὅστις τῷ νοσοῦντι μεταξὺ μὲν ἀσθενοῦντι μηδὲν συμβουλεύοι, τελευτήσαντος δὲ αὐτοῦ ἐλθὼν εἰς τὰ ἔνατα διεξίοι πρὸς τοὺς οἰκείους, ἃ ἐπιτηδεύσας ὑγιὴς ἂν ἐγένετο· σαυτὸν δ' οὐκ ἀνερωτᾷς, τίς ἂν εἴη δημαγωγὸς τοιοῦτος, ὅστις τὸν μὲν δῆμον θωπεῦσαι δύναιτο, τοὺς δὲ καιροὺς ἐν οἷς ἦν σῴζεσθαι τὴν πόλιν, ἀπόδοιτο, τοὺς δ' εὖ φρονοῦντας κωλύοι διαβάλλων συμβουλεύειν, ἀποδρὰς δ' ἐκ τῶν κινδύνων, καὶ τὴν πόλιν ἀνηκέ-

ἀνηκέ-

ἀνηκέστοις κακοῖς περιβαλὼν, ἀξιοῖ στεφανοῦσθαι ἐπ' ἀρετῇ, ἀγαθὸν μὲν πεποιηκὼς μηδὲν, πάντων δὲ τῶν κακῶν αἴτιος γεγονώς· ἐπερωτώη δὲ τοὺς συκοφαντηθέντας ἐκ τῆς πολιτείας ἐπ' ἐκείνων τῶν καιρῶν, ὅτε ἦν σώζεσθαι, διὰ τί αὐτὸν οὐκ ἐκώλυσαν ἐξαμαρτάνειν· ἀποκρινοίσθω δὲ τὸ πάντων τελευταῖον, ὅτι τῆς μάχης ἐπιγιγνομένης οὐκ ἐσχολάζομεν περὶ τὴν σὴν εἶναι τιμωρίαν, ἀλλ' ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως ἐπρεσβεύομεν. Ἐπειδὴ δὲ οὐκ ἀπέχρη σοι δίκην μὴ δεδωκέναι, ἀλλὰ καὶ δωρεὰς αἰτεῖς, καταγέλαστον ἐν τοῖς Ἕλλησι τὴν πόλιν ποιῶν, ἐνταῦθ' ἐνέστην, καὶ τὴν γραφὴν ἀπήνεγκα· καὶ νὴ τοὺς θεοὺς τοὺς Ὀλυμπίους (ὡς ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν) ἐφ' ᾧ νυνὶ μέλλω λέγειν ἀγανακτῶ μάλιστα, ἀφομοιοῖ γάρ μου τὴν φύσιν ταῖς Σειρῆσιν, ὡς ἔοικε· καὶ γὰρ ὑπ' ἐκείνων οὐ κηλεῖσθαί φησι τοὺς ἀκροωμένους, ἀλλ' ἀπόλλυσθαι, διόπερ οὐκ εὐδοκιμεῖν τὴν τῶν εἰρημένων μουσικήν· καὶ δὴ καὶ τὴν τῶν ἐμῶν λόγων ἐμπειρίαν καὶ τὴν φύσιν μου γεγενῆσθαι ἐπὶ βλάβῃ τῶν ἀκουόντων· καίτοι τὸν λόγον τοῦτον ὅλως μὲν ἔγωγε οὐδενὶ πρέπειν ἡγοῦμαι περὶ ἐμοῦ λέγειν· τῆς γὰρ αἰτίας αἰσχρὸν τὸν αἰτιώμενόν ἐστι τὸ ἔργον μὴ ἔχειν ἐπιδεῖξαι· εἰ δ' ἦν ἀναγκαῖον ῥηθῆναι, οὐ Δημοσθένους ἦν ὁ λόγος, ἀλλ' ἀνδρὸς στρατηγοῦ μεγάλα μὲν τῇ πόλει κατειργασμένου, λέγειν δὲ ἀδυνάτου, καὶ τὴν τῶν ἀντιδίκων διὰ τοῦτο ἐζηλωκότος φύσιν, ὅτι σύνοιδεν ἑαυτῷ μὲν οὐδὲν ὧν διαπέπρακται δυναμένῳ φράσαι, τὸν δὲ κατήγορον ὁρᾷ δυνάμενον, καὶ τὰ μὴ πεπραγμένα ὑφ' αὐτοῦ παριστάναι τοῖς ἀκούουσιν ὡς διῴκηκεν· ὅταν δ' ἐξ ὀνομάτων συγκείμενος ἄνθρωπος, καὶ τούτων πικρῶν καὶ περιέργων, ἔπειτα ἐπὶ τὴν ἁπλότητα καὶ τὰ ἔργα καταφεύγῃ, τίς ἂν ἀνάσχοιτο; οὗ τὴν γλῶσσαν, ὥσπερ τῶν αὐλῶν, ἐάν τις ἀφέλοιτο, λοιπὸν οὐδέν ἐστι· Θαυμάζω δ' ἔγωγε ὑμῶν, ὦ ἀθηναῖοι, καὶ ζητῶ πυθέσθαι πρὸς τί ἂν ἀποβλέποντες ἀποψηφίσεσθαι τὴν γραφήν. Πότερον ὡς τὸ ψήφισμά ἐστιν ἔννομον; ἀλλ' οὐδεμία πώποτε γνώμη παρανομωτέρα γεγένηται· ἀλλ' ὡς ὁ τὸ ψήφισμα γράψας οὐκ ἐπιτήδειός ἐστι δίκην δοῦναι; οὐκ ἄρα εἰσὶ παρ' ὑμῖν εὐθῦναι βίου, εἰ τοῦτον ἀφήσετε. Ἐκεῖνο δ' οὐ λυπηρὸν, εἰ πρότερον μὲν ἐνεπίμπλατο ἡ ὀρχήστρα χρυσῶν στεφάνων, οἷς ὁ δῆμος ἐστεφανοῦτο ὑπὸ τῶν Ἑλλήνων, διὰ τὸ ξενικοῖς στεφάνοις ταύτην ἀποδεδόσθαι

τὴν

τὴν ἡμέραν, ἐκ δὲ τῶν Δημοσθένους πολιτευμάτων ὑμεῖς μὲν ἀστεφάνωτοι, καὶ ἀκήρυκτοι γίνεσθε, οὗτος δὲ κηρυχθήσεται; καὶ εἰ μέν τις τῶν τραγικῶν ποιητῶν τῶν μετὰ ταῦτα ἐπεισαγόντων, ποιήσειεν ἐν τραγῳδίᾳ τὸν Θερσίτην ὑπὸ τῶν Ἑλλήνων στεφανούμενον, οὐδεὶς ἂν ὑμῶν ὑπομείνειεν, ὅτι φησὶν Ὅμηρος ἄνανδρον αὐτὸν εἶναι καὶ συκοφάντην· αὐτοὶ δ' ὅταν τὸν τοιοῦτον ἄνθρωπον στεφανῶτε, οὐκ οἴεσθε ἐν ταῖς τῶν Ἑλλήνων δόξαις συρίττεσθαι; οἱ μὲν γὰρ πατέρες ὑμῶν τὰ ἔνδοξα καὶ λαμπρὰ τῶν πραγμάτων ἀνετίθεσαν τῷ δήμῳ· τὰ δὲ ταπεινὰ καὶ καταδεέστερα εἰς τοὺς ῥήτορας τοὺς φαύλους, ἔτρεπον· Κτησιφῶν δ' ὑμᾶς οἴεται δεῖν ἀφελόντας τὴν ἀδοξίαν ἀπὸ Δημοσθένους περιθεῖναι τῷ δήμῳ. Καὶ φατὲ μὲν εὐτυχεῖς εἶναι, ὡς καὶ ἐστέ, καλῶς ποιοῦντες· ψηφιεῖσθε δὲ ὑπὸ μὲν τῆς τύχης ἐγκαταλελεῖφθαι, ὑπὸ Δημοσθένους δὲ εὖ πεπονθέναι, καὶ τὸ πάντων ἀτοπώτατον, ἐν τοῖς αὐτοῖς δικαστηρίοις τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἁλισκομένους ἀτιμοῦτε, ὃν δ' αὐτοὶ μισθοῦ πολιτευόμενον σύνιστε, στεφανώσετε; καὶ τοὺς μὲν κριτὰς τοὺς ἐκ Διονυσίων, ἐὰν μὴ δικαίως τοὺς ἐγκυκλίους χοροὺς κρίνωσι, ζημιοῦτε· αὐτοὶ δὲ οὐκ ἐγκυκλίων χορῶν κριταὶ καθεστηκότες, ἀλλὰ νόμων καὶ πολιτικῆς ἀρετῆς, τὰς δωρεὰς οὐ κατὰ τοὺς νόμους, οὐδ' ὀλίγοις, καὶ τοῖς ἀξίοις, ἀλλὰ τῷ διαπραξαμένῳ δώσετε; ἔπειτ' ἔξεισιν ἐκ τοῦ δικαστηρίου ὁ τοιοῦτος κριτής, ἑαυτὸν μὲν ἀσθενῆ πεποιηκώς, ἰσχυρὸν δὲ τὸν ῥήτορα· ἀνὴρ γὰρ ἰδιώτης ἐν πόλει δημοκρατουμένῃ, νόμῳ καὶ ψήφῳ βασιλεύει· ὅταν δ' ἑτέρῳ ταῦτα παραδῷ, καταλέλυκεν αὐτὸς τὴν αὑτοῦ δυναστείαν. Ἔπειθ' ὁ μὲν ὅρκος ὃν ὀμωμοκὼς δικάζει, συμπαρακολουθῶν αὐτὸν λυπεῖ· δι' αὐτὸν γάρ, οἶμαι, γέγονε τὸ ἁμάρτημα, ἡ δὲ χάρις πρὸς ὃν ἐχαρίζετο, ἄδηλος γεγένηται· ἡ γὰρ ψῆφος ἀφανὴς φέρεται· δοκοῦμεν δ' ἔμοιγε, ὦ Ἀθηναῖοι, ἀμφότερα καὶ κατορθοῦν καὶ παρακινδυνεύειν εἰς τὴν πολιτείαν οὐ σωφρονοῦντες.

Ὅτι μὲν γὰρ ἐπὶ τῶν νῦν καιρῶν οἱ πολλοὶ τοῖς ὀλίγοις προΐενται τὰ τῆς δημοκρατίας ἰσχυρά, οὐκ ἐπαινῶ· ὅτι δ' οὐ γεγένηται φορὰ καθ' ἡμᾶς ῥητόρων πονηρῶν ἅμα καὶ τολμηρῶν, εὐτυχοῦμεν· πρότερον μὲν γὰρ τοιαύτας φύσεις ἤνεγκε τὸ δημόσιον, αἳ ῥᾳδίως οὕτω κατέλυσαν τὸν δῆμον, ἔχαιρε γὰρ κολακευόμενος· ἔπειτ' αὐτὸν οὐχ οὓς ἐφοβεῖτο, ἀλλ' οἷς ἑαυτὸν ἐνεχείριζε, κατέλυ-

σαι· ἔνιοι δὲ, καὶ αὐτοὶ τῶν τριάκοντα ἐγένοντο, καὶ πλείους ἢ χιλίους, καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτους ἀπέκτειναν, πρὶν τὰς αἰτίας ἀκοῦσαι ἐφ' αἷς ἔμελλον ἀποθνήσκειν· καὶ οὐδ' ἐπὶ τὰς ταφὰς καὶ ἐκφορὰς τῶν τελευτησάντων, εἴων τοὺς προσήκοντας παραγενέσθαι. οὐχ ὑφ' ὑμῖν αὐτοῖς ἕξετε τοὺς πολιτευομένους; οὐ ταπεινώσαντες ἀποπέμψετε τοὺς νῦν ἐπηρμένους; οὐ μέμνησθ' ὅτι οὐδεὶς πώποτε πρότερον ἐπέθετο τῇ τοῦ δήμου καταλύσει, πρὶν ἂν μείζω τῶν δικαστηρίων ἰσχύσῃ; Ἡδέως δ' ἂν ἔγωγε, ὦ ἀθηναῖοι, ἀναλογισαίμην ἐναντίον ὑμῶν πρὸς τὸν γράψαντα τὸ ψήφισμα, διὰ ποίας εὐεργεσίας ἀξιοῖ Δημοσθένην στεφανῶσαι· εἰ μὲν γὰρ λέγεις (ὅθεν τὴν ἀρχὴν τοῦ ψηφίσματος ἐποιήσω) ὅτι τὰς τάφρους τὰς περὶ τὰ τείχη καλῶς ἐτάφρευσε, θαυμάζω σου. Τοῦ γὰρ ταῦτα ἐξεργασθῆναι καλῶς, τὸ γεγενῆσθαι τούτων αἴτιον, μείζω κατηγορίαν ἔχει· οὐ γὰρ περιχαρακώσαντα χρὴ τὰ τείχη, οὐδὲ τὰς ταφὰς, οὐδὲ τὰς δημοσίας ταφὰς ἀνελόντα τὸν ὀρθῶς πεπολιτευμένον δωρεὰς αἰτεῖν, ἀλλ' ἀγαθοῦ τινος αἴτιον γεγενημένον τῇ πόλει· εἰ δὲ ἥξεις ἐπὶ τὸ δεύτερον μέρος τοῦ ψηφίσματος, ἐν ᾧ τετόλμηκας γράφειν, ὡς ἐστὶν ἀνὴρ ἀγαθὸς, καὶ διατελεῖ λέγων καὶ πράττων τὰ ἄριστα τῷ δήμῳ τῷ ἀθηναίων, ἀφελὼν τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τοῦ ψηφίσματος, ἅψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ, τι λέγεις· τὰς μὲν γὰρ περὶ τοὺς Ἀμφισσέας καὶ τοὺς Εὐβοέας δωροδοκίας παραλείπω· ὅταν δὲ τῆς πρὸς Θηβαίους συμμαχίας τὰς αἰτίας ἀνατιθῇς Δημοσθένει, τοὺς μὲν ἀγνοοῦντας ἐξαπατᾷς, τοὺς δὲ εἰδότας καὶ αἰσθανομένους ὑβρίζεις. Ἀφελὼν γὰρ τὸν καιρὸν καὶ τὴν δόξαν τὴν τούτων, δι' ἣν ἐγένετο ἡ συμμαχία, οἴει λανθάνειν ἡμᾶς τὸ τῆς πόλεως ἀξίωμα Δημοσθένει περιτιθείς· ἡλίκον δ' ἐστὶ τὸ ἀλαζόνευμα τοῦτο, ἐγὼ πειράσομαι μεγάλῳ σημείῳ διδάξαι· ὁ γὰρ τῶν Περσῶν βασιλεὺς, οὐ πολλῷ πρότερον χρόνῳ πρὸ τῆς Ἀλεξάνδρου διαβάσεως εἰς τὴν Ἀσίαν κατέπεμψε τῷ δήμῳ καὶ μάλα ὑβριστικὴν καὶ βάρβαρον ἐπιστολήν· ἐν ᾗ τά τε δὴ ἄλλα καὶ μάλ' ἀπαιδεύτως διελέχθη, καὶ ἐπὶ τελευτῆς ἐνέγραψεν ἐν τῇ ἐπιστολῇ· ἐγὼ (φησὶν) ὑμῖν χρυσίον οὐ δώσω· μή με αἰτεῖτε· οὐ γὰρ λήψεσθε.

Οὗτος μέντοι ὁ αὐτὸς ἐγκαταληφθεὶς ὑπὸ τῶν νυνὶ παρόντων αὐτῷ κινδύνων, οὐκ αἰτούντων ἀθηναίων,

αὐτὸς ἑκὼν κατέπεμψε τριακόσια τάλαντα τῷ δήμῳ, ἃ σωφρονῶν οὐκ ἐδέξατο· ὁ δὲ κομίζων ἦν τὸ χρυσίον, καιρὸς καὶ φόβος, καὶ χρεία συμμάχων· τὸ δ' αὐτὸ τοῦτο καὶ τὴν Θηβαίων συμμαχίαν ἐξειργάζετο· σὺ δὲ τὸ μὲν τῶν Θηβαίων ὄνομα καὶ τὸ τῆς δυστυχεστάτης συμμαχίας ἐνοχλεῖς ἀεὶ λέγων, τὰ δ' ἑβδομήκοντα τάλαντα ὑποσιωπᾷς, ἃ προλαβὼν τοῦ βασιλικοῦ χρυσίου ἀπεστέρησας·

Οὐ δι' ἔνδειαν μὲν χρημάτων, ἕνεκα πέντε ταλάντων οἱ ξένοι τοῖς Θηβαίοις τὴν ἄκραν οὐ παρέδοσαν; διὰ ἐννέα δὲ τάλαντα ἀργυρίου, πάντων Ἀρκάδων ἐξεληλυθότων, καὶ τῶν ἡγεμόνων ἑτοίμων ὄντων βοηθεῖν, ἡ πρᾶξις οὐ γεγένηται; Σὺ δὲ πλουτεῖς, καὶ ταῖς ἡδοναῖς ταῖς σαυτοῦ χορηγεῖς, καὶ τὸ κεφάλαιον, τὸ μὲν βασιλικὸν χρυσίον παρὰ τούτῳ, οἱ δὲ κίνδυνοι παρ' ὑμῖν· ἄξιον δ' ἐστὶ καὶ τὴν ἀπαιδευσίαν αὐτῶν θεωρῆσαι· εἰ γὰρ τολμήσει Κτησιφῶν μὲν Δημοσθένην παρακαλεῖν λέξοντα εἰς ὑμᾶς, οὗτος δ' ἀναβὰς ἑαυτὸν ἐγκωμιάσει, βαρύτερον τῶν ἔργων ὧν πεπόνθατε τὸ ἀκρόαμα γίνεται· ὅπου γὰρ τοὺς μὲν ὄντως ἄνδρας ἀγαθοὺς, οἷς πολλὰ καὶ καλὰ σύνισμεν ἔργα, ἂν τοὺς καθ' ἑαυτῶν ἐπαίνους λέγωσιν, οὐ φέρομεν· ὅταν δὲ ἄνθρωπος αἰσχύνη τῆς πόλεως γεγονὼς ἑαυτὸν ἐγκωμιάζῃ, τίς ἂν τὰ τοιαῦτα καρτερήσειεν ἀκούων; Ἀπὸ μὲν οὖν τῆς ἀναισχύντου πραγματείας, ἐὰν σωφρονῇς, ἀποστήσῃ· ποίησαι δὲ ὦ Κτησιφῶν διὰ σαυτοῦ τὴν ἀπολογίαν· οὐ γὰρ δήπου τοῦτό γε σκήψῃ, ὡς οὐ δυνατὸς εἶ λέγειν· καὶ γὰρ ἂν ἄτοπόν σοι συμβαίνοι, εἰ πρώην μέν ποθ' ὑπέμεινας πρεσβευτὴς ὡς Κλεοπάτραν τὴν Φιλίππου θυγατέρα χειροτονεῖσθαι, συναχθεσθησόμενος ἐπὶ τῇ τοῦ Μολοττῶν βασιλέως Ἀλεξάνδρου τελευτῇ· νυνὶ δὲ οὐ φήσεις δύνασθαι λέγειν· ἔπειτα γυναῖκα μὲν ἀλλοτρίαν πενθοῦσαν δύνασαι παραμυθεῖσθαι, γράψας δὲ μισθοῦ ψήφισμα οὐκ ἀπολογήσῃ; ἢ τοιοῦτός ἐστιν ὃν γέγραφας στεφανοῦσθαι, οἷος μὴ γινώσκεσθαι ὑπὸ τῶν εὖ πεπονθότων, ἂν μή τις σοι συνείπῃ; ἐπερώτησον δὴ τοὺς δικαστὰς, εἰ ἐγίνωσκον Χαβρίαν καὶ Ἰφικράτην, καὶ Τιμόθεον, καὶ πυθοῦ παρ' αὐτῶν διὰ τί τὰς δωρεὰς αὐτοῖς ἔδωσαν, καὶ τὰς εἰκόνας ἔστησαν· ἅπαντες γὰρ ἅμα σοι ἀποκρινοῦνται, ὅτι Χαβρίᾳ μὲν, διὰ τὴν περὶ Νάξον ναυμαχίαν, Ἰφικράτει δὲ, ὅτι μόραν Λακεδαιμονίων ἀπέκτεινε, Τιμοθέῳ δὲ, διὰ τὸν περίπλουν τὸν εἰς Κέρκυραν, καὶ ἄλλοις, ὧν ἑκάστῳ πολλὰ καὶ

καλὰ

καλὰ κατὰ τὸν πόλεμον ἔργα πέπρακται. Δημοσθένην δ' ἐάν τις ἐρωτᾷ διὰ τί οὐ δώσετε; ὅτι δωροδόκος, ὅτι δειλὸς, ὅτι τὴν τάξιν ἔλιπε. καὶ πότερον τοῦτον τιμήσετε, ἢ ὑμᾶς αὐτοὺς ἀτιμάσετε, καὶ τοὺς ὑπὲρ ὑμῶν ἐν τῇ μάχῃ τελευτήσαντας; οὓς νομίζεθ' ὁρᾶν σχετλιάζοντας, εἰ οὗτος στεφανωθήσεται. καὶ γὰρ ἂν εἴη δεινὸν, ὦ Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ ἀγνώμονα, ἐάν τινι ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν, καὶ ἐάν τις αὐτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο πράξασαν χωρὶς τοῦ σώματος θάπτομεν· Δημοσθένην δὲ, ὦ Ἀθηναῖοι, τὸν γράψαντα μὲν τὴν πανυστάτην ἔξοδον, προδόντα δὲ τοὺς στρατιώτας, τοῦτον ὑμεῖς τιμήσετε. ἐκ τούτου ὑβρίζονται μὲν οἱ τελευτήσαντες, ἀθυμότεροι δὲ οἱ ζῶντες γίνονται, ὁρῶντες τῆς ἀρετῆς ἆθλον τὸν θάνατον κείμενον, τὴν δὲ μνήμην ἐπιλείπουσαν· τὸ δὲ μέγιστον, ἐὰν ἐπερωτῶσιν ὑμᾶς οἱ νεώτεροι πρὸς ποῖον παράδειγμα χρὴ αὐτοὺς τὸν βίον ποιεῖσθαι, τί ἀποκρινεῖσθε; εὖ γὰρ ἴστε ὅτι οὐχ αἱ παλαῖστραι, οὐδὲ τὰ διδασκαλεῖα, οὐδ' ἡ μουσικὴ μόνον παιδεύει τοὺς νεωτέρους, ἀλλὰ πολὺ μᾶλλον τὰ δημόσια κηρύγματα· κηρύττεταί τις ἐν τῷ θεάτρῳ ὅτι στεφανοῦται ἀρετῆς ἕνεκα καὶ ἀνδραγαθίας καὶ εὐνοίας, ἄνθρωπος ἀσχήμων ὢν τῷ βίῳ καὶ βδελυρός; ὁ δέ γε νεώτερος ταῦτ' ἰδὼν διεφθάρη· δίκην τις δέδωκε πονηρὸς καὶ πορνοβοσκὸς, ὥσπερ Κτησιφῶν; οἱ δέ γε ἄλλοι πεπαίδευνται.

Τἀναντία τις ψηφισάμενος τῶν καλῶν καὶ δικαίων, ἐπανελθὼν οἴκαδε παιδεύει τὸν υἱόν; ὁ δέ γε εἰκότως οὐ πείθεται, ἀλλὰ τὸ νουθετεῖν ἐνταῦθα ἐνοχλεῖν ἤδη δικαίως ὀνομάζεται· ὡς οὖν μὴ μόνον κρίνοντες, ἀλλὰ καὶ θεωρούμενοι, οὕτω τὴν ψῆφον φέρετε εἰς ἀπολογισμὸν τοῖς μὲν νῦν οὐ παροῦσι τῶν πολιτῶν, ἐπερησομένοις δὲ ὑμᾶς τί ἐδικάζετε· εὖ γὰρ ἴστε, ὦ Ἀθηναῖοι, ὅτι τοιαύτη δόξει ἡ πόλις εἶναι, ὁποῖός τις ἂν ᾖ ὁ κηρυττόμενος.

Ἔστι δὲ ὄνειδος, μὴ τοῖς προγόνοις ὑμᾶς, ἀλλὰ τῇ τοῦ Δημοσθένους ἀναιδείᾳ προσεικασθῆναι. Πῶς οὖν ἄν τις τὴν τοιαύτην αἰσχύνην ἐκφύγοι; ἐὰν τοὺς προκαταλαμβάνοντας τὰ κοινὰ καὶ φιλάνθρωπα τῶν ὀνομάτων, ἀπίστους ὄντας τοῖς ἤθεσι, φυλάξησθε· ἡ γὰρ εὔνοια καὶ τὸ τῆς δημοκρατίας ὄνομα κεῖται μὲν ἐν μέσῳ· φθάνουσι δ' ἐπ' αὐτὰ καταφεύγοντες τῷ λόγῳ ὡς ἐπιπολὺ οἱ τοῖς ἔργοις πλεῖστον ἀπέχοντες· ὅταν οὖν

λάβη-

λαβόντα ῥήτορα ξενικῶν στεφάνων καὶ κηρυγμάτων ἐν τοῖς ἕλλησιν ἐπιθυμοῦντα, ἐπανάγειν αὐτὸν κελεύετε, καὶ τὸν λόγον (ὥσπερ τὰς βεβαιώσεις τῶν κηρυγμάτων ὁ νόμος κελεύει ποιεῖσθαι) εἰς βίον ἀξιόχρεων καὶ τρόπον σώφρονα· ὅτῳ δὲ ταῦτα μὴ μαρτυρεῖται, μὴ βεβαιοῦτε αὐτῷ τοὺς ἐπαίνους, καὶ τῆς δημοκρατίας ἐπιμελήθητε ἤδη διαφευγούσης ὑμᾶς· ἢ οὐ δεινὸν ὑμῖν δοκεῖ εἶναι ὅτι τὸ μὲν βουλευτήριον καὶ ὁ δῆμος παρορᾶται, αἱ δ᾽ ἐπιστολαὶ καὶ αἱ πρεσβεῖαι ἀφικνοῦνται εἰς ἰδιωτικὰς οἰκίας, οὐ παρὰ τῶν τυχόντων ἀνθρώπων, ἀλλὰ παρὰ τῶν πρωτευόντων ἐν τῇ Ἀσίᾳ καὶ ἐν τῇ Εὐρώπῃ, καὶ ἐφ᾽ οἷς ἐστιν ἐκ τῶν νόμων ζημία θάνατος; ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ᾽ ὁμολογοῦσιν ἐν τῷ δήμῳ, καὶ τὰς ἐπιστολὰς ἀλλήλοις παραναγινώσκουσι, καὶ παρακελεύονται ὑμῖν οἱ μὲν βλέπειν εἰς τὰ ἑαυτῶν πρόσωπα, ὡς φύλακες τῆς δημοκρατίας, ἕτεροι δ᾽ αἰτοῦσι δωρεὰς, ὡς σωτῆρες τῆς πόλεως ὄντες· ὁ δὲ δῆμος ἐκ τῆς ἀθυμίας τῶν συμβεβηκότων, ὥσπερ παραγεγηρακὼς ἢ παρανοίας ἑαλωκὼς, αὐτὸ μόνον τοὔνομα τῆς δημοκρατίας περιποιεῖται, τῶν δ᾽ ἔργων ἑτέροις παρακεχώρηκεν· ἔπειτ᾽ ἀπέρχεσθε ἐκ τῶν ἐκκλησιῶν οὐ βουλευσάμενοι, ἀλλ᾽ ὥσπερ ἐκ τῶν ἐράνων, τὰ περιόντα νειμάμενοι· ὅτι δ᾽ οὐ ληρῶ, ἐκεῖθεν τὸν λόγον θεωρήσατε.

Ἐγένετό τις (ἄχθομαι δὲ πολλάκις μεμνημένος τὰς ἀτυχίας τῆς πόλεως) ἐνταῦθ᾽ ἀνὴρ ἰδιώτης, ὃς ἐκπλεῦσαι μόνον εἰς Σάμον ἐγχειρήσας, ὡς προδότης τῆς πατρίδος αὐθημερὸν ὑπὸ τῆς ἐξ Ἀρείου πάγου βουλῆς θανάτῳ ἐζημιώθη· ἕτερος δ᾽ ἰδιώτης ἐκπλεύσας εἰς Ῥόδον, ὅτι τὸν φόβον ἀνάνδρως ἤνεγκε, πρώην ποτὲ εἰσηγγέλθη, καὶ ἴσαι αἱ ψῆφοι αὐτῷ ἐγένοντο· εἰ δὲ μία μόνον μετέπεσεν, ὑπερώριστ᾽ ἂν ἢ ἀπέθανεν· ἀντιθῶμεν δὴ τὸ νυνὶ γινόμενον· ἀνὴρ ῥήτωρ ὁ πάντων τῶν κακῶν αἴτιος, ἔλιπε μὲν τὴν ἀπὸ στρατοπέδου τάξιν, ἀπέδρα δ᾽ ἐκ τῆς πόλεως· οὗτος στεφανοῦσθαι ἀξιοῖ, καὶ κηρύττεσθαι οἴεται δεῖν· οὐκ ἀποπέμψετε τὸν ἄνθρωπον, ὡς κοινὴν τῶν Ἑλλήνων συμφορὰν, ἢ συλλαβόντες ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ᾽ ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα τιμωρήσετε; καὶ τὸν καιρὸν μέμνησθε ἐν ᾧ τὴν ψῆφον φέρετε· ἡμερῶν μὲν ὀλίγων μέλλει τὰ Πύθια γίνεσθαι, καὶ τὸ συνέδριον τὸ τῶν Ἑλλήνων συλλέγεσθαι· διαβέβληται δ᾽ ἡμῶν ἡ πόλις ἐκ τῶν Δημοσθένους πολιτευ-

μάτων περὶ τοὺς νῦν καιρούς· δόξετε δὲ, ἐὰν μὲν τοῦτον στεφανώσητε, ὁμογνώμονες εἶναι τοῖς παραβαίνουσι τὴν κοινὴν εἰρήνην· ἐὰν δὲ τοὐναντίον τούτου πράξητε, ἀπολύσετε τὸν δῆμον τῆς αἰτίας. Μὴ οὖν ὡς ὑπὲρ ἀλλοτρίας, ἀλλ' ὡς ὑπὲρ οἰκείας τῆς πόλεως βουλεύεσθε, καὶ τὰς φιλοτιμίας μὴ νέμετε, ἀλλὰ κρίνετε, καὶ τὰς δωρεὰς εἰς βελτίω σώματα καὶ ἀξιολογωτέρους ἄνδρας ἀπόθεσθε· καὶ μὴ μόνον τοῖς ὠσὶν, ἀλλὰ καὶ τοῖς ὄμμασι διαβλέψαντες εἰς ὑμᾶς αὐτοὺς βουλεύσασθε, τίνες ὑμῶν εἰσιν οἱ βοηθήσοντες Δημοσθένει· πότερον οἱ συγκυνηγέται, ἢ οἱ συγγυμνασταὶ αὐτοῦ, ὅτ' ἦν ἐν ἡλικίᾳ· ἀλλὰ μὰ τὸν Δία τὸν Ὀλύμπιον, οὐχ ὗς ἀγρίους κυνηγετῶν, οὐδὲ τῆς τοῦ σώματος εὐεξίας ἐπιμελούμενος διατετέλεκεν, ἀλλ' ἐπασκῶν τέχνας ἐπὶ τοὺς τὰς οὐσίας κεκτημένους διαγεγένηται· ἀλλ' εἰς τὴν ἀλαζονείαν ἀποβλέψαντες, ὅταν φῇ Βυζαντίους μὲν ἐκ τῶν χειρῶν πρεσβεύσας ἐξελέσθαι τῶν Φιλίππου, ἀποστῆσαι δὲ Ἀκαρνᾶνας, ἐκπλῆξαι δὲ Θηβαίους δημηγορήσας; οἴεται γὰρ ὑμᾶς εἰς τοσοῦτον εὐηθείας ἤδη προβεβηκέναι, ὥστε καὶ ταῦτα ἀναπεισθήσεσθαι, ὥσπερ Πειθὼ τρέφοντας, ἀλλ' οὐ συκοφάντην ἄνθρωπον ἐν τῇ πόλει. Ὅταν δ' ἐπὶ τελευτῆς ἤδη τοῦ λόγου συνηγόρους τοὺς κοινωνοὺς τῶν δωροδοκημάτων αὐτῷ παρακαλῇ, ὑπολαμβάνετε ὁρᾶν ἐπὶ τοῦ βήματος, οὗ νῦν ἕστηκως ἐγὼ λέγω, ἀντιπαρατεταγμένους πρὸς τὴν τούτων ἀσέλγειαν, τοὺς τῆς πόλεως εὐεργέτας· Σόλωνα μὲν, τὸν καλλίστοις νόμοις κοσμήσαντα τὴν δημοκρατίαν, ἄνδρα φιλόσοφον, καὶ νομοθέτην ἀγαθὸν, σωφρόνως (ὥσπερ προσῆκεν αὐτῷ) δεόμενον ὑμῶν μηδενὶ τρόπῳ τοὺς Δημοσθένους λόγους περὶ πλείονος ποιήσασθαι τῶν ὅρκων καὶ τῶν νόμων· Ἀριστείδην δὲ, τὸν τοὺς φόρους τάξαντα τοῖς Ἕλλησιν, (οὗ τελευτήσαντος τὰς θυγατέρας ἐξέδωκεν ὁ δῆμος) σχετλιάζοντα ἐπὶ τῷ τῆς δικαιοσύνης προπηλακισμῷ· καὶ ἐπερωτῶντα εἰ οὐκ αἰσχύνεσθε, εἰ οἱ μὲν πατέρες ὑμῶν Ἄρθμιον τὸν Ζελείτην, κομίσαντα εἰς τὴν Ἑλλάδα τὸ ἐκ Μήδων χρυσίον, ἐπιδημήσαντα εἰς τὴν πόλιν, πρόξενον ὄντα τοῦ δήμου τῶν Ἀθηναίων, παρ' οὐδὲν μὲν ἦλθον ἀποκτεῖναι, ἐξεκήρυξαν δ' ἐκ τῆς πόλεως, καὶ ἐξ ἁπάσης ἧς Ἀθηναῖοι ἄρχουσιν· ὑμεῖς δὲ Δημοσθένην, οὐ κομίσαντα τὸ ἐκ Μήδων χρυσίον, ἀλλὰ δωροδοκήσαν-

τα, ἢ ἔτι καὶ νῦν κεκτημένον, χρυσῷ στεφάνῳ μέλλετε στεφανοῦν· Θεμιστοκλέα δὲ, καὶ τοὺς ἐν Μαραθῶνι τελευτήσαντας, καὶ τοὺς ἐν Πλαταιαῖς, καὶ αὐτοὺς τοὺς τάφους τῶν προγόνων οὐκ ἂν οἴεσθε ἀναστενάξαι, εἰ ὁ μετὰ τῶν βαρβάρων ὁμολογῶν τοῖς ἕλλησιν ἀντιπράξαι στεφανωθήσεται; ἐγὼ μὲν οὖν, ὦ γῆ, καὶ ἥλιε, καὶ ἀρετὴ, καὶ σύνεσις, καὶ παιδεία, ᾗ διαγινώσκομεν τὰ καλὰ, καὶ τὰ αἰσχρὰ, βεβοήθηκα, καὶ εἴρηκα. Καὶ εἰ μὲν καλῶς καὶ ἀξίως τοῦ ἀδικήματος κατηγόρηκα, εἶπον ὡς ἐβουλόμην· εἰ δὲ ἐνδεεστέρως, ὡς ἐδυνάμην. Ὑμεῖς δὲ καὶ ἐκ τῶν εἰρημένων λόγων, καὶ ἐκ τῶν παραλειπομένων, αὐτοὶ τὰ δίκαια καὶ τὰ συμφέροντα ὑπὲρ τῆς πόλεως ψηφίσασθε.

ACADEMIA ESPAÑOLA BIBLIOTECA

# ΑἸΣΧΙ΄ΝΟΥ ῬΗ΄ΤΟΡΟΣ

## Ὁ ΠΕΡῚ ΤΗ͂Σ

## ΠΑΡΑΠΡΕΣΒΕΙ΄ΑΣ ΛΟ΄ΓΟΣ.

ΔΕ΄ΟΜΑΙ ὑμῶν, ὦ ἀθηναῖοι, ἐθελῆσαι μετ' εὐνοίας ἀκοῦσαί μου λέγοντος, ὑπολογιζομένους τό τε μέγεθος τοῦ κινδύνου, καὶ τὸ πλῆθος τῶν αἰτιῶν, πρὸς ἃς ἀπολογήσασθαί με δεῖ, καὶ τὰς τέχνας καὶ τὰς κατασκευὰς τοῦ κατηγόρου, καὶ τὴν ὠμότητα· ὃς ἐτόλμησε παρακελεύσασθαι πρὸς ἄνδρας ὀμωμοκότας τῶν ἀντιδίκων ὁμοίως ἀμφοτέρων ἀκούσεσθαι, τὴν τοῦ κινδυνεύοντος φωνὴν μὴ ὑπομένειν· καὶ ταῦτ' εἶπεν, οὐ δι' ὀργήν· (οὐδεὶς γὰρ τῶν ψευδομένων τοῖς ἀδίκως διαβαλλομένοις ὀργίζεται, οὐδ' οἱ τἀληθῆ λέγοντες κωλύουσι λόγου τυχεῖν τὸν φεύγοντα· οὐ γὰρ πρότερον κατηγορία ἰσχύει παρὰ τοῖς ἀκούουσι, πρὶν ἂν ὁ φεύγων ἀπολογίας τυχὼν ἀδυνατήσῃ τὰς προειρημένας αἰτίας ἀπολύσασθαι·) ἀλλ' οἶμαι Δημοσθένης οὐ χαίρει δικαίοις λόγοις, οὐδ' οὕτω παρεσκεύασται, ἀλλὰ τὴν ὑμετέραν ὀργὴν ἐκκαλέσασθαι βεβούληται, καὶ κατηγόρηκε δωροδοκίας, ἀπίθανος ὢν πρὸς τὴν ὑποψίαν ταύτην· τὸν γὰρ ἐπὶ ταῖς δωροδοκίαις τοὺς δικαστὰς προτρεπόμενον ὀργίζεσθαι, αὐτὸν χρὴ τῶν τοιούτων ἔργων πολὺ ἀφεστάναι. ἐμοὶ δ', ὦ ἄνδρες ἀθηναῖοι, συμβέβηκε τῆς Δημοσθένους ἀκούοντι κατηγορίας, μήτε δεῖσαι πώποθ' οὕτως ὡς ἐν τῇδε τῇ ἡμέρᾳ, μήτ' ἀγανακτῆσαι μᾶλλον ἢ νῦν, μήτ' εἰς ὑπερβολὴν ὁμοίως ἡσθῆναι· ἐφοβήθην μὲν γὰρ, καὶ ἔτι καὶ νῦν τεθορύβημαι, μή τινες ὑμῶν ἀγνοήσωσί με, ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις. ἐξέστην δ' ἐμαυτοῦ, καὶ τὴν αἰτίαν βαρέως ἤνεγκα, ὅθ' ὕβριν καὶ παροινίαν εἰς γυναῖκα ἐλευθέραν καὶ τὸ γένος Ὀλυνθίαν κατηγόρει μου· ἥσθην δὲ ὅτ' αὐτὸν ἐπὶ τῆς αἰτίας ταύτης ἐξεβάλετε, καὶ τῶν σεσωφρονημένων ἐν τῷ βίῳ μοι χάριν ἀπειληφέναι νομίζω.

Ὑμᾶς μὲν οὖν ἐπαινῶ καὶ διαφερόντως ἀγαπῶ, ὅ-

τι τῷ βίῳ μᾶλλον τῷ τῶν κρινομένων πιστεύετε, ἢ ταῖς παρὰ τῶν ἐχθρῶν αἰτίαις· αὐτὸς δ' ἐκ ἂν ἀποσταίην τῆς πρὸς ταῦτ' ἀπολογίας· εἰ γάρ τις ἢ τῶν ἔξωθεν περιεστηκότων πέπεισαι (σχεδὸν δ' οἱ πλεῖστοι τῶν πολιτῶν πάρεισιν) ἢ τῶν δικαζόντων ὑμῶν, ὡς ἐγὼ τοιοῦτό τι διαπέπραγμαι, μὴ μόνον εἰς ἐλεύθερον σῶμα, ἀλλὰ καὶ εἰς τὸ τυχὸν, ἀβίωτον εἶναί μοι τὸν λοιπὸν βίον νομίζω· κἂν μὴ προϊούσης τῆς ἀπολογίας ἐλέγξω καὶ τὴν αἰτίαν οὖσαν ψευδῆ, καὶ τὸν τολμήσαντ' εἰπεῖν, ἀνόσιον καὶ συκοφάντην, κἂν τἄλλα πάντα μηδὲν ἀδικῶν φαίνωμαι, θανάτῳ τιμῶμαι. Παραδοξότατος δέ μοι κἀκεῖνος ὁ λόγος ἐρρήθη, καὶ δεινῶς ἄδικος, ὅθ' ὑμᾶς ἐπηρώτα, εἰ οἷόν τ' ἐστὶν ἐν τῇ αὐτῇ πόλει Φιλοκράτους μὲν θάνατον καταψηφίσασθαι, ὅτι καταγνοὺς ἀδικεῖν ἑαυτοῦ, τὴν κρίσιν οὐχ ὑπέμεινεν, ἐμοῦ δ' ἀπογνῶναι· ἐγὼ δ' ἐπ' αὐτῷ τούτῳ δικαίως ἂν ὑπολαμβάνω μάλιστα σωθήσεσθαι· εἰ γὰρ ὁ καταγνοὺς ἑαυτοῦ καὶ μὴ παρὼν ἀδικεῖ, ὁ δὴ ἀπογνοὺς καὶ τὸ σῶμα τοῖς νόμοις καὶ τοῖς πολίταις παραδοὺς, οὐκ ἀδικεῖ. Περὶ δὲ τῆς ἄλλης κατηγορίας δέομαι ὑμῶν, ὦ ἄνδρες, ἐάν τι παραλίπω, καὶ μὴ μνησθῶ, ἐπερωτᾶν με, καὶ δηλοῦν, ὅτι ἂν ποθῆτέ μου ἀκοῦσαι, μηδὲν προκατεγνωκότες ὡς ἀδικῶ, ἀλλ' ἴσῃ τῇ εὐνοίᾳ ἀκούοντες. ἀπορῶ δ' ὁπόθεν χρὴ πρῶτον ἄρξασθαι, διὰ τὴν ἀνωμαλίαν τῆς κατηγορίας. Σκέψασθε δὲ ἂν ὑμῖν εἰκός τι πρᾶγμα πάσχειν δόξω· εἰμὶ μὲν γὰρ ὁ κινδυνεύων ἐγὼ νυνὶ περὶ τοῦ σώματος, τῆς δὲ κατηγορίας τὴν πλείστην πεποίηται Φιλοκράτους καὶ Φρυνῶνος, καὶ τῶν ἄλλων συμπρέσβεων, καὶ Φιλίππου, καὶ τῆς εἰρήνης, καὶ τῶν Εὐβούλου πολιτευμάτων· ἐν ἅπασι δὲ τούτοις ἐγὼ τέταγμαι· μόνος δ' ἐν τῷ λόγῳ φαίνεται κηδεμὼν τῆς πόλεως Δημοσθένης, οἱ δ' ἄλλοι προδόται· διατετέλεκε γὰρ εἰς ἡμᾶς ὑβρίζων, καὶ λοιδορίας ψευδεῖς οὐκ ἐμοὶ μόνον λοιδορούμενος, ἀλλὰ καὶ τοῖς ἄλλοις· ὃν δ' οὕτως ἀτιμάζει, πάλιν ἐκ μεταβολῆς, ὅτε τύχῃ, ὥσπερ Ἀλκιβιάδην ἢ Θεμιστοκλῆν κρίνων (οἳ πλεῖστον τῶν Ἑλλήνων δόξῃ διήνεγκαν) ἀνῃρηκέναι μὲν αἰτιᾶταί με τὰς ἐν Φωκεῦσι πόλεις, ἀπηλλοτριωκέναι δ' ἀφ' ὑμῶν τὸν ἐπὶ Θρᾴκης τόπον, ἐκβεβληκέναι δὲ καὶ τῆς ἀρχῆς Κερσοβλέπτην, ἄνδρα φίλον καὶ σύμμαχον τῆς πόλεως· ἐνεχείρησε δ' ἀπεικάζειν με Διονυσίῳ, τῷ γενο-

μένῳ τῆς Σικελίας τυράννῳ, καὶ μετὰ σπουδῆς καὶ κραυγῆς πολλῆς παρεκελεύσατο ὑμῖν τὸ θηρίον φυλάξασθαι, καὶ τὸ τῆς ἱερείας ἐνύπνιον τῆς ἐν Σικελίᾳ διηγήσατο· οὕτως δ' ἄνω τὸ πρᾶγμα ἐξάρας, ἐφθόνησέ μοι ταῖς διαβολαῖς, τὰς αἰτίας ἀνατιθεὶς τῶν πεπραγμένων, οὐ τοῖς ἐμοῖς λόγοις, ἀλλὰ τοῖς ὅπλοις τοῖς Φιλίππου. Πρὸς δὲ τοσαύτην τόλμαν καὶ τερατείαν ἀνθρώπου, χαλεπὸν καὶ διαμνημονεῦσαι τὰ λεχθέντα καθ' ἕκαστα, καὶ λέγειν μετὰ κινδύνου πρὸς ἀπροσδοκήτους διαβολάς· ᾗ δ' οἶμαι σαφεστάτους μοι τοὺς λόγους ἔσεσθαι, καὶ γνωρίμους ὑμῖν καὶ δικαίους, ἐντεῦθεν ἄρξομαι, ἀπὸ τῶν περὶ τῆς εἰρήνης λόγων, καὶ τῆς αἱρέσεως τῆς πρεσβείας· οὕτω γὰρ ἂν μάλιστα καὶ μεμνήσομαι καὶ δυνήσομαι εἰπεῖν, καὶ ὑμεῖς μαθήσεσθε. ἅπαντας γὰρ ἂν ὑμᾶς οἴομαι τοῦτό γε αὐτὸ μνημονεύειν, ὅθ' οἱ πρέσβεις οἱ τῶν Εὐβοέων, ἐπειδὴ περὶ τῆς πρὸς αὐτοὺς εἰρήνης τῷ δήμῳ διελέχθησαν, εἶπον ὅτι καὶ Φίλιππος αὐτοὺς κελεύσειεν ὑμῖν ἀπαγγεῖλαι, ὅτι βούλεται διαλύσασθαι πρὸς ὑμᾶς καὶ τὴν εἰρήνην ἄγειν. Οὐ πολλῷ δ' ὕστερον χρόνῳ Φρύνων ὁ Ῥαμνούσιος ἑάλω ὑπὸ λῃστῶν ἐν ταῖς σπονδαῖς ταῖς Ὀλυμπικαῖς, ὡς αὐτὸς ᾐτιᾶτο· ἐπειδὴ δ' ἐπανῆλθε δεῦρο λυτρωθείς, ἐδεῖτο ὑμῶν πρεσβευτὴν αὐτῷ πρὸς Φίλιππον ἑλέσθαι, ἵν' εἴ πως δύναιτο ἀπολάβοι τὰ λύτρα· πεισθέντες δ' ὑμεῖς προσείλεσθ' αὐτῷ Κτησιφῶντα πρεσβευτήν· ἐπειδὴ δὲ ἐπανῆκε δεῦρ' ἀπὸ τῆς πρεσβείας ὁ Κτησιφῶν, ἀπήγγειλε πρὸς ὑμᾶς ὑπὲρ ὧν ἐπέμφθη. Καὶ πρὸς τούτοις, ὅτι φαίη Φίλιππος, ἄκων μὲν πολεμῆσαι πρὸς ὑμᾶς, βούλεσθαι δὲ καὶ νῦν ἀπαλλαγῆναι τοῦ πολέμου· εἰπόντος δὲ ταῦτα τοῦ Κτησιφῶντος, καὶ πολλήν τινα ἐξαγγείλαντος πρὸς τούτοις φιλανθρωπίαν, καὶ τοῦ δήμου σφόδρα ἀποδεξαμένου, καὶ τὸν Κτησιφῶντα ἐπαινέσαντος, ἀντειπόντος δ' οὐδενός· ἐνταῦθα ἤδη δίδωσι ψήφισμα Φιλοκράτης ὁ Ἁγνούσιος, καὶ ὁ δῆμος ἅπας ὁμογνωμονῶν ἐχειροτόνησεν, ἐξεῖναι δεῦρο Φιλίππῳ κήρυκας καὶ πρέσβεις πέμπειν ὑπὲρ εἰρήνης· πρότερον μὲν γὰρ καὶ αὐτὸ τοῦτ' ἐκωλύετο ὑπό τινων, οἷς ἦν τοῦτ' ἐπιμελές, ὡς αὐτὸ τὸ πρᾶγμα ἔδειξεν· γράφονται δ' οὗτοι παρανόμων τὸ ψήφισμα, Λυκῖνον ἐπὶ τὴν γραφὴν ἐγγραψάμενοι, καὶ τίμημα ἐπέθηκαν ἑκατὸν τάλαντα· καὶ μετὰ ταῦτ' εἰσῄει ἡ γραφὴ εἰς τὸ δικαστήριον· ἀρρώστως δ' ἔχων ὁ Φιλοκράτης ἐκάλεσεν αὐτῷ συνήγορον τὸν Δημοσθένην, ἀλλ'

οὐκ

ἐκ ἐμέ. Παρελθὼν δ' ὁ μισοφίλιππος Δημοσθένης κατέτριψε τὴν ἡμέραν ὅλην ἀπολογούμενος, καὶ τὸ τελευταῖον ἀποφεύγει ὁ Φιλοκράτης· ὁ δὲ γραψάμενος τὸ πέμπτον μέρος τῶν ψήφων ἐ μεταλαμβάνει, καὶ ταῦθ' ὑμεῖς ἅπαντες ἴστε. ὑπὸ δὲ τὰς αὐτὰς καιρὰς Ὄλυνθος ἑάλω, καὶ πολλοὶ τῶν ἡμετέρων ἐγκατελήφθησαν πολιτῶν, ὧν ἦν Στρατοκλῆς ὁ Ἐργοχάρους ἀδελφὸς, καὶ Εὔκρατος ὁ Στρομβίχου υἱός· ὑπὲρ δὲ τούτων ἱκετηρίαν θέντες οἱ οἰκεῖοι, ἐδέοντο ὑμῶν ἐπιμέλειαν ποιήσασθαι· παρελθόντες δ' αὐτοῖς συνηγόρουν Φιλοκράτης καὶ Δημοσθένης, ἀλλ' ἐκ Αἰσχίνης· καὶ πέμπουσι πρεσβευτὴν Ἀριστόδημον τὸν ὑποκριτὴν πρὸς Φίλιππον διὰ τὴν γνῶσιν καὶ φιλανθρωπίαν τῆς τέχνης· ὡς δ' ἐπανῆκεν ἀπὸ τῆς πρεσβείας ὁ Ἀριστόδημος, διά τινας ἀσχολίας ἐ προσῄει πρὸς τὴν βουλὴν, ἀλλ' ἔφθασεν αὐτὸν Στρατοκλῆς ἐλθὼν ἐκ Μακεδονίας, ἀφεθεὶς ὑπὸ Φιλίππου ἄνευ λύτρων, γενόμενος αἰχμάλωτος· ἐνταῦθ' ἠγανάκτουν πολλοὶ, ὅτι τὴν πρεσβείαν ἐκ ἀπήγγειλεν ὁ Ἀριστόδημος, τὰς αὐτὰς λόγους ἀκούοντες τοῦ Στρατοκλέους παρὰ τοῦ Φιλίππου. Τελευταῖον δ' εἰς τὴν βουλὴν εἰσελθὼν Δημοκράτης ὁ Ἀφιδναῖος ἔπεισε τὴν βουλὴν ἀνακαλέσασθαι τὸν Ἀριστόδημον· εἷς δὲ τῶν βουλευτῶν ἦν Δημοσθένης, ὁ ἐμὸς κατήγορος. παρελθὼν δ' Ἀριστόδημος πολλήν τινα εὔνοιαν ἀπήγγελλε τοῦ Φιλίππου πρὸς τὴν πόλιν, καὶ προστέθηκεν, ὅτι καὶ σύμμαχος βέλοιτο τῇ πόλει γενέσθαι· καὶ ταῦτ' ἐκ ἐν τῇ βουλῇ μόνον εἶπεν, ἀλλὰ καὶ ἐν τῷ δήμῳ, κἀνταῦθ' ἐδὲν ἀντεῖπε Δημοσθένης, ἀλλὰ καὶ στεφανῶσαι τὸν Ἀριστόδημον ἔγραψε. Ῥηθέντων δὲ τούτων ἐν τῷ δήμῳ, ψήφισμα ἔγραψεν ὁ Φιλοκράτης, ἑλέσθαι πρέσβεις ὑμᾶς πρὸς Φίλιππον ἄνδρας δέκα, οἵτινες διαλέξονται Φιλίππῳ περὶ εἰρήνης, καὶ τῶν κοινῇ συμφερόντων Ἀθηναίοις καὶ Φιλίππῳ.

Χειροτονουμένων δὲ τῶν δέκα πρέσβεων, ἐγὼ μὲν προεβλήθην ὑπὸ Ναυσικλέους, Δημοσθένης δ' ὑπὸ τοῦ Φιλοκράτους, ὁ νυνὶ Φιλοκράτους κατηγορῶν· ἕτω δ' ἦν πρόθυμος εἰς τὰ πράγματα, ὥστε ἐν τῇ βουλῇ γράφει, ἵνα ἀζήμιος ὢν ἡμῖν συμπρεσβεύῃ ὁ Ἀριστόδημος, ἑλέσθαι πρέσβεις ἐπὶ τὰς πόλεις, ἐν αἷς ἔδει τὸν Ἀριστόδημον ἀγωνίζεσθαι, οἵτινες ὑπὲρ αὐτοῦ παραιτήσονται τὰς ζημίας· καὶ ὅτι ταῦτ' ἐστὶν ἀληθῆ, λάβε μοι τὰ ψηφίσματα, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι τὴν Ἀριστο-

δῆμον. καὶ καλεῖ πρὸς οὓς ἐξεμαρτύρησεν, ἵν' εἰδῶσιν οἱ δικασταὶ τίς ἦν Φιλοκράτους ἑταῖρος, καὶ τίς ὁ τὰς δωρεὰς Ἀριστοδήμῳ φάσκων πείσειν δοῦναι τὸν δῆμον.

Ψήφισμα.

Ἐκμαρτυρία. Ἡ μὲν τοίνυν ἐξ ἀρχῆς ἔνστασις τῶν ὅλων πραγμάτων ἐγένετο, οὐ δι' ἐμοῦ, ἀλλὰ διὰ Δημοσθένους καὶ Φιλοκράτους. ἐν δὲ τῇ πρεσβείᾳ συσσιτεῖν ἡμῖν ἐσπούδασεν, οὐκ ἐμὲ πείσας, ἀλλὰ τοὺς μετ' ἐμοῦ, Ἀγλαοκρέοντα τὸν Τενέδιον, ὃν ἐκ τῶν συμμάχων εἵλεσθε, καὶ Ἰατροκλέα. ἐν δὲ τῇ πορείᾳ παρακελεύεσθαί με φησὶν αὐτῷ, ὅπως τὸ θηρίον κοινῇ φυλάξομεν τὸν Φιλοκράτην, πρᾶγμα λέγων πεπλασμένον. πῶς γὰρ ἂν ἐγὼ Δημοσθένην ἐπὶ Φιλοκράτην παρεκάλουν, ὃν ᾔδειν συνειπόντα μὲν Φιλοκράτει, ὅτ' ἦν ἡ τῶν παρανόμων γραφή, προβληθέντα δὲ εἰς τὴν πρεσβείαν ὑπὸ Φιλοκράτους; πρὸς δὲ τούτοις, οὐκ ἐν τοιούτοις, οἶμαι, λόγοις οἱ συμπρέσβεις, ἀλλ' ὅλην τὴν πορείαν ἠναγκαζόμεθα ὑπομένειν Δημοσθένην, ἀφόρητον ὄντα καὶ βαρὺν ἄνθρωπον· ὃς διασκοπούντων ἡμῶν ὅ, τι χρὴ λέγειν ἡμᾶς, τῶν συμπρέσβεων, καὶ Κίμωνος εἰπόντος, ὅτι φοβεῖτο, μὴ δικαιολογούμενος περιγένοιτο ἡμῶν ὁ Φίλιππος, πηγὰς δὲ δὴ λόγων ἀφθόνους ἔχειν ἐπηγγέλλετο, καὶ περὶ τῶν δικαίων τῶν ὑπὲρ Ἀμφιπόλεως καὶ τῆς ἀρχῆς τοῦ πολέμου τοιαῦτα ἐρεῖν ἔφη, ὥστε ἀπορράψειν τὸ Φιλίππου στόμα ὁλοσχοίνῳ ἀβρόχῳ, καὶ πείσειν Ἀθηναίους μὲν καταδέξασθαι Λεωσθένην, Φίλιππον δ' Ἀθηναίοις Ἀμφίπολιν ἀποδοῦναι. ἵνα δὲ μὴ μακρολογῶ τὴν τούτου διεξιὼν ὑπερηφανίαν, ὡς τάχιστα ἥκομεν εἰς Μακεδονίαν, συνετάξαμεν ἡμᾶς αὐτούς, ὅταν προσίωμεν Φιλίππῳ, τοὺς πρεσβυτάτους πρώτους λέγειν, καὶ τοὺς λοιποὺς καθ' ἡλικίαν. ἐτύγχανε δ' ἡμῶν νεώτατος ὢν (ὡς ἔφη) Δημοσθένης. ἐπειδὴ δὲ εἰσεκλήθημεν (καὶ τούτοις ἤδη σφόδρα μοι προσέχετε τὸν νοῦν· ἐντεῦθεν γὰρ κατόψεσθε ἀνθρώπου φθόνον ὑπερβάλλοντα, καὶ δεινὴν δειλίαν ἅμα καὶ κακοήθειαν, καὶ τοιαύτας ἐπιβουλὰς κατ' ἀνδρῶν συσσίτων καὶ συμπρέσβεων, ἃς οὐδὲ κατὰ τῶν ἐχθίστων τις εἰκῇ ποιήσαιτο· τοὺς γὰρ τῆς πόλεως ἅλας καὶ τὴν δημοσίαν τράπεζαν περὶ πλείστου δή φησι ποιεῖσθαι, οὐκ ὢν ἐπιχώριος (εἰρήσεται γὰρ) οὐδ' ἐγγενὴς ἡμῖν· ἡμεῖς δέ, οἷς ἱερὰ καὶ τάφοι προγόνων ὑπάρχουσιν ἐν τῇ πατρίδι, καὶ

διατριβαὶ, καὶ συνήθειαι μεθ' ὑμῶν ἐλεύθεροι, καὶ γάμοι κατὰ τοὺς νόμους, καὶ κηδεσταὶ καὶ τέκνα Ἀθηναίοις μὲν ἦσαν ἄξιοι τῆς ὑμετέρας πίστεως, οὐ γὰρ ἄν ποτε ἡμᾶς ἐλάθετε· ἐλθόντες δ' εἰς Μακεδονίαν, ἐξαίφνης ἐγενόμεθα προδόται. Ὁ δὲ, οὐδὲν ἄπρακτον ἔχων μέρος τοῦ σώματος, οὐδ' ὅθεν τὴν φωνὴν προΐεται, ὡς ὁ Ἀριστείδης ὁ τοὺς φόρους τάξας τοῖς Ἕλλησιν, ὁ δίκαιος ἐπικαλούμενος, δυσχεραίνει καὶ καταπτύει δωροδοκίας. ἀκούσατε δὴ τούς τε ἡμετέρους λόγους, οὓς εἴπομεν ὑπὲρ ὑμῶν, καὶ πάλιν οὓς τὸ μέγα ὄφελος τῆς πόλεως εἴρηκε Δημοσθένης, ἵν' ἐφεξῆς καὶ κατὰ μικρὸν πρὸς ἕκαστα τῶν κατηγορημένων ἀπολογήσωμαι. ἐπαινῶ δ' εἰς ὑπερβολὴν πάντας ὑμᾶς, ὦ ἄνδρες, ὅτι σιγῇ καὶ δικαίως ἡμῶν ἀκούετε· ὥστ' ἐάν τι μὴ λύσω τῶν κατηγορημένων, οὐχ ὑμᾶς ἀλλ' ἐμαυτὸν αἰτιάσομαι. ἐπειδὴ γὰρ οἱ πρεσβύτεροι ταῖς ἡλικίαις ὑπὲρ τῆς πρεσβείας εἰρήκεσαν, καὶ καθῆκεν εἰς ἡμᾶς ὁ λόγος, καὶ τὰ μὲν καθ' ἕκαστα τῶν ἐκεῖ ῥηθέντων ὑπ' ἐμοῦ, καὶ τοὺς πρὸς ταῦτα λεχθέντας ὑπὸ Φιλίππου λόγους, ἐν τῷ δήμῳ σαφῶς ἀπήγγειλα πρὸς ἅπαντας Ἀθηναίους, νῦν δὲ πειράσομαι διὰ κεφαλαίων ὑμᾶς ὑπομνῆσαι· πρῶτον μὲν γὰρ, πρὸς αὐτὸν διεξῆλθον τὴν πατρικὴν εὔνοιαν, καὶ τὰς εὐεργεσίας ἃς ὑμεῖς ὑπήρξατε Ἀμύντᾳ, τῷ Φιλίππου πατρὶ, οὐδὲν παραλείπων, ἀλλ' ἐφεξῆς ἅπαντα ὑπομιμνήσκων· δεύτερον δὲ, ὧν αὐτὸς ἦν μάρτυς εὐπαθῶν. Ἀμύντου γὰρ νεωστὶ τετελευτηκότος καὶ Ἀλεξάνδρου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν, Περδίκκου δὲ καὶ Φιλίππου παίδων ὄντων, Εὐρυδίκης δὲ τῆς μητρὸς αὐτῶν προδιδομένης ὑπὸ τῶν δοκούντων αὐτοῖς εἶναι φίλων, Παυσανίου δ' ἐπὶ τὴν ἀρχὴν αὐτῶν κατιόντος, φυγάδος μὲν ὄντος, τῷ καιρῷ δ' ἰσχύοντος, πολλῶν δ' αὐτῷ συμπραττόντων, ἔχοντος δὲ Ἑλληνικὴν δύναμιν, εἰληφότος δὲ Ἀνθεμοῦντα καὶ Θέρμαν καὶ Στρέψαν, καὶ ἄλλ' ἄττα χωρία, Μακεδόνων δὲ οὐχ ὁμονοούντων, ἀλλὰ τῶν πλείστων τὰ Παυσανίου φρονούντων· ἐπὶ τῶν καιρῶν τούτων ἐχειροτόνησαν Ἀθηναῖοι στρατηγὸν ἐπ' Ἀμφίπολιν Ἰφικράτην, Ἀμφιπολιτῶν αὐτῶν ἐχόντων τὴν πόλιν καὶ τὴν χώραν τότε καρπουμένων· ἀφικομένου δ' εἰς τοὺς τόπους Ἰφικράτους μετ' ὀλίγων τὸ πρῶτον νεῶν, ἐπὶ κατασκοπὴν μᾶλλον τῶν πραγμάτων, ἢ πολιορκίαν τῆς πόλεως, ἐνταῦθ', ἔφην ἐγὼ, μετεπέμψατο αὐτὸν Εὐ-

ρυδίκη ἡ μήτηρ ἡ σή· καὶ (ὥς γε δὴ λέγουσιν οἱ παρόντες πάντες) Περδίκκαν μὲν τὸν ἀδελφὸν τὸν σὸν καταστήσειεν εἰς τὰς χεῖρας τὰς Ἰφικράτους, σὲ δὲ εἰς τὰ γόνατα τὰ ἐκείνου θείη παιδίον ὄντα, εἶπεν, ὅτι Ἀμύντας ὁ πατὴρ τῶν παίδων τούτων, ὅτ᾽ ἔζη, υἱὸν ἐποιήσατό σε, τῇ δὲ ἀθηναίων πόλει οἰκείως ἐχρῆτο· ὥστε συμβαίνει σοι καὶ ἰδίᾳ τῶν παίδων τούτων γεγενῆσθαι ἀδελφῷ, καὶ δημοσίᾳ φίλον ἡμῖν εἶναι. καὶ μετὰ ταῦτα ἤδη δέησιν ἰσχυρὰν ἐποιεῖτο καὶ ὑπὲρ ὑμῶν, καὶ ὑπὲρ αὐτῆς, καὶ ὑπὲρ τῆς ἀρχῆς, καὶ ὅλως ὑπὲρ τῆς σωτηρίας· ἀκούσας δὲ ταῦτα Ἰφικράτης ἐξήλασε Παυσανίαν ἐκ Μακεδονίας, καὶ τὴν δυναστείαν ὑμῖν ἔσωσε· καὶ μετὰ ταῦτα εἶπον περὶ Πτολεμαίου, ὃς ἦν ἐπίτροπος καθεστηκὼς τῶν πραγμάτων, ὡς ἀχάριστον καὶ δεινὸν ἔργον διεπράξατο, διδάσκων, ὅτι πρῶτον μὲν ὑπὲρ Ἀμφιπόλεως ἀντέπραττε τῇ πόλει, καὶ πρὸς Θηβαίους διαφερομένων ἀθηναίων συμμαχίαν ἐποιήσατο· καὶ πάλιν ὡς Περδίκκας εἰς τὴν ἀρχὴν καταστάς, ὑπὲρ Ἀμφιπόλεως ἐπολέμησε τῇ πόλει· καὶ τὴν ὑμετέραν ἠδικημένων ὅμως φιλανθρωπίαν λέγων, διεξῄειν, ὅτι κρατοῦντες τῷ πολέμῳ Περδίκκαν, Καλλισθένους ἀθηναίων ἡγουμένου, ἀνοχὰς πρὸς αὐτὸν ἐποιήσασθε, ἀεί τινος προσδοκῶντες τῶν δικαίων τεύξεσθαι· καὶ τὴν διαβολὴν ταύτην ἐπειρώμην διαλύειν, διδάσκων ὅτι Καλλισθένην ὁ δῆμος ἀπέκτεινεν, οὐ διὰ τὰς πρὸς Περδίκκαν ἀνοχάς, ἀλλὰ δι᾽ ἑτέρας αἰτίας· καὶ πάλιν οὐκ ὤκνουν κατ᾽ αὐτοῦ λέγειν φιλίππῳ ἐπιτιμῶν, ὅτι τὴν ἐκδοχὴν ἐποιήσατο πρὸς τὴν πόλιν τοῦ πολέμου. Καὶ πάντων ὧν εἴποιμι, μάρτυρας τὰς ἐκείνων ἐπιστολὰς παρειχόμην, καὶ τὰ ψηφίσματα τοῦ δήμου, καὶ τὰς Καλλισθένους ἀνοχάς. Περὶ μὲν οὖν τῆς ἐξ ἀρχῆς κτήσεως τῆς χώρας, καὶ τῶν καλουμένων ἐννέα ὁδῶν, καὶ περὶ τῶν Θησέως παίδων, ὧν Ἀκάμας λέγεται φερνὴν ἐπὶ τῇ γυναικὶ λαβεῖν τὴν χώραν ταύτην, τότε μὲν ἥρμοττε λέγειν, καὶ ἐρρήθη ὡς ἐνεδέχετο ἀκριβέστατα. νυνὶ δὲ ἴσως ἀνάγκη συντέμνειν τοὺς λόγους· ἃ δ᾽ ἦν τῶν σημείων οὐκ ἐν τοῖς ἀρχαίοις μύθοις, ἀλλ᾽ ἐφ᾽ ἡμῶν γεγενημένα, τούτων ἐπιμνησθήσομαι. Συμμαχίας γὰρ Λακεδαιμονίων καὶ τῶν ἄλλων ἑλλήνων συνελθούσης, εἷς ὢν τούτων Ἀμύντας ὁ φιλίππου πατήρ, καὶ πέμπων σύνεδρον, καὶ τῆς καθ᾽ ἑαυτὸν ψήφου κύριος ὤν, ἐψηφίσατο, Ἀμφίπολιν τὴν ἀθηναίων συνεξαιρεῖν μετὰ τῶν ἄλ-

λων

λων ἑλλήνων ἀθηναίοις· καὶ τοῦτο τὸ κοινὸν δόγμα τῶν ἑλλήνων, καὶ τοὺς ψηφισαμένους ἐκ τῶν δημοσίων γραμμάτων μάρτυρας παρεσχόμην· ὧν δὲ Ἀμύντας ἀπέστη ὁ φιλίππου πατὴρ ἐναντίον τῶν ἑλλήνων ἁπάντων, οὐ μόνον λόγοις, ἀλλὰ καὶ ψήφῳ, τούτων (ἔφην ἐγὼ) σε τὸν ἐξ ἐκείνου γεγενημένον, οὐκ ἔστι δίκαιον ἀντιποιεῖσθαι· εἰ δ' ἀντιποιῇ κατὰ πόλεμον λαβὼν, εἰκότως ἔχεις· εἰ μὲν πρὸς ἡμᾶς πολεμήσας, δορυάλωτον τὴν πόλιν εἷλες, κυρίως ἔχεις, τῷ τοῦ πολέμου νόμῳ κτησάμενος· εἰ δ' Ἀμφιπολίτας ἀφείλου τὴν ἀθηναίων πόλιν, οὐ τὰ ἐκείνων ἔχεις, ἀλλὰ τὴν ἀθηναίων χώραν· ῥηθέντων δὲ τούτων καὶ ἑτέρων λόγων, ἤδη καθῆκεν εἰς Δημοσθένην τὸ τῆς πρεσβείας μέρος, καὶ πάντες προσεῖχον ὡς ὑπερβολάς τινας δυνάμεως ἀκουσόμενοι λόγων· καὶ γὰρ πρὸς αὐτὸν τὸν φίλιππον (ὡς ἦν ὕστερον ἀκούειν) καὶ πρὸς τοὺς ἑταίρους αὐτοῦ ἐξηγγέλθη ἡ τῶν ἐπαγγελιῶν ὑπερβολή· οὕτω δὲ ἁπάντων διακειμένων πρὸς τὴν ἀκρόασιν, φθέγγεται τὸ θηρίον τοῦτο προοίμιον σκοτεινόν τε καὶ τεθνηκὸς δειλίᾳ, καὶ μικρὸν προαγαγὼν ἄνω τῶν πραγμάτων, ἐξαίφνης ἐσίγησε καὶ διηπορήθη, τελευτῶν δὲ ἐκπίπτει ἐκ τοῦ λόγου· ἰδὼν δὲ αὐτὸν ὁ φίλιππος ὡς διέκειτο, θαρρεῖν τε παρεκελεύετο, καὶ μὴ νομίζειν, ὥσπερ ἐν τοῖς θεάτροις, διὰ τοῦτο οἴεσθαί τι πεπονθέναι· ἀλλ' ἡσυχῇ καὶ κατὰ μικρὸν ἀναμιμνήσκεσθαι, καὶ λέγειν ὡς προείλετο· ὁ δ', ὡς ἅπαξ ἐταράχθη, καὶ τῶν γεγραμμένων διεσφάλη, οὐδ' ἀναλαβεῖν ἑαυτὸν ἠδυνήθη· ἀλλὰ καὶ πάλιν λέγειν ἐπιχειρήσας, ταυτὸν ἔπαθεν· ὡς δὲ ἦν σιωπὴ, μεταστῆναι ἡμᾶς ὁ κῆρυξ ἐκέλευεν· ἐπειδὴ δ' ἐφ' ἡμῶν αὐτῶν οἱ συμπρέσβεις ἐγενόμεθα, σφόδρα πάνυ σκυθρωπάσας ὁ χρηστὸς οὗτος Δημοσθένης, ἀπολωλεκέναι με ἔφη τὴν πόλιν καὶ τοὺς συμμάχους· ἐκπλαγέντος δὲ οὐκ ἐμοῦ μόνον, ἀλλὰ καὶ τῶν συμπρέσβεων ἁπάντων, καὶ τὴν αἰτίαν πυνθανομένων, δι' ἣν ταῦτ' εἶπεν, ἤρετό με εἰ τῶν ἀθήνησι πραγμάτων ἐπιλέλησμαι, καὶ τὸν δῆμον καταπεπονημένον, καὶ σφόδρα ἐπιθυμοῦντα τῆς εἰρήνης, εἰ μὴ μέμνημαι· ἢ μέγα φρονεῖς (ἔφη) ἐπὶ ταῖς ἐψηφισμέναις μὲν πεντήκοντα ναυσὶν, οὐδέποτε δὲ πληρωθησομέναις· οὕτω γὰρ ἠρέθικας φίλιππον, καὶ τοιαῦτ' εἴρηκας, ἐξ ὧν οὐκ εἰρήνη γένοιτ' ἂν ἐκ πολέμου, ἀλλ' ἐξ εἰρήνης πόλεμος ἀκήρυκτος· ἀρχομένου δέ με πρὸς

ταῦτα ἀντιλέγειν, ἐκάλουν ἡμᾶς οἱ ὑπηρέται οἱ τοῦ Φιλίππου· ὡς δ' ἤλθομεν καὶ ἐκαθεζόμεθα, ἐξ ἀρχῆς πρὸς ἕκαστον τὴν ἑρμηνείαν ἐνεχείρει τι λέγειν ὁ Φίλιππος. πλείστην δὲ εἰκότως ἐποιήσατο διατριβὴν πρὸς τοὺς ἐμοὺς λόγους· ἴσως γὰρ οὐδὲν τῶν ἐνόντων εἰπεῖν (ὥς γε οἶμαι) παρέλιπον, καὶ πολλάκις μου τοὔνομα ἐν τοῖς λόγοις ὠνόμαζε· πρὸς δὲ Δημοσθένη τὸν οὕτω καταγελάστως ἀπηλλαχότα, οὐδ' ὑπὲρ ἑνὸς (οἶμαι) διελέχθη· τοῦτο δὲ ἄρα ἦν ἀγχόνη καὶ λύπη τούτῳ. ἐπειδὴ δὲ κατέστρεψεν εἰς φιλανθρωπίαν τοὺς λόγους Φίλιππος, καὶ τὸ συκοφάντημα ὃ προειρήκει κατ' ἐμοῦ πρὸς τοὺς συμπρέσβεις οὗτος, ὡς ἐσομένου πολέμου καὶ διαφορᾶς αἰτίου, διέπιπτεν αὐτῷ, ἐνταῦθα ἤδη καὶ παντελῶς ἐξιστάμενος αὑτοῦ καταφανὴς ἦν· ὥστε καὶ κληθέντων ἡμῶν ἐπὶ ξενίᾳ, δεινῶς ἀσχημονεῖν. Ἀφορμώντων δ' ἡμῶν οἴκαδε ἐκ τῆς πρεσβείας, ἐξαίφνης κατὰ τὴν ὁδὸν παραδόξως καὶ φιλανθρώπως πρὸς ἕκαστον διελέγετο. Ὅ,τι μὲν οὖν ἦν ποθ' ὁ κέρκωψ, ἢ τὸ καλούμενον παιπάλημα, ἢ τὸ παλίμβολον, ἢ τὰ τοιαῦτα ῥήματα, οὐκ ᾔδειν πρότερον· νυνὶ δ' ἐξηγητὴν τοῦτον λαβὼν τῆς πάσης κακοηθείας, μεμάθηκα· διαλαμβάνων γὰρ ἕκαστον ἡμῶν ἐν μέρει, τῷ μὲν ἔρανον εἰσοίσειν ἐπηγγέλλετο, καὶ βοηθήσειν τοῖς ἰδίοις, τὸν δὲ εἰς στρατηγίαν καταστήσειν· ἐμοὶ δὲ παρακολουθῶν, καὶ τὴν φύσιν μακαρίζων, καὶ τοὺς λόγους οὓς εἶπον ἐγκωμιάζων, πολὺς ἦν τοῖς ἐπαίνοις καὶ ἐπαχθής. συνδειπνούντων δ' ἡμῶν ἁπάντων ἐν Λαρίσσῃ, εἰς αὑτὸν μὲν ἔσκωπτε, καὶ τὴν ἀπορίαν τὴν ἐν τῷ λόγῳ συμβᾶσαν ἑαυτῷ· τὸν δὲ Φίλιππον τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων ἔφη πάντων εἶναι δεινότατον· συναποφηναμένου δὲ κἀμοῦ τι τοιοῦτον, ὡς μνημονικῶς εἴποι πρὸς τὰ παρ' ἡμῶν ῥηθέντα, Κτησιφῶντος δὲ, ὅσπερ ἦν ἡμῶν πρεσβύτατος, ὑπερβολήν τινα ἑαυτοῦ παλαιότητος καὶ πλῆθος ἐτῶν εἰπόντος, καὶ προσθέντος, ὡς ἐν τοσούτῳ χρόνῳ καὶ βίῳ, οὐ πώποθ' οὕτως ἡδὺν οὐδ' ἐπαφρόδιτον ἄνθρωπον ἑωρακὼς εἴη· ἀνακροτήσας ὁ Σίσυφος ὅδε τὰς χεῖρας, Ταῦτα μέντοι (ἔφη) ὦ Κτησιφῶν, οὔτ' ἂν σὺ πρὸς τὸν δῆμον εἴποις, οὔτ' ἂν οὗτος (ἐμὲ δὴ λέγων) τολμήσειεν εἰπεῖν πρὸς Ἀθηναίους, ὡς ἦν ὁ Φίλιππος δεινὸς εἰπεῖν καὶ μνημονικός· ἀναισθήτως δὲ ἡμῶν ἐχόντων, καὶ τὴν ἐπιβουλὴν οὐ προορωμένων, ἣν αὐτίκα ἀκούσεσθε, ὡς συν-

θήκην

θήκην τινὰ ἡμᾶς κατέκλεισεν ὑπὲρ τοῦ ταῦτ' ἐρεῖν πρὸς ὑμᾶς. ἐμοῦ δὲ καὶ δέησίν τινα ἰσχυρὰν ἐδεήθη μὴ παραλιπεῖν, ἀλλ' εἰπεῖν, ὡς ὑπὲρ Ἀμφιπόλεώς τι καὶ Δημοσθένης εἴποι· μέχρι μὲν οὖν τούτου οἱ συμπρέσβεις εἰσί μοι μάρτυρες, οὓς προπηλακίζων οὗτος καὶ διαβάλλων ἐν τῇ κατηγορίᾳ διατετέλεκε. τῶν δ' ἐπὶ τοῦ βήματος παρ' ἡμῖν λόγων ὑμεῖς ἀκηκόατε. ὥστε οὐκ ἐνέσται μοι ψεύδεσθαι· δέομαι δὲ ὑμῶν προσεπιπονῆσαι ἀκούοντας καὶ τὴν λοιπὴν διήγησιν· ὅτι μὲν γὰρ ἕκαστος ὑμῶν ποθεῖ τὰ περὶ Κερσοβλέπτην ἀκούειν, καὶ τὰς περὶ Φωκέων αἰτίας, σαφῶς οἶδα, καὶ πρὸς ταῦτα σπεύδω. ἀλλ' ἐὰν μὴ τὰ πρὸ τούτων ἀκούσητε, οὐδ' ἐκείνοις ὁμοίως παρακολουθήσετε· ἐὰν δ' ἐμοὶ τῷ κινδυνεύοντι εἰπεῖν δῶτε ὡς βούλομαι, καὶ σώσαί με, εἰ μηδὲν ἀδικῶ, δυνήσεσθαι, ἱκανὰς εἰληφότες ἀφορμάς, καὶ θεάσεσθε ἐκ τῶν ὁμολογουμένων καὶ τὰ ἀντιλεγόμενα· ὡς γὰρ δεῦρ' ἤλθομεν, καὶ πρὸς τὴν βουλὴν ἐπὶ κεφαλαίων τὴν πρεσβείαν ἀπηγγέλλομεν, καὶ τὴν ἐπιστολὴν ἀπέδομεν τὴν παρὰ Φιλίππου, ἐπαινέτης ἦν ἡμῶν Δημοσθένης πρὸς τοὺς βουλεύοντας, καὶ τὴν ἑστίαν ἐπώμοσε τὴν βουλαίαν, συγχαίρειν τῇ πόλει, ὅτι τοιούτους ἄνδρας ἐπὶ τὴν πρεσβείαν ἐξέπεμψεν, οἳ καὶ τοῖς λόγοις, καὶ τῇ πίστει πράττοντές τε καὶ λέγοντες ἄξιοι ἦσαν τῆς πόλεως· ὑπὲρ ἐμοῦ δὲ εἶπέ τι τοιοῦτον, ὡς οὐ ψευσαίμην τὰς τῶν ἑλομένων με ἐπὶ τὴν πρεσβείαν ἐλπίδας. τέλος δὲ πάντων ἔγραψεν, ἡμᾶς στεφανῶσαι θαλλοῦ στεφάνῳ ἕκαστον, εὐνοίας ἕνεκα τῆς εἰς τὸν δῆμον, καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον· ὅτι δ' οὐδὲν ψεῦδος εἴρηκα πρὸς ὑμᾶς, λαβέτω μοι τὸ ψήφισμα ὁ γραμματεὺς, καὶ τὰς τῶν συμπρέσβεων μαρτυρίας ἀναγνώτω. Ψήφισμα βουλῆς, ὃ Δημοσθένης εἶπε· Μαρτυρίαι τῶν συμπρέσβεων περὶ τῶν εἰρημένων· ἐπειδὴ τοίνυν ἀπηγγέλλομεν τὴν πρεσβείαν ἐν τῷ δήμῳ, εἶπε παρελθὼν πρῶτος ἡμῶν διὰ τὴν ἡλικίαν Κτησιφῶν, ἄλλους τέ τινας λόγους, καὶ τοὺς πρὸς Δημοσθένην συγκειμένους ἡμῖν ἐρεῖν, περί τε τῆς ἐντεύξεως τῆς Φιλίππου, καὶ τῆς ἰδέας αὐτοῦ, καὶ τῆς ἐν τοῖς πότοις ἐπιδεξιότητος, καὶ μετὰ τοῦτον Φιλοκράτους εἰπόντος μικρὰ καὶ Δερκύλλου, παρῆλθον ἐγώ· ἐπειδὴ δὲ τὴν ἄλλην διεξῆλθον πρεσβείαν, ἀπήντησα δὲ πρὸς τὸν λόγον, ὃν ἐν τοῖς συμπρέσβεσι διωμολογησάμην,

εἰπεῖν

εἰπών, ὅτι μνημονικῶς καὶ δυνατῶς ὁ φίλιππος εἴποι, καὶ τῆς δεήσεως ἐκ ἐπελαθόμην τῆς Δημοσθένους, ὅτι ταχθεὶς λέγειν ἐάν τι παραλίπωμεν ἡμεῖς, ὑπὲρ Ἀμφιπόλεως· ἐφ' ἅπασι δ' ἡμῖν ἀνίσταται τελευταῖος Δημοσθένης, καὶ τερατευσάμενος (ὥσπερ εἰώθει) τῷ σχήματι, καὶ τρίψας τὴν κεφαλήν, ὁρῶν ἐπισημαινόμενον τὸν δῆμον, καὶ δεδεγμένον τοὺς παρ' ἐμοῦ λόγους, ἀμφοτέρων ἔφη θαυμάζειν, καὶ τῶν ἀκουόντων καὶ τῶν πρεσβευσάντων, ὅπως παρέντες τὸν χρόνον, οἱ μὲν τὸν τοῦ βουλεύσασθαι, οἱ δὲ, τὸν τοῦ συμβουλεύειν, ἀποδιατρίβουσι, τὴν ὑπερόριον λαλιὰν ἀγαπῶντες ἐν τοῖς οἰκείοις πράγμασιν· οὐδὲν γὰρ εἶναι ῥᾷον, ἢ πρεσβείαν ἀπαγγέλλειν· βούλομαι δ' ὑμῖν (ἔφη) καὶ ἐπιδεῖξαι ὡς δεῖ τὸ πρᾶγμα γίνεσθαι· ἅμα δ' ἐκέλευσεν ἀναγνωσθῆναι τὸ ψήφισμα τοῦ δήμου· ἀναγνωσθέντος δέ, εἶπεν, ὅτι κατὰ τοῦτο ἐξεπέμφθημεν, καὶ ταῦτα ἐπράττομεν, ἃ ἐνταῦθοι γέγραπται· λάβε δή μοι καὶ τὴν ἐπιστολήν, ἣν ἥκομεν παρὰ φιλίππου φέροντες· ἐπειδὴ δὲ ἀνεγνώσθη, ἀπέχετε (ἔφη) τὴν ἀπόκρισιν, καὶ λοιπὸν ὑμῖν ἐστι βουλεύσασθαι· θορυβησάντων δ' ἐπ' αὐτῷ, τῶν μέν, ὡς δεινός τις εἴη καὶ σύντομος, τῶν δὲ πλειόνων, ὡς πονηρὸς καὶ φθονερός· καὶ σκέψασθε δὲ (ἔφη) ὡς συντόμως, καὶ τ' ἄλλα πάντα ἀπαγγελῶ· ἐδόκει μνημονικὸς καὶ δεινὸς εἶναι λέγειν αἰσχίνῃ φίλιππος; ἀλλ' οὐκ ἐμοί· ἀλλ' εἴ τις αὐτοῦ τὴν τύχην περιελὼν ἑτέρῳ περιθείη, οὐκ ἂν πολύ τι καταδεὴς εἴη· ἐδόκει Κτησιφῶντι τὴν ὄψιν λαμπρὸς εἶναι, ἐμοὶ δ' οὐ χείρων Ἀριστόδημος ὁ ὑποκριτής· ὃς παρῆν ἡμῖν καὶ συνεπρέσβευε· μνημονικόν τις αὐτόν φησιν εἶναι; καὶ γὰρ ἕτεροι· συμπιεῖν δεινὸς ἦν; ἀλλὰ Φιλοκράτης, ὁ μεθ' ἡμῶν δεινότερος· λόγον τίς φησιν ἐμοὶ καταλιπεῖν ὑπὲρ Ἀμφιπόλεως, ἀλλ' οὔτ' ἂν ὑμῖν ὁ ῥήτωρ οὗτος, οὔτ' ἂν ἐμοὶ λόγου μεταδοίη· ταῦτα μὲν οὖν λῆρός ἐστιν, ἔφη· ἐγὼ δὲ ψήφισμα γράψω, καὶ τῷ κήρυκι σπείσασθαι βούλομαι τῷ παρὰ φιλίππου ἥκοντι, καὶ τοῖς μέλλουσι παρ' αὐτοῦ δεῦρο ἰέναι πρέσβεσι, καὶ τοὺς πρυτάνεις, ἐπειδὰν ἥκωσιν οἱ πρέσβεις, ἐκκλησίαν ἐπὶ δύο ἡμέρας ποιεῖν, μὴ μόνον ὑπὲρ εἰρήνης, ἀλλὰ καὶ περὶ συμμαχίας, καὶ τοὺς πρέσβεις ἡμᾶς, εἰ δοκοῦμεν ἄξιοι εἶναι, ἐπαινέσαι, καὶ καλέσαι ἐπὶ δεῖπνον εἰς τὸ πρυτανεῖον εἰς αὔριον· ὅτι δ' ἀληθῆ λέγω, λάβε μοι τὰ ψηφίσματα, ἵνα εἰδῆτε, ὦ ἄνδρες, καὶ τὴν ἀνω-

μα-

μάλιστα αὐτοῦ καὶ τὸν φθόνον, καὶ τὴν τῶν πραγμάτων μετὰ Φιλοκράτους κοινωνίαν, καὶ τὸ ἦθος ὡς ἐπίβουλον καὶ ἄπιστον· κάλει δέ μοι καὶ τοὺς συμπρέσβεις, καὶ τὰς μαρτυρίας αὐτῶν ἀνάγνωθι, καὶ τὰ ψηφίσματα Δημοσθένους. Ψηφίσματα Δημοσθένους. Οὐ τοίνυν μόνον ταῦτα ἔγραψεν, ἀλλὰ καὶ μετὰ ταῦτα ἐν τῇ βουλῇ εἶπε, θέαν εἰς τὰ διονύσια κατανεῖμαι τοῖς πρέσβεσιν, ἐπειδὰν ἥκωσι, τοῖς φιλίππου· λέγε καὶ τοῦτο τὸ ψήφισμα· Ψήφισμα Δημοσθένους· ἀνάγνωθι δὴ καὶ τὴν τῶν συμπρέσβεων μαρτυρίαν, ἵν' εἰδῆτε, ὦ ἀθηναῖοι, ὅτι Δημοσθένης οὐχ ὑπὲρ τῆς πόλεως εἰπεῖν δύναται, ἀλλ' ἐπὶ τοὺς συσσίτους καὶ ὁμοσπόνδους μελετᾷ· Μαρτυρία. Τὴν μὲν τοίνυν πραγματείαν τῶν ὑπὲρ τῆς εἰρήνης πράξεων, οὐκ ἐμὴν καὶ Φιλοκράτους, ἀλλὰ Δημοσθένους καὶ Φιλοκράτους εὑρήσετε, καὶ τὰς πίστεις τῶν εἰρημένων ἱκανὰς ὑμῖν οἶμαι παρεσχῆσθαι· τῶν μὲν γὰρ ἀπηγγελμένων ὑμεῖς ἐστέ μοι μάρτυρες· τῶν δὲ ἐν Μακεδονίᾳ ῥηθέντων, καὶ τῶν κατὰ τὴν πορείαν ἡμῖν συμβάντων, τοὺς συμπρέσβεις ὑμῖν μάρτυρας παρεσχόμην· τῆς δὲ ὑπὸ Δημοσθένους ἀρτίως εἰρημένης κατηγορίας ἠκούσατε καὶ μέμνησθε, ἧς τὴν ἀρχὴν ἐποιήσατο ἀπὸ τῆς δημηγορίας, ἣν εἶπον περὶ τῆς εἰρήνης· πάντα δὲ ἐν τῷ μέρει τούτῳ τῆς κατηγορίας ἐψευσμένος, ἐπὶ τῷ καιρῷ τούτῳ δεινῶς ἐσχετλίασε· τοὺς γὰρ λόγους τούτους ἐναντίον φησὶ τῶν πρέσβεων λέγεσθαι, οὓς ἔπεμψαν πρὸς ἡμᾶς οἱ ἕλληνες, μεταπεμφθέντες ὑπὸ τοῦ δήμου, ἵνα κοινῇ καὶ πολεμοῖεν, εἰ δέοι, φιλίππῳ μετὰ ἀθηναίων, καὶ τῆς εἰρήνης, (εἰ τοῦτο εἶναι δοκοίη σύμφορον) μετάσχοιεν· σκέψασθε δὴ πράγματος μεγάλου κλοπὴν, καὶ δεινὴν ἀναισχυντίαν ἀνθρώπου· τῶν γὰρ πρέσβεων, οὓς ἐξεπέμψατε εἰς τὴν ἑλλάδα, ἔτι τοῦ πολέμου πρὸς φίλιππον ἡμῖν ἐνεστηκότος, οἱ μὲν χρόνοι τῆς αἱρέσεως ὅτε ἐξεπέμφθησαν, καὶ τὰ τῶν πρεσβευσάντων ὀνόματα ἐν τοῖς δημοσίοις ἀναγέγραπται γράμμασι, τὰ δὲ σώματα αὐτῶν ἐστιν οὐκ ἐν Μακεδονίᾳ, ἀλλ' ἀθήνησι· ταῖς δὲ ξενικαῖς πρεσβείαις ἡ βουλὴ τὰς εἰς τὸν δῆμον προσόδους προβουλεύει. οὗτος δέ φησιν ἀπεστάλθαι τὰς παρὰ τῶν ἑλλήνων πρεσβείας. παρελθὼν τοίνυν Δημοσθένης ἐπὶ τὸ βῆμα τοῦτο, ἐν τῷ ἐμῷ λόγῳ εἰπὲ πόλεως ἧς τινος βούλει τῶν ἑλληνίδων τοὔνομα, ἐξ ἧς ἀφῖχθαι τότε φῂς τοὺς πρέσβεις, καὶ τὰ προβουλεύματα

αὐ-

αὐτὴν ἐκ τοῦ βουλευτηρίου δὸς ἀναγνῶναι, καὶ τοὺς ἀθη-
ναίων κάλει πρέσβεις, οὓς ἐξέπεμψαν ἐπὶ τὰς πόλεις,
μάρτυρας, κἂν παρῶσι, καὶ μὴ ἀποδημῶσιν, ὅτε ἡ πόλις
τὴν εἰρήνην ἐποιεῖτο, μαρτυρήσουσιν, ἢ τὰς πρὸς τὴν βου-
λὴν αὐτῶν προσόδους καὶ τὰ ψηφίσματα ἂν παράσχῃς,
ἐν ᾧ σὺ φῂς ὄντα χρόνῳ, καταβαίνω, καὶ θάνατον τι-
μῶμαι· ἀνάγνωθι δὴ καὶ τὸ τῶν συμμάχων δόγμα,
τί λέγει, ἐν ᾧ διαρρήδην γέγραπται, ἐπειδὴ βουλεύε-
ται ὁ δῆμος ὁ ἀθηναίων ὑπὲρ εἰρήνης πρὸς φίλιπ-
πον, οἱ δὲ πρέσβεις οὔπω πάρεισιν, οὓς ἐξέπεμψεν ὁ δῆ-
μος εἰς τὴν ἑλλάδα παρακαλοῦντας τὰς πόλεις ὑπὲρ
τῆς ἐλευθερίας τῶν ἑλλήνων, δεδόχθαι τοῖς συμμάχοις,
ἐπειδὰν ἐπιδημήσωσιν οἱ πρέσβεις, καὶ τὰς πρεσβείας
ἀπαγγείλωσιν ἀθηναίοις καὶ τοῖς συμμάχοις, προγρά-
ψαι τοὺς πρυτάνεις ἐκκλησίας δύο κατὰ τοὺς νόμους·
ἐν δὲ ταύταις βουλεύσασθαι περὶ τῆς εἰρήνης ἀθηναίους.
ὅ,τι δ᾽ ἂν βουλεύσηται ὁ δῆμος, τοῦτ᾽ εἶναι κοινὸν δόγ-
μα τῶν συμμάχων· ἀνάγνωθι δή μοι τὸ τῶν συνέδρων
δόγμα· Δόγμα συνέδρων. Παραναγνωθι δή μοι καὶ
τὸ τοῦ Δημοσθένους ψήφισμα, ἐν ᾧ κελεύει τοὺς πρυτάνεις,
μετὰ τὰ διονύσια τὰ ἐν ἄστει καὶ τὴν ἐν διονύσου ἐκκλησίαν,
προγράψαι δύο ἐκκλησίας, τὴν μὲν τῇ ὀγδόῃ ἐπὶ
δέκα, τὴν δὲ τῇ ἐνάτῃ ἐπὶ δέκα, ὁρίζων τὸν χρό-
νον, καὶ προϋφαιρῶν τὰς ἐκκλησίας, πρὶν ἐπιδημῆσαι
τοὺς ἀπὸ τῶν ἑλλήνων πρέσβεις· καὶ τὸ μὲν τῶν συμ-
μάχων δόγμα κελεύει (ᾧ συνειπεῖν καὶ ἐγὼ ὁμολο-
γῶ) ὑπὲρ τῆς εἰρήνης μόνον ὑμᾶς βουλεύσασθαι. Δημο-
σθένης δὲ καὶ περὶ συμμαχίας κελεύει· λέγε αὐτοῖς τὸ
ψήφισμα· Ψήφισμα Δημοσθένους. Τῶν μὲν ψηφισμά-
των ἀμφοτέρων, ὦ ἀθηναῖοι ἠκούσατε, ὑφ᾽ ὧν ἐξελέγ-
χεται Δημοσθένης τὰς ἀποδημούσας πρεσβείας ἐπιδη-
μεῖν φάσκων, καὶ βουλομένων ὑμῶν ἀκροάσασθαι, τὸ τῶν
συμμάχων ἄκυρον πεποιηκὼς δόγμα· οἱ μὲν γὰρ ἀπε-
φήναντο ἀναμεῖναι τὴν πόλιν τὰς ἑλληνικὰς πρεσβείας,
Δημοσθένης δὲ οὐ λόγῳ μόνον κεκώλυκε περιμεῖναι, ὁ
πάντων αἴσχιστα καὶ τάχιστα μεταθέμενος, ἀλλ᾽ ἔργῳ καὶ
ψηφίσματι προστάξας ἤδη βουλεύσασθαι· εἴρηκε δὲ ὡς
ἐν τῇ προτέρᾳ τῶν ἐκκλησιῶν δημηγορήσαντος Φιλοκρά-
τους, ὕστερον ἀναβὰς ἐγὼ κατεμεμψάμην ἣν εἰσηγεῖ-
το ἐκεῖνος εἰρήνην, αἰσχρὰν καὶ τῆς πόλεως ἀναξίαν εἶ-
ναι φάσκων· τῇ δ᾽ ὑστεραίᾳ πάλιν ἡμέρᾳ ὡς συναγο-

ρεύοιμι

ρεύοιμι τῷ Φιλοκράτει, καὶ τὴν ἐκκλησίαν διημερεύσας ᾠχόμην φέρων, πείθων ὑμᾶς μὴ προσέχειν τοῖς τὰς μάχας καὶ τὰ τῶν προγόνων λέγουσι τρόπαια, μηδὲ τοῖς Ἕλλησι βοηθεῖν· ὅτι δ' οὐ ψευδῆ μόνον κατηγόρηκεν, ἀλλὰ καὶ ἀδύνατα γενέσθαι, μίαν μὲν αὐτὸς καθ' αὑτοῦ Δημοσθένης μαρτυρίαν μαρτυρήσει· ἑτέραν δὲ πάντες Ἀθηναῖοι, καὶ ὑμεῖς ἀναμιμνησκόμενοι· τρίτην δὲ, ἡ τῆς αἰτίας ἀπιθανότης· τετάρτην δὲ, ἀνὴρ ἀξιόλογος, εἷς τῶν πολιτευομένων, Ἀμύντωρ, ᾧ τὸ ψήφισμα ἐπεδείξατο Δημοσθένης, καὶ ἀνεκοινοῦτο, εἰ δῷ τῷ γραμματεῖ, οὐχ ὑπεναντίον, ἀλλὰ ταὐτὸν γεγραφὼς Φιλοκράτει· καί μοι λαβὲ τὸ ψήφισμα καὶ ἀνάγνωθι τὸ Δημοσθένους, ἐν ᾧ φαίνεται γεγραφὼς, τῇ μὲν προτέρᾳ τῶν ἐκκλησιῶν συμβουλεύειν τὸν βουλόμενον, τῇ δ' ὑστεραίᾳ τοὺς προέδρους ἐπιψηφίζειν τὰς γνώμας, λόγον δὲ μὴ προτιθέναι, ἐν ᾗ με φησὶν αὐτὸς Φιλοκράτει συνειπεῖν.

Ψήφισμα Δημοσθένους. Οὐκοῦν τὰ μὲν ψηφίσματα ὡς ἐξ ἀρχῆς ἐγράφη, μένει, οἱ δὲ τῶν συκοφαντῶν λόγοι πρὸς τοὺς ἐφ' ἡμέραν καιροὺς λέγονται. ποιεῖ δέ μοι τὴν δημηγορίαν ὁ μὲν κατήγορος διαιρετὴν, τὸ ψήφισμα δὲ καὶ τὸ πλῆθος μίαν· λόγων γὰρ μὴ προτεθέντων εἰς τὴν ὑστέραν ἐκκλησίαν, τῶν δὲ προέδρων κωλυόντων, οὐκ ἦν εἰπεῖν. Τί δὲ καὶ βουλόμενος, εἴπερ ταὐτὰ Φιλοκράτει προῃρούμην, κατηγόρουν μὲν πρὸς τοὺς αὐτοὺς ἀκροατὰς τῇ προτεραίᾳ, μίαν δὲ νύκτα διαλιπὼν συνηγόρουν; Πότερα ὡς αὐτὸς εὐδοξήσων, ἢ ὡς ἐκείνοις ὠφελήσων; ἀλλ' οὐκ ἦν ἀμφότερα ἐξενέγκασθαι, ἀλλ' ὑπὸ πάντων μὲν μισεῖσθαι, περαίνειν δὲ μηδέν· κάλει δέ μοι καὶ Ἀμύντορα Ἐρχιέα, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι. ὃν δὲ τρόπον γέγραπται, προδιελθεῖν ὑμῖν βούλομαι. Μαρτυρεῖ Ἀμύντωρ Αἰσχίνῃ, ὅτε ἐβουλεύετο ὁ δῆμος περὶ τῆς συμμαχίας τῆς πρὸς Φίλιππον κατὰ τὸ Δημοσθένους ψήφισμα ἐν τῇ ὑστεραίᾳ τῶν δυοῖν ἐκκλησιῶν, ὅτε οὐκ ἐξῆν δημηγορεῖν, ἀλλὰ τὰ περὶ τῆς εἰρήνης καὶ συμμαχίας ψηφίσματα ἐπεψηφίζετο, ἐν ταύτῃ τῇ ἐκκλησίᾳ Δημοσθένην ἐπιδείξασθαι παρακαθήμενον ψήφισμα γεγραμμένον ἑαυτῷ, ἐφ' ᾧ ἐπεγέγραπτο Δημοσθένους ὄνομα, καὶ ἀνακοινοῦσθαι αὐτὸν αὐτῷ, εἰ δῷ τῷ γραμματεῖ, ἐπιψηφίσασθαι τοῖς προέδροις, ἐφ' οἷς τὴν εἰρήνην καὶ τὴν συμμαχίαν ἔγραψε ποιεῖσθαι ἐπὶ τοῖς αὐτοῖς, ἐφ' οἷς περ καὶ Φιλοκράτης ἐγεγράφει·

σει· καλεῖ δέ μοι Ἀμύντορα Ἐρχιέα, καὶ ἐκκλητεύετε, ἐὰν μὴ θέλῃ δεῦρο παρεῖναι. Μαρτυρία Ἀμύντορος. Τῆς μὲν μαρτυρίας ἀκηκόατε, ὦ ἄνδρες· σκοπεῖτε δὴ πότερα ὑμῖν δοκεῖ Δημοσθένης ἐμοῦ κατηγορηκέναι, ἢ τοὐναντίον αὐτὸς ἑαυτοῦ ἐπὶ τῷ ἐμῷ ὀνόματι. ἐπειδὴ δὲ καὶ τὴν δημηγορίαν με διαβάλλει, καὶ τοὺς εἰρημένους λόγους ἐπὶ τὰ χείρω διεξέρχεται, οὔτ' ἂν ἀποδραίην, οὔτ' ἂν τῶν τότ' εἰρημένων οὐδὲν ἀρνησαίμην, οὔτ' αἰσχύνομαι ἐπ' αὐτοῖς, ἀλλὰ καὶ μᾶλλον φιλοτιμοῦμαι· βούλομαι δ' ὑμᾶς καὶ τοὺς καιροὺς ὑπομνῆσαι ἐν οἷς ἐβουλεύεσθε. Τὴν μὲν γὰρ ἀρχὴν ἐποιησάμεθα τοῦ πολέμου ὑπὲρ Ἀμφιπόλεως· συνέβαινε δ' ἡμῶν τὸν στρατηγὸν ἐν τῷ πολέμῳ μὲν ἑβδομήκοντα καὶ πέντε πόλεις συμμαχίδας ἀποβεβληκέναι, ἃς ἐκτήσατο Τιμόθεος ὁ Κόνωνος, καὶ κατέστησεν εἰς τὸ συνέδριον· (προῄρημαι γὰρ παρρησιάσασθαι, καὶ ἐλευθέρως ἅμα καὶ τἀληθῆ εἰπὼν σώζεσθαι· ἐὰν δὲ ἄλλως πως γινώσκητε,* καταχρήσασθαί μοι· οὐ γὰρ ἂν ὑποστειλαίμην·) ἑκατὸν δὲ καὶ πεντήκοντα τριήρεις λαβόντα ἐκ τῶν νεωρίων μὴ κατακεκομικέναι (καὶ ταῦτα ὑμῖν ἐν τοῖς ἀγῶσιν ἀεὶ τοῖς Χάρητος οἱ κατήγοροι δεικνύουσι) χίλια δὲ καὶ πεντακόσια τάλαντα οὐκ εἰς στρατιώτας, ἀλλ' εἰς ἡγεμόνων ἀλαζονείας ἀνηλωκέναι· Δηιάρην δὲ καὶ Δηίπυρον καὶ Πολυφόντην, δραπέτας ἀνθρώπους, ἐκ τῆς Ἑλλάδος συνειλεγμένους, καὶ χωρὶς εἰς τοὺς περὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν μισθοφόρους, οἳ τοὺς μὲν ταλαιπώρους νησιώτας καθ' ἕκαστον ἐνιαυτὸν ἑξήκοντα τάλαντα εἰσέπραττον σύνταξιν, κατῆγον δὲ τὰ πλοῖα καὶ τοὺς Ἕλληνας ἐκ τῆς κοινῆς θαλάττης. ἀντὶ δὲ ἀξιώματος καὶ τῆς τῶν Ἑλλήνων ἡγεμονίας ἡ πόλις ἡμῶν Μυοννήσου καὶ τῆς τῶν λῃστῶν δόξης ἀνεπίμπλατο· Φίλιππος δὲ ὁρμηθεὶς ἐκ Μακεδονίας, οὐκ ἔθ' ὑπὲρ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἠγωνίζετο, ἀλλ' ἤδη περὶ Λήμνου καὶ Ἴμβρου καὶ Σκύρου, τῶν ἡμετέρων κτημάτων· ἐξέλιπον δὲ Χερρόνησον ἡμῶν οἱ πολῖται, τὴν οὖσαν ὁμολογουμένως Ἀθηναίων· πλείους δὲ ἐκκλησίας συγκλήτους ἠναγκάζεσθε ἐκκλησιάζειν μετὰ φόβου καὶ θορύβου, ἢ τὰς τεταγμένας ἐκ τῶν νόμων· οὕτω δ' ἦν σφαλερὰ καὶ ἐπικίνδυνα τὰ πράγματα, ὥστε ἠναγκάσθη γράψαι ψήφισμα Κηφισοφῶν ὁ Παιανιεὺς εἷς τῶν φίλων καὶ ἑταίρων τοῦ Χάρητος, ἐκπλεῖν τὴν ταχίστην Ἀντίοχον τὸν ἐπὶ τῶν ὑπηρετικῶν, καὶ ζητεῖν τὸν στρατηγὸν τὸν ἐπὶ τῇ δυνάμει

τεταγ-

τεταγμένον, κἂν ἐντύχῃ τῳ, φράζειν ὅτι θαυμάζει ὁ δῆμος ὁ τῶν ἀθηναίων, εἰ φίλιππος μὲν ἐπὶ Χερρόνησον τὴν ἀθηναίων πορεύεται· ἀθηναῖοι δὲ οὐδὲ τὸν στρατηγὸν ἴσασιν, οὐδὲ τὴν δύναμιν ἣν ἐξέπεμψαν, ὅπου ἐστίν· ὅτι δ' ἀληθῆ λέγω, ἀκούσατε τοῦ ψηφίσματος, καὶ ἀναμνήσθητε τοῦ πολέμου, καὶ τὴν εἰρήνην τοὺς τῶν πολεμίων ἡγεμόνας, ἀλλὰ μὴ τοὺς πρέσβεις ἀπαιτεῖτε· Ψήφισμα δήμου, ὃ Κηφισοφῶν εἶπεν. Οἱ μὲν καιροὶ τῆς πόλεως τοιοῦτοι ἦσαν, ἐν οἷς οἱ περὶ τῆς εἰρήνης ἐγένοντο λόγοι· ἀναστάντες δὲ οἱ συντεταγμένοι ῥήτορες, περὶ μὲν τῆς σωτηρίας τῆς πόλεως οὐδὲν ἐνεχείρουν λέγειν· ἀποβλέπειν δὲ εἰς τὰ προπύλαια τῆς ἀκροπόλεως ἐκέλευον ἡμᾶς, καὶ τῆς ἐν Σαλαμῖνι πρὸς τὸν Πέρσην ναυμαχίας μεμνῆσθαι, καὶ τῶν τάφων καὶ τῶν προγόνων καὶ τῶν τροπαίων· ἐγὼ δὲ ἁπάντων μὲν τούτων ἔφην δεῖν μεμνῆσθαι, μιμεῖσθαι μέντοι τὰς τῶν προγόνων εὐβουλίας, τὰ δὲ ἁμαρτήματα αὐτῶν καὶ τὴν ἄκαιρον φιλονεικίαν φυλάττεσθαι· τὴν μὲν ἐν Πλαταιαῖς πρὸς τοὺς Πέρσας πεζομαχίαν, καὶ τοὺς ἀγῶνας τοὺς περὶ Σαλαμῖνα, καὶ τὴν ἐν Μαραθῶνι μάχην, καὶ τὴν ἐπ' Ἀρτεμισίῳ ναυμαχίαν, καὶ τὴν Τολμίδου ζηλοῦν στρατηγίαν κελεύων, ὃς χιλίους ἐπιλέκτους ἔχων ἀθηναίων διὰ μέσης Πελοποννήσου πολεμίας οὔσης ἀδεῶς διεξῄει· τὴν δ' εἰς Σικελίαν στρατείαν φυλάττεσθαι, ἣν ἐξέπεμψαν Λεοντίνοις βοηθήσοντες, τῶν πολεμίων ἐμβεβληκότων εἰς τὴν χώραν ἡμῶν, καὶ Δεκελείας ἐπιτετειχισμένης· καὶ τὴν τελευταίαν ἀβουλίαν φυλάξασθαι, ὅτε ἡττημένοι τῷ πολέμῳ, προκαλουμένων αὐτοὺς Λακεδαιμονίων εἰρήνην ἄγειν, ἔχοντας πρὸς τῇ Ἀττικῇ Λῆμνον καὶ Ἴμβρον καὶ Σκῦρον, καὶ δημοκρατουμένους κατὰ τοὺς νόμους, τούτων μὲν οὐδὲν ἤθελον ποιεῖν, πολεμεῖν δὲ προῃροῦντο οὐ δυνάμενοι· Κλεοφῶν δὲ ὁ λυροποιὸς (ὃν πολλοὶ δεδεμένον ἐν πέδαις ἐμνημόνευον) παρεγγραφεὶς αἰσχρῶς πολίτης, καὶ διεφθαρκὼς νομῇ χρημάτων τὸν δῆμον, ἀποκόψειν ἠπείλει μαχαίρᾳ τὸν τράχηλον, εἴ τις εἰρήνης μνησθήσεται· τελευτῶντες δὲ εἰς τοῦτο τὴν πόλιν προήγαγον, ὥστε ἀγαπητῶς τὴν εἰρήνην ποιήσασθαι, ἀποστάντας πάντων, καὶ τὰ τείχη καθελόντας, καὶ διαδεξαμένους φρουρὰν, καὶ Λακεδαιμόνιον ἁρμοστὴν, καὶ τὴν δημοκρατίαν τοῖς τριάκοντα ἀφέντας, οἳ χιλίους καὶ πεντακοσίους τῶν πολιτῶν ἀκρίτως ἀπέκτειναν· τὴν μὲν τοιαύτην ἀβουλίαν ὁμολογῶ παραγ-

παραγγέλλειν φυλάττεσθαι, τὰ δ' ὀλίγῳ πρότερον εἰρημένα μιμεῖσθαι. οὐ γὰρ παρὰ τῶν ἀλλοτρίων, ἀλλὰ παρὰ τῶν πάντων οἰκειοτάτων ταῦτα ἐπυνθανόμην. Ἀτρόμητος γὰρ πατὴρ ὁ ἡμέτερος (ὃν σὺ λοιδορεῖς, οὔτ' εἰδὼς οὔτ' ἐπιδὼν τῆς ἑαυτοῦ ἡλικίας ὅς τις ἦν, καὶ ταῦτα, ὦ Δημόσθενες, ἐκ τῶν νομάδων Σκυθῶν τὸ πρὸς μητρὸς γεγονὼς ὢν) ἔφυγε μὲν ἐπὶ τῶν τριάκοντα, συγκατήγαγε δὲ τὸν δῆμον. Καὶ ὁ τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφὸς, θεῖος δὲ ἡμέτερος, Κλεόβουλος ὁ Γλαύκου τοῦ Ἀχαρνέως υἱὸς, μετὰ Δημαινέτου τοῦ Βουζύγου, συγκατεναυμάχησε Χίλωνα τὸν Λακεδαιμονίων ναύαρχον· ὥστε οἰκεῖά μοι καὶ συνήθη τὰ τῆς πόλεως ἀτυχήματα εἶναι τοῖς ὠσὶν ἀκούειν. ἐπιτιμᾷς δέ μοι καὶ τὴν ἐν τοῖς μυρίοις ἐν Ἀρκαδίᾳ δημηγορίαν καὶ πρεσβείαν, καὶ μεταβεβλῆσθαί με φὴς, αὐτὸς ὢν ἀνδραποδώδης, καὶ μόνον οὐκ ἐστιγμένος αὐτόμολος· ἐγὼ δ' ἐν μὲν τῷ πολέμῳ συνίστην, καθ' ὅσον ἦν δυνατὸν, Ἀρκάδας καὶ τοὺς ἄλλους Ἕλληνας ἐπὶ Φίλιππον, οὐδενὸς δ' ἀνθρώπου ἐπικουροῦντος τῇ πόλει, ἀλλὰ τῶν μὲν περιορώντων ὅ,τι συμβήσεται, τῶν δὲ συνεπιστρατευόντων, τῶν δ' ἐν τῇ πόλει ῥητόρων χορηγὸν ταῖς καθ' ἡμέραν δαπάναις τὸν πόλεμον ποιουμένων· ὁμολογῶ συμβουλεῦσαι τῷ δήμῳ διαλύσασθαι πρὸς Φίλιππον, καὶ τὴν εἰρήνην συνθέσθαι, ἣν σὺ νῦν αἰσχρὰν νομίζεις, οὐδεπώποθ' ἁψάμενος ὅπλων· ἐγὼ δὲ ταύτην εἶναι πολλῷ φημὶ καλλίω τοῦ πολέμου. Χρὴ δὲ, ὦ Ἀθηναῖοι, τοὺς μὲν πρέσβεις θεωρεῖν πρὸς τὸν καιρὸν καθ' ὃν ἐπρέσβευον, τοὺς δὲ στρατηγοὺς πρὸς τὰς δυνάμεις ὧν ἡγοῦντο· καὶ γὰρ τὰς εἰκόνας ἱστάτε, καὶ τὰς προεδρίας καὶ τοὺς στεφάνους καὶ τὰς ἐν τῷ πρυτανείῳ σιτήσεις δίδοτε, οὐ τοῖς τὴν εἰρήνην ἀπαγγείλασιν, ἀλλὰ τοῖς τὴν μάχην νικήσασιν· εἰ δ' ἔσονται τῶν πολέμων αἱ μὲν αἰτίαι τῶν πρέσβεων, αἱ δὲ δωρεαὶ τῶν στρατηγῶν, ἀσπόνδους καὶ ἀκηρύκτους τοὺς πολέμους ποιήσετε· οὐδεὶς γὰρ θελήσει πρεσβεύειν.

Περὶ δὲ Κερσοβλέπτου καὶ Φωκέων, καὶ τῶν ἄλλων ἃ πρὸς τούτοις διαβέβλημαι ὑπόλοιπον εἰπεῖν· ἐγὼ γὰρ, ὦ Ἀθηναῖοι, καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν τῇ ὑστέρᾳ πρεσβείᾳ, ἃ μὲν εἶδον, ὡς εἶδον, ὑμῖν ἀπήγγειλα, ἃ δ' ἤκουον, ὡς ἤκουσα. Τίνα οὖν ἦν ἑκάτερα τούτων ἅ τε εἶδον, ἅ τε ἤκουσα περὶ Κερσοβλέπτου; Εἶδον μὲν ἐγὼ καὶ οἱ συμπρέσβεις ἅπαντες ὁμηρεύοντα τὸν υἱὸν τὸν Κερσοβλέπτου

παρὰ

παρὰ Φιλίππου· καὶ ὅτι ταῦθ' οὕτως ἔχει· Συνέβαινε δ' ὅτε τὴν προτέραν ἐπρεσβεύομεν πρεσβείαν, ἐμοὶ μὲν μετὰ τῶν συμπρέσβεων ἀπιέναι δεῦρο, Φίλιππον δ' ἐπὶ Θρᾴκην ἐξιέναι· πρὸς δ' ἡμᾶς ὡμολογηκέναι, ἕως ἂν ὑμεῖς περὶ τῆς εἰρήνης βουλεύησθε, μὴ ἐπιβήσεσθαι μεθ' ὅπλων Χεῤῥονήσου· ἐν ἐκείνῃ μὲν οὖν τῇ ἡμέρᾳ ᾗ ὑμεῖς ἐψηφίσασθε τὴν εἰρήνην, οὐδεμία μνεία ἐγένετο περὶ Κερσοβλέπτου· ἤδη δὲ ἡμῶν κεχειροτονημένων ἐπὶ τοὺς ὅρκους, οὔπω δὲ ἀπηρκότων ἐπὶ τὴν ὑστέραν πρεσβείαν, ἐκκλησία γίνεται, ἐν ᾗ Δημοσθένης ὁ νυνὶ κατηγορῶν ἐμοῦ λαγχάνει προεδρεύειν· ἐν δὲ ταύτῃ τῇ ἐκκλησίᾳ Κριτόβουλος ὁ Λαμψακηνὸς εἶπε παρελθὼν, ὅτι πέμψειε μὲν αὐτὸν Κερσοβλέπτης, ἀξιοῖ δὲ ἀποδοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου πρέσβεσι, καὶ συναναγραφῆναι Κερτοβλέπτην ἐν τοῖς ὑμετέροις συμμάχοις· ῥηθέντων δὲ τῶν λόγων τούτων, Ἀλεξίμαχος ὁ Πήληξ δίδωσιν ἀναγνῶναι ψήφισμα τοῖς προέδροις, ἐν ᾧ ἐγέγραπτο ἀποδοῦναι τοὺς ὅρκους Φιλίππῳ μετὰ τῶν ἄλλων συμμάχων τὸν ἥκοντα παρὰ Κερσοβλέπτου· ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος (καὶ ταῦτα οἶμαι πάντας ὑμᾶς μνημονεύειν) ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης, οὐκ ἔφη τὸ ψήφισμα ἐπιψηφιεῖν, οὐδὲ λύσειν τὴν πρὸς Φίλιππον εἰρήνην, οὐδὲ γινώσκειν τῶν συμμάχων τοὺς συνεφαπτομένους, ὥσπερ ἐν τοῖς σπένδουσι τῶν ἱερῶν· ἀποδεδόσθαι γὰρ περὶ τούτων ἑτέραν ἐκκλησίαν· βοώντων δὲ ὑμῶν, καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα καλούντων, οὕτως ἄκοντος αὐτοῦ τὸ ψήφισμα ἐπεψηφίσθη· ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τὸν γράψαντα τὸ ψήφισμα Ἀλεξίμαχον, καὶ τοὺς συμπροέδρους Δημοσθένους, καὶ τὴν μαρτυρίαν ἀνάγνωθι.

Μαρτυρία τῶν Δημοσθένους συμπροέδρων.

Ὁ μὲν τοίνυν ἐπιδακρύσας ἀρτίως ἐνταυθοῖ Δημοσθένης, μνησθεὶς Κερσοβλέπτου, φαίνεται τῆς συμμαχίας ἐκκλείων αὐτόν. ὡς δ' ἡ παροῦσα ἐκκλησία διελύθη, ἐξώρκιζον τοὺς συμμάχους οἱ τοῦ Φιλίππου πρέσβεις ἐν τῷ στρατηγίῳ τῷ ὑμετέρῳ· τετόλμηκε δὲ πρὸς ὑμᾶς εἰπεῖν ὁ κατήγορος, ὡς ἀπὸ τῶν ἱερῶν ἐγὼ Κριτόβουλον ἀπήλασα τὸν πρεσβευτὴν τὸν παρὰ Κερτοβλέπτου, παρόντων μὲν τῶν συμμάχων, ἐψηφισμένου δὲ τοῦ δήμου, παρακαθημένων δὲ τῶν στρατηγῶν· ὅθεν τοσαύτην ῥώμην λαβὼν, ἢ πῶς ἂν τὸ πρᾶγμα ἐσιγήθη;

Εἰ δ' ἄρα ἐγὼ ἐτόλμων τοῦτο ποιεῖν, ἐπέτρεψας

ἄν,

ἄν, ὦ Δημόσθενες; καὶ οὐκ ἐνέπλησας βοῆς καὶ κραυγῆς τὴν ἀγορὰν, ὁρῶν με (ὡς ἔφης ἀρτίως) ὠθοῦντα ὑπὸ τῶν ἱερῶν τὸν πρεσβύτην; καλείτω δέ μοι τοὺς στρατηγοὺς ὁ κήρυξ καὶ τοὺς συνέδρους τῶν συμμάχων, καὶ τὰς μαρτυρίας αὐτῶν ἀκούσατε. Μαρτυρίαι. Οὐκοῦν δεινὸν, ὦ Ἀθηναῖοι, εἴ τις κατ' ἀνδρὸς πολίτου, οὐχ ἑαυτοῦ, ἀλλ' ὑμετέρου (τοῦτο γὰρ προσδιορθοῦμαι) τολμήσει τηλικαῦτα καταψεύδεσθαι, κινδυνεύοντος ὑπὲρ τοῦ σώματος; ἢ πῶς οὐκ εἰκότως οἱ πατέρες ἡμῶν ἐν ταῖς φονικαῖς δίκαις ἐπὶ Παλλαδίῳ κατέδειξαν, τέμνοντες τὰ τόμια, τοὺς νικῶντας τῇ ψήφῳ ἐξορκίζεσθαι (καὶ τοῦτο ὑμῖν πάτριόν ἐστιν ἔτι καὶ νῦν) τἀληθῆ καὶ τὰ δίκαια ψηφίζεσθαι τῶν δικαστῶν, ὅσοι τὴν ψῆφον ἤνεγκαν αὐτῷ, καὶ ψεῦδος μηδὲν εἰρηκέναι· εἰ δὲ μή, ἐξώλητε αὐτὸν εἶναι ἐπαρᾶσθαι καὶ τὴν οἰκίαν τὴν αὐτοῦ, τοῖς δὲ δικασταῖς εὔχεσθαι πολλὰ καὶ ἀγαθὰ εἶναι· καὶ μάλα ὀρθῶς καὶ πολιτικῶς, ὦ Ἀθηναῖοι· εἰ γὰρ μηδεὶς ἂν ὑμῶν ἑαυτὸν ἀναπλῆσαι φόνου δικαίου βούλοιτο, ἤ που ἀδίκου γε φυλάξαιτ' ἂν, τὴν ψυχὴν, ἢ τὴν οὐσίαν, ἢ τὴν ἐπιτιμίαν τινὸς ἀφελόμενος· ἐξ ὧν αὐτοὺς ἀνῄρηκασί τινες, οἱ δὲ καὶ δημοσίᾳ ἐτελεύτησαν· ἆρ' οὖν, ὦ Ἀθηναῖοι, δοίητ' ἄν μοι συγγνώμην, Κίναιδον αὐτὸν προσειπόντι καὶ μὴ καθαρεύοντα τῷ σώματι, μηδ' ὅθεν τὴν φωνὴν ἀφίησι; ἔπειτα τὸ λοιπὸν μέρος τοῦ κατηγορήματος τοῦ περὶ Κερσοβλέπτην ἐπ' αὐτοφώρῳ δείξαιμι ψεῦδος ὄν; κάλλιστον γὰρ (οἶμαι) πρᾶγμα καὶ χρησιμώτατον τοῖς διαβαλλομένοις παρ' ὑμῖν γίνεται· καὶ γὰρ τοὺς χρόνους καὶ τὰ ψηφίσματα καὶ τοὺς ἐπιψηφίσαντας ἐν τοῖς δημοσίοις γράμμασι τὸν ἅπαντα χρόνον φυλάττετε· εἴρηκε δὲ οὑτοσὶ πρὸς ὑμᾶς παρὰ τοῦτο διαφθαρῆναι τὰ Κερσοβλέπτου πράγματα, ὅτι τῆς πρεσβείας ὢν ἡγεμὼν ἐγὼ, καὶ κατευημερηκὼς παρ' ὑμῖν, αὐτοῦ κελεύοντος εἰς Θρᾴκην ἡμᾶς ἰέναι, Κερσοβλέπτου πολιορκουμένου, καὶ διαμαρτύρεσθαι Φιλίππῳ, ταῦτα μὴ ποιεῖν οὐκ ἠθέλησα, ἀλλ' ἐκαθήμην ἐν Ὠρεῷ καὶ οἱ συμπρέσβεις, προξενίας κατασκευαζόμενοι. ἀκούσατε δὴ τῆς Χάρητος ἐπιστολῆς, ἣν ἐπέστειλε τότε τῷ δήμῳ, ὅτι Κερσοβλέπτης ἀπολώλεκε τὴν ἀρχὴν, καὶ τὸ ἱερὸν ὄρος κατείληφε Φίλιππος, Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ φθίνοντος. Δημοσθένης δ' ἐν τῷ δήμῳ προηδρευε τούτου τοῦ μηνὸς, εἷς ὢν τῶν πρέσβεων, ἑβδόμῃ φθίνοντος. Ἐπιστολή.

Οὐ

Οὐ μόνον τοίνυν διετρίψαμεν τὰς λοιπὰς ἡμέρας τοῦ μηνὸς, ἀλλὰ μουνυχιῶνος ἐξωρμήσαμεν, καὶ τούτου τὴν βουλὴν μάρτυρα ὑμῖν παρέξομαι. ἔστι γὰρ αὐτοῦ ψήφισμα, ὃ κελεύει ἀπιέναι τοὺς πρέσβεις ἐπὶ τοὺς ὅρκους· καί μοι λέγε τὸ τῆς βουλῆς ψήφισμα. Ψήφισμα. Προσαναγνώσεται δὲ καὶ τὸν χρόνον ὅστις ἦν.

Χρόνος. Ἀκούετε ὅτι μουνυχιῶνος ἐψηφίσθη τρίτῃ ἱσταμένου; ὁ δὲ Κερσοβλέπτης πόσαις πρότερον ἡμέραις ἀπώλεσε τὴν ἀρχὴν, πρὶν ἐμὲ ἀπιέναι, ὥς φησι Χάρης ὁ στρατηγὸς, καὶ ἐπιστολὴ τοῦ προτέρου μηνὸς, ὅπερ ἐλαφηβολιὼν ἐστι μουνυχιῶνος πρότερος. ἐδυνάμην ἂν ἐγὼ σῶσαι Κερσοβλέπτην, ὃς πρὶν ἐμὲ ἐξορμᾶν οἴκοθεν, ἀπωλώλει; ἔπειτα οἴεσθέ τι τούτων ἀληθὲς εἰρηκέναι, ἢ περὶ τῶν ἐν Μακεδονίᾳ πραχθέντων, ἢ περὶ τῶν ἐν Θετταλίᾳ, ὃς τοῦ βουλευτηρίου καὶ τῶν δημοσίων γραμμάτων καὶ τοῦ χρόνου καὶ τῶν ἐκκλησιῶν καταψεύδεται; καὶ τὸν Κερσοβλέπτην Ἀθήνησι μὲν ἔκσπονδον ἐποίεις, πρόεδρος ὢν, ἐν Ὠρεῷ δ' ἠλέεις, καὶ νῦν μὲν δωροδοκίας κατηγορεῖς, πρότερον δ' ὑπέμεινας τὴν ἐπιβολὴν τῆς βουλῆς τῆς ἐξ Ἀρείου πάγου, οὐδ' ἐπεξιὼν τῇ τοῦ τραύματος γραφῇ, ἣν ἐγράψω Δημομέλην τὸν Παιανιέα ἀνεψιὸν ὄντα, ἐπιτεμὼν τὴν σαυτοῦ κεφαλήν· καὶ σεμνολογεῖς ἡμῖν, ὡς οὐκ εἰδόσι τούτοις, ὅτι Δημοσθένους υἱὸς εἶ νόθος τοῦ μαχαιροποιοῦ; ἐπεχείρησας δ' εἰπεῖν, ὡς καὶ τὴν ἐπὶ τοὺς Ἀμφικτύονας πρεσβείαν ἐξομοσάμενος παραπρεσβεύσαιμι, καὶ ψήφισμα τὸ μὲν ἀνέγνως, τὸ δὲ ὑπερέβης· ἐγὼ δ' αἱρεθεὶς πρεσβευτὴς ἐπὶ τοὺς Ἀμφικτύονας, ἀρρώστως δ' ἔχων, καὶ μετὰ πολλῆς προθυμίας ἀπαγγέλλων ἀφ' ἧς ἧκον πρεσβείας πρὸς ὑμᾶς, τὴν μὲν πρεσβείαν οὐκ ἐξωμοσάμην, ἀλλ' ὑπεσχόμην πρεσβεύσειν, ἐὰν ὦ δυνατός· πρὸς δὲ τὴν βουλὴν ἀπιόντων τῶν συμπρέσβεων, τὸν ἀδελφὸν τὸν ἐμαυτοῦ καὶ τὸν ἀδελφιδοῦν, καὶ τὸν ἰατρὸν ἔπεμψα, οὐκ ἐξομουμένους ἐμὲ (οὐδὲ γὰρ ὁ νόμος ἐᾷ τὰς ἐκ τοῦ δήμου χειροτονίας ἐν τῇ βουλῇ ἐξόμνυσθαι) ἀλλὰ τὴν ἀρρωστίαν μου δηλώσοντας· ἐπεὶ δὲ οἱ συμπρέσβεις πυθόμενοι τὰ περὶ τοὺς Φωκέας συμβάντα, ἀνέστρεψαν, γενομένης ἐκκλησίας, ἤδη παρὼν καὶ δυνάμενος τῷ σώματι, προσαναγκάζοντος τοῦ δήμου μηδὲν ἧττον πρεσβεύειν ἡμᾶς τοὺς ἐξ ἀρχῆς αἱρεθέντας ἅπαντας, ἀψευδεῖν πρὸς Ἀθηναίους ᾤμην δεῖν· καὶ ταύτης τῆς πρεσβείας οὐ κατηγορεῖς, μα

διδόσ-

διδόντος τὰς Ἀθήνας, ἀλλ' ἐπὶ ταύτην τὴν πρεσβείαν ἥκειν τὴν ἐπὶ τοὺς ὅρκους, ὑπὲρ ἧς ἐγὼ σαφῶς καὶ δικαίως ἀπολογήσομαι· σοὶ μὲν γὰρ ἁρμόττει καὶ πᾶσι τοῖς ψευδομένοις μεταφέρειν τοὺς χρόνους, ἐμοὶ δ' ἐφεξῆς λέγειν, ἀναλαβόντι τὴν ἀρχὴν τοῦ λόγου ἀπὸ τῆς πορείας τῆς ἐπὶ τοὺς ὅρκους καὶ τῆς πρεσβείας· πρῶτον μὲν γὰρ δέκα πρέσβεων ὄντων, ἑνδεκάτου δὲ τοῦ συμπεμφθέντος ἡμῖν ὑπὸ τῶν συμμάχων, οὐδεὶς αὐτῷ συσσιτεῖν, ὅτ' ἐξῄειμεν ἐπὶ τὴν ὑστέραν πρεσβείαν, ἤθελεν· οὔτε ἐν ταῖς ὁδοῖς, ὅπου δυνατὸν ἦν, εἰς ταυτὸ πανδοκεῖον καταλύειν, ὁρῶντες αὐτὸν ἐν τῇ προτέρᾳ πρεσβείᾳ πᾶσιν αὐτοῖς ἐπιβεβουλευκότα· περὶ μὲν οὖν τῆς ἐπὶ Θρᾴκης ὁδοῦ οὐκ ἐγίγνετο μνεία· οὐδὲ γὰρ τὸ ψήφισμα τοῦθ' ἡμῖν προσέταττεν, ἀλλ' ἀπολαβεῖν μόνον τοὺς ὅρκους, καὶ ἄλλ' ἄττα· οὔτε ἐλθόντας πράττειν οὐδὲν ἐνεδέχετο, περὶ Κερσοβλέπτην ἤδη γεγενημένων, ὡς ἀρτίως ἠκούσατε· οὐδ' οὗτος οὐδὲν ἀληθὲς εἶπεν, ἀλλὰ ψεύδεται, καὶ κατηγορεῖν οὐδὲν ἀληθὲς ἔχων, τερατεύεται· συνηκολούθουν δ' αὐτῷ ἄνθρωποι δύο στρωματόδεσμα φέροντες· ἐν δὲ τῷ ἑτέρῳ τούτων (ὡς αὐτὸς ἔφη) τάλαντον ἐνῆν ἀργυρίου· ὥστε τοὺς συμπρέσβεις ἀναμιμνῄσκεσθαι τὰς ἀρχαίας ἐπωνυμίας αὐτοῦ. ἐν παισὶ μὲν γὰρ ὢν ἐκλήθη δι' αἰσχρουργίαν τινὰ ἢ κιναιδίαν, Βάταλος· ἐκ παίδων δὲ ἀπαλλαττόμενος, καὶ δεκαταλάντους δίκας κατὰ τῶν ἐπιτρόπων λαγχάνων, Ἀργᾶς ἐκλήθη· ἀνὴρ δὲ γενόμενος, προσείληφε τὴν τῶν πονηρῶν κοινὴν ἐπωνυμίαν, συκοφάντης· ἐπορεύετο δὲ λυσόμενος τοὺς αἰχμαλώτους, ὡς ἔφη, καὶ πρὸς ὑμᾶς ἀρτίως εἴρηκεν· εἰδὼς μὲν φίλιππον ἐν τῷ πολέμῳ οὐδένα πώποτε Ἀθηναίων λύτρα πραξάμενον, ἀκούων δὲ τῶν ἐκείνου φίλων ἁπάντων, ὅτι καὶ τοὺς λοιποὺς, ἐὰν εἰρήνη γένηται, ἀφήσει· πολλῶν δ' ἠτυχηκότων, τάλαντον φέρων, ἑνὸς ἀνδρὸς, οὐδὲ τούτου λίαν εὐπόρου, ἱκανὰ λύτρα· ὡς δ' ἦμεν ἐν Μακεδονίᾳ, καὶ συνήλθομεν εἰς ταυτὸν, καὶ φίλιππον ἐκ Θρᾴκης παρόντα κατειλήφειμεν, ἀνεγνώσθη μὲν τὸ ψήφισμα, καθ' ὃ ἐπρεσβεύσαμεν, καὶ τὰ προσεπιτεταγμένα ἡμῖν πρὸς τῷ τοὺς ὅρκους ἀπολαβεῖν συνηριθμούμεθα· ὡς δὲ οὐδεὶς ὑπὲρ τῶν μεγίστων ἐμέμνητο, ἀλλὰ περὶ πραγμάτων ἐλαττόνων τὴν διατριβὴν ἐποιοῦντο, εἶπον ἐγὼ λόγους, οὓς ἀναγκαῖόν ἐστι πρὸς ὑμᾶς ῥηθῆναι· καὶ πρὸς τῶν θεῶν, ὦ Ἀθηναῖοι, ὥσπερ καὶ τῆς κατηγορίας ἠκούσα-

τε, ὡς αὐτὸς ὁ κατήγορος ἐβούλετο εἰπεῖν, οὕτω καὶ τῆς ἀπολογίας ἀταράκτως ἀκούσατε, καὶ τὸν αὐτόν μοι τρόπον διαμείνατε, ὅνπερ ἐξ ἀρχῆς ἐν τοῖς προειρημένοις ἤδη λόγοις ἠκροᾶσθε. ὅπερ γὰρ καὶ ἀρτίως ὑπεθέμην, ὦ Ἀθηναῖοι, εἶπον συνειλεγμένων τῶν πρέσβεων, ὅτι μοι δοκοίης ἂν τὸ μέγιστον πρόσταγμα τοῦ δήμου δεινῶς ἀγνοεῖν. τὸ μὲν γὰρ τοὺς ὅρκους ἀπολαβεῖν, καὶ περὶ τῶν ἄλλων διαλεχθῆναι, καὶ περὶ τῶν αἰχμαλώτων εἰπεῖν, κἂν εἰ τοὺς ὑπηρέτας ἔπεμψεν ἡ πόλις, πεισθεῖσα πίστιν αὐτοῖς, ἅπαντ' ἂν πραχθῆναι νομίζω· τὸ δὲ ὑπὲρ τῶν ὅλων ὀρθῶς βουλεύσασθαι, ὅσα καθ' ὑμᾶς ἐστιν ἢ Φίλιππον, τοῦτο ἤδη ἔργον ἐστὶν πρέσβεων φρονίμων. λέγω δὲ (ἔφην ἐγὼ) περὶ τῆς εἰς Πύλας στρατείας, ἣν ὁρᾶτε οὖσαν ἐν παρασκευῇ· ὅτι δὲ οὐ κακῶς στοχάζομαι περὶ τοῦ πράγματος, μεγάλα τούτων ὑμῖν σημεῖα δείξω· πάρεισι μὲν γὰρ Θηβαίων, ἥκουσι δὲ Λακεδαιμονίων πρέσβεις· ἀφίγμεθα δ' ἡμεῖς ἔχοντες τοῦ δήμου ψήφισμα, ἐν ᾧ γέγραπται, πράττειν δὲ τοὺς πρέσβεις, καὶ ἄλλο ὅ,τι ἂν δύνωνται ἀγαθόν· ἅπαντες δὲ οἱ Ἕλληνες πρὸς τὸ μέλλον ἔσεσθαι βλέπουσιν· εἰ μὲν οὖν ἡγεῖτο ὁ δῆμος αὐτῷ καλῶς ἔχειν ἐξενεγκεῖν μετὰ παρρησίας ἐν τῷ ψηφίσματι πρὸς Φίλιππον, Θηβαίων μὲν περιελεῖν τὴν ὕβριν, Βοιωτῶν δὲ ἀναστῆσαι τὰ τείχη, ταῦτ' ἂν ἠξίωσεν ἐν τῷ ψηφίσματι· νῦν δὲ αὐτοῖς μὲν κατέλιπον τὴν εἰς τὸ ἀφανὲς ἀναφοράν, ἂν μὴ πείθωσιν, ἐν ἡμῖν δὲ ἀποκινδυνεύειν ᾠήθησαν δεῖν· δεῖ δὴ τοὺς πρὸς τὰ κοινὰ φιλοτιμουμένους μὴ κατέχειν μὲν ἑτέρων χώραν πρέσβεων, οὓς ἐξῆν πέμπειν ἀνθ' ἡμῶν Ἀθηναίους, αὐτοὺς δὲ τὰς πρὸς Θηβαίους ἀπεχθείας φεύγειν· ὧν εἷς ὢν Ἐπαμινώνδας στρατηγός, οὐχ ὑποπτήξας τὸ τῶν Ἀθηναίων ἀξίωμα, εἶπε διαρρήδην ἐν τῷ πλήθει τῶν Θηβαίων, ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια μετενεγκεῖν εἰς τὴν προστασίαν τῆς Καδμείας· ταῦτα δέ μου μεταξὺ λέγοντος, ἀναβοᾷ παμμέγεθες Δημοσθένης, ὡς ἴσασι πάντες οἱ συμπρέσβεις ἡμῶν. καὶ γὰρ πρὸς τοῖς ἄλλοις κακοῖς, βοιωτιάζει. ἦν δ' οὖν παρ' αὐτοῦ ταυτὶ λεγόμενα· ἄνθρωπος οὑτοσὶ ταραχῆς καὶ τόλμης ἐστὶ μεστός. ἐγὼ δὲ ὁμολογῶ μαλακὸς εἶναι, καὶ τὰ δεινὰ πόρρωθεν δεδιέναι· ἀπαγορεύω μέν τοι, μὴ συνταράττειν ἡμᾶς πρὸς ἀλλήλας τὰς πόλεις, τὸ μὴ πολυπραγμονεῖν ἡμᾶς τοὺς πρέσβεις μηδέν, τοῦτ' ἀγα-

θὸν ὑπολαμβάνειν εἶναι. προσδεῖται φίλιππος εἰς Πύλας, ἐγὼ δὲ ἐγκαλύπτομαι. οὐδείς με τῶν ὅπλων ἕνεκα τῶν φιλίππου κρινεῖ· ἀλλ' ὧν ἂν εἴπω τι μὴ δέον, ἢ πράξω τι τῶν μὴ προστεταγμένων· πέρας δὲ τοῦ πράγματος, ἐψηφίσαντο οἱ συμπρέσβεις, κατ' ἄνδρα ἐπερωτώμενος ἕκαστος ἡμῶν, ὅ, τι νομίζει συμφέρειν, τοῦτο λέγειν. ὅτι δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς συμπρέσβεις, καὶ τὴν μαρτυρίαν αὐτῶν λέγε·

Μαρτυρία.

Ἐπειδὴ τοίνυν, ὦ ἀθηναῖοι, συνελέγησαν μὲν εἰς Πέλλαν αἱ πρεσβεῖαι, παρῆν δὲ ὁ φίλιππος, καὶ τοὺς ἀθηναίων πρέσβεις ὁ κῆρυξ ἐκάλει, πρῶτον μὲν παρῆμεν, οὐ καθ' ἡλικίαν, ὥσπερ ἐν τῇ προτέρᾳ πρεσβείᾳ (ὃ παρά τισιν εὐδοκίμει καὶ κόσμος εἶναι τῆς πόλεως ἐφαίνετο) ἀλλὰ κατὰ τὴν Δημοσθένους ἀναισχυντίαν· φάσκων γὰρ νεώτατος εἶναι πάντων, τὴν τάξιν τοῦ πρῶτος λέγειν οὐκ ἂν ἔφη παραλιπεῖν, οὐδ' ἐπιτρέψειν τινί, (αἰνιττόμενος εἰς ἐμὲ) προκαταλαβόντα τὰ φιλίππου ὦτα τοῖς ἄλλοις λόγον μὴ καταλιπεῖν. ἀρξάμενος δὲ τοῦ λέγειν, πρῶτον διαβολήν τινα κατὰ τῶν συμπρέσβεων ὑπειπὼν, ὡς οὐχ ἅπαντες ὑπὲρ τῶν αὐτῶν, οὐδ' ὅμοιοι ταῖς δόξαις ἥκομεν, διεξῄει τὰς ὑπηρεσίας τὰς ὑπηργμένας εἰς φίλιππον αὐτῷ, πρώτην μὲν τὴν ἐν τῷ ψηφίσματι τοῦ Φιλοκράτους συνηγορίαν, ὅτε ἔφευγε παρανόμων, ἐξεῖναι γράψας φιλίππῳ, πρέσβεις πρὸς ἀθηναίους ὑπὲρ εἰρήνης πέμπειν· δεύτερον δὲ ὑπανέγνω τὸ ψήφισμα, ὃ γεγραφὼς αὐτὸς ἦν, σπείσασθαι τῷ κήρυκι, καὶ τῇ παρὰ φιλίππου πρεσβείᾳ· τρίτον δὲ τὸ περὶ τοῦ βουλεύσασθαι τὸν δῆμον ὑπὲρ εἰρήνης ἐν τακταῖς ἡμέραις· καὶ προσέθηκέ τι τοιοῦτον ἐνθύμημα τῷ λόγῳ, ὅτι πρῶτος ἐπιστομίσαι τοὺς τὴν εἰρήνην ἐκκλείοντας, οὐ τοῖς λόγοις, ἀλλὰ τοῖς χρόνοις· ἔπειθ' ἕτερον ἐπῆγε ψήφισμα, τὸ καὶ περὶ συμμαχίας βουλεύσασθαι τὸν δῆμον· καὶ μετὰ ταῦτ' ἤδη τὸ περὶ τῆς προεδρίας τῆς εἰς τὰ διονύσια τοῖς πρέσβεσι τοῖς φιλίππου ψήφισμα. καὶ προσέθηκε τὴν ἐπιμέλειαν τὴν ἐπ' αὐτοὺς, καὶ προσκεφαλαίων θέσιν, καὶ φυλακάς τινας, καὶ ἀγρυπνίας διὰ τοὺς φθονοῦντας καὶ βουλομένους εἰς τὴν αὐτοῦ φιλοτιμίαν ὑβρίσαι· καὶ τά γε δὴ καταγέλαστα παντελῶς, ἐφ' οἷς οἱ συμπρέσβεις ἐνεκαλύψαντο, ὡς ἐξένισε τοὺς πρέσβεις τοὺς φιλίππου, ὡς ἐμισθώσατ' αὐτοῖς ὅτ' ἀπῄεσαν ὀρικὰ ζεύγη, καὶ συμπαρήει

παρήει

παρῄει ἐφ' ἵππου, οὐ καταδὺς εἰς τὸ σκότος, ὥσπερ ἕτεροί τινες, ἀλλὰ φανερῶς ἐπιδεικνύμενος τὴν τῶν πραγμάτων θεραπείαν. Ἐκεῖνα δὲ ἤδη καὶ σφόδρα διωρθοῦτο. Οὐκ εἶπον ὡς καλός ἐστι· γυνὴ γὰρ τῶν ὄντων ἐστὶ κάλλιστον· οὐδ' ὡς δεινὸς συμπιεῖν, σπογγιᾶς τὸν ἔπαινον ὑπολαμβάνων τοῦτον εἶναι, οὐδ' ὡς μνημονικός, σοφιστοῦ τὰ τοιαῦτα νομίζων ἐργολαβοῦντος ἐγκώμια εἶναι· ἵνα δὲ μὴ μακρολογῶ, τοιαῦτα ἦν ἃ ἔλεγε παρόντων τῶν πρέσβεων, ὡς ἔπος εἰπεῖν, ἐξ ἁπάσης τῆς Ἑλλάδος, ἐφ' οἷς γέλωτες οὐχ οἱ τυχόντες ἐγίγνοντο· ἐπειδὴ δέ ποτ' ἐπαύσατο, καὶ σιωπὴ ἐγένετο, ἠναγκαζόμην ἐγὼ λέγειν μετὰ τοιαύτην ἀπαιδευσίαν, καὶ κολακείας αἰσχρᾶς ὑπερβολήν· καὶ μικρὰ προεῖπον ἐξ ἀνάγκης πρὸς τὴν προειρημένην κατὰ τῶν συμπρέσβεων ὑπ' αὐτοῦ διαβολήν· λέγων ὅτι πέμψειαν ἡμᾶς Ἀθηναῖοι πρέσβεις, οὐκ ἀπολογησομένους ἐν Μακεδονίᾳ περὶ ἡμῶν αὐτῶν, ἀλλ' οἴκοθεν ἐκ τοῦ βίου δεδοκιμασμένους ἀξίους τῆς πόλεως εἶναι. βραχέα δ' ὑπὲρ τῶν ὅρκων προειπών, ἐφ' οὓς ἥκομεν ἀποληψόμενοι, καὶ περὶ τῶν ἄλλων ἃ προσετάξατε ὑμεῖς διεξῄειν· ὁ γὰρ περιττὸς καὶ τοῖς λόγοις δεινὸς Δημοσθένης, οὐδενὸς τῶν ἀναγκαίων ἐμνήσθη· καὶ δὴ περὶ τῆς εἰς Πύλας στρατείας εἶπον, καὶ περὶ τῶν ἱερῶν, καὶ περὶ Δελφῶν, καὶ περὶ τῶν Ἀμφικτυόνων· καὶ μάλιστα μὲν Φίλιππον ἠξίουν, μὴ μεθ' ὅπλων, ἀλλὰ μετὰ ψήφου καὶ κρίσεως τἀκεῖ καθιστάναι. εἰ δ' ἄρα μὴ δυνατὸν εἴη (τοῦτο δ' ἦν πρόδηλον. τὸ γὰρ στρατόπεδον παρῆν καὶ συνήθροιστο) εἶπον ὅτι τὸν μέλλοντα ὑπὲρ ἑλληνικῶν ἱερῶν βουλεύεσθαι, πολλὴν προσήκει πρόνοιαν ὑπὲρ εὐσεβείας ἔχειν, καὶ τοῖς περὶ τῶν πατρίων ἐγχειροῦσι διδάσκειν, προσέχειν τὸν νοῦν. ἅμα δὲ ἐξ ἀρχῆς διεξῆλθον τὴν κτίσιν τοῦ ἱεροῦ, καὶ τὴν πρώτην σύνοδον γενομένην τῶν Ἀμφικτυόνων, καὶ τοὺς ὅρκους αὐτῶν ἀνέγνων, ἐν οἷς ἔνορκον ἦν τοῖς ἀρχαίοις, μηδεμίαν πόλιν τῶν Ἀμφικτυονίδων ἀνάστατον ποιήσειν, μηδ' ὑδάτων ναματιαίων εἴρξειν, μήτ' ἐν πολέμῳ, μήτ' ἐν εἰρήνῃ· ἐὰν δέ τις ταῦτα παραβῇ, στρατεύσειν ἐπὶ τοῦτον, καὶ τὰς πόλεις ἀναστήσειν· καὶ ἐάν τις ἢ συλᾷ τὰ τοῦ θεοῦ, ἢ συνειδῇ τι, ἢ βουλεύσῃ τι κατὰ τῶν ἐν τῷ ἱερῷ, τιμωρήσειν καὶ ποδὶ καὶ χειρὶ, καὶ φωνῇ, καὶ πάσῃ δυνάμει· καὶ προσῆν τῷ ὅρκῳ ἀρὰ ἰσχυρά· τούτων δὲ ἀναγνωσθέντων, ἀπεφηνάμην, ὅτι ἐμοὶ δοκεῖ δίκαιον εἶναι, μὴ περιορᾶν κατεσκαμμένας τὰς

ἐν Βοιωτοῖς πόλεις, ὅτι δὴ ἦσαν Ἀμφικτυονίδες καὶ ἔνορκοι· κατηριθμησάμην ἔθνη δώδεκα τὰ μετέχοντα τοῦ ἱεροῦ. Θετταλοὺς, Βοιωτοὺς (οὐ Θηβαίους μόνους) Δωριέας, Ἴωνας, Περραιβοὺς, Μάγνητας, Λοκροὺς, Οἰταίους, Φθιώτας, Μαλιεῖς, Φωκεῖς· καὶ τούτων ἔδειξα ἕκαστον ἔθνος ἰσόψηφον γενόμενον, τὸ μέγιστον τῷ ἐλάττονι· τὸν ἥκοντα ἐκ Δωρίου, καὶ Κυτινίου, ἴσον δυνάμενον Λακεδαιμονίοις· (δύο γὰρ ψήφους ἕκαστον φέρει ἔθνος·) πάλιν ἐκ τῶν Ἰώνων τὸν Ἐρετριέα, καὶ Πριηνέα τοῖς Ἀθηναίοις, καὶ τοὺς ἄλλους κατὰ ταυτά. τὴν μὲν οὖν ἀρχὴν τῆς στρατείας ταύτης ὁσίαν, καὶ δικαίαν ἀπεφηνάμην εἶναι. συλλεγέντων δὲ τῶν Ἀμφικτυόνων εἰς τὸ ἱερὸν, καὶ τυχόντων ἰσηγορίας, καὶ ψήφου, τοὺς αἰτίους τῆς ἐξ ἀρχῆς καταλήψεως τοῦ ἱεροῦ, δίκης ἠξίουν τυχεῖν, μὴ τὰς πατρίδας αὐτῶν, ἀλλ' αὐτοὺς τοὺς χειρουργήσαντας, καὶ βουλεύσαντας, τὰς δὲ πόλεις παρεχούσας εἰς κρίσιν τοὺς ἀδικήσαντας, ἀζημίους εἶναι· εἰ δὲ ἐπεξελθὼν δυνάμει βεβαιώσεις τὰ Θηβαίων ἀδικήματα, παρ' ὧν μὲν βοηθεῖς, οὐκ ἀπολήψῃ χάριν, (οὐ γὰρ ἂν δύναιο αὐτοὺς τηλικαῦτα εὐεργετῆσαι, ἡλίκα Ἀθηναῖοι πρότερον, ὧν οὐ μέμνηνται·) οὓς δ' ἐγκαταλείψεις, ἀδικήσεις· χρήσῃ δ' ἐχθροῖς μείζοσιν, ἀλλ' οὐ φίλοις. ἵνα δὲ μὴ διατρίβω, τοὺς ἐκεῖ λόγους ἐκθέντας, νῦν πρὸς ὑμᾶς ἀκριβῶς δεξιῶν, ἐν κεφαλαίῳ περὶ πάντων εἰπὼν παύσομαι. ἡ μὲν τύχη, καὶ Φίλιππος ἦσαν τῶν ἔργων κύριοι· ἐγὼ δὲ τῆς πρὸς ὑμᾶς εὐνοίας, καὶ τῶν λόγων· παρ' ἐμοῦ μὲν οὖν ἐρρέθη τὰ δίκαια καὶ τὰ συμφέροντα ὑμῖν· ἀπέβη δὲ οὐχ ὡς ἡμεῖς ηὐχόμεθα, ἀλλ' ὡς Φίλιππος ἔπραξε. Πότερον οὖν ὁ μηδὲν προθυμηθεὶς ἐργάσασθαι ἀγαθὸν, δίκαιός ἐστιν εὐδοξεῖν, ἢ ὁ μηδὲν ὧν ἦν δυνατὸς, ἐλλείπων; ὧν δὲ τῷ παρόντι νυνὶ πολλὰ διὰ τὸν καιρὸν παραλείπω.

Εἶπε δὲ ὡς ἐψευδολόγουν, φάσκων, ὀλίγων ἡμερῶν τὰς Θήβας ἔσεσθαι ταπεινὰς, καὶ τοὺς Εὐβοέας, ὡς ἐφόβουν, προάγων εἰς ἐλπίδας τινὰς ὑμᾶς· ὃ δὲ ποιῶ, καταμάθετε, ὦ Ἀθηναῖοι. ἐγὼ γὰρ παρὰ Φιλίππῳ μὲν ὢν, ἠξίωσα, πρὸς δ' ὑμᾶς ἥκων ἀπήγγελλον, ὅτι τὰς Θήβας Βοιωτίας δίκαιον ἡγοίμην εἶναι, καὶ μὴ τὴν Βοιωτίαν Θήβας. τοῦτο οὐκ ἀπαγγεῖλαι, ἀλλ' ὑποσχέσθαι με φησίν. ἔλεγον δὲ πρὸς ὑμᾶς, ὅτι Κλεοχάρης ὁ Χαλκιδεὺς θαυμάζειν ὑμῶν καὶ Φιλίππου φαίη τὴν ἐξαίφνης ὁμόνοιαν, ὡς καὶ τὸ προστεταγμένον ἡμῖν, πράττειν ἀγα-

θὸν

θὸν ὅ,τι ἂν δυνώμεθα, ἐν τῷ ψηφίσματι· τοὺς γὰρ μικροπολίτας, ὥσπερ αὐτούς, φοβεῖν τὰ τῶν μειζόνων ἀπόρρητα· ταῦτα οὐ διηγεῖσθαί με φησίν, ἀλλ' ἐπαγγέλλεσθαι, τὴν Εὔβοιαν παραδώσειν· ἐγὼ δὲ ὑπειλήφειν, δεῖν τὴν πόλιν τὴν ὑπὲρ τῶν ὅλων μέλλουσαν βουλεύεσθαι, μηδενὸς λόγου ἑλληνικοῦ ἀνήκοον εἶναι· διαβάλλει δὲ κἀκεῖνον διαιρούμενος τὸν λόγον, ὡς ἀπαγγέλλειν τἀληθῆ βουλόμενος, ὑπ' ἐμοῦ καὶ Φιλοκράτους κωλυθείη· ἐγὼ δ' ἡδέως ἂν ὑμᾶς ἐροίμην, εἴ τις πώποτε Ἀθηναίων πρεσβευτὴς ἐκπεμφθείς, ἐφ' οἷς πεπρέσβευκε κεκώλυται πρὸς τὸν δῆμον ἀπαγγέλλειν, καὶ ταῦτα παθὼν καὶ ἀτιμωθεὶς ὑπὸ τῶν συμπρέσβεων, τούτους ἔγραψεν ἐπαινέσαι, καὶ καλέσαι ἐπὶ δεῖπνον. Δημοσθένης τοίνυν ἥκων ἀπὸ τῆς ὑστέρας πρεσβείας, ἐν ᾗ φησι τὰ τῶν ἑλλήνων πράγματα ἀνατραπῆναι, οὐκ ἐν τῷ ψηφίσματι μόνον ἡμᾶς ἐπῄνει, ἀλλ' ἀπαγγείλαντος πρὸς τὸν δῆμον ἐμοῦ τοὺς τότε περὶ τῶν Ἀμφικτυόνων λόγους, καὶ Βοιωτῶν (οὐχ ὥσπερ νῦν συντέμνοντος, οὐδ' ἐπειγομένου, ἀλλ' ὡς ἐδυνάμην κατὰ ῥῆμα ἀκριβέστατα) καὶ τοῦ δήμου σφόδρα ἀποδεχομένου, παρακληθεὶς ὑπ' ἐμοῦ μετὰ τῶν ἄλλων συμπρέσβεων, καὶ διερωτώμενος, εἰ τἀληθῆ καὶ ταῦτα ἀπαγγέλλω πρὸς Ἀθηναίους, ἅπερ καὶ πρὸς Φίλιππον εἶπον, πάντων μαρτυρούντων καὶ ἐπαινούντων με τῶν συμπρέσβεων, ἐπαναστὰς ἐπὶ πᾶσιν, οὐκ ἔφη με, ὥσπερ ἐκεῖ εἶπον, οὕτως ἐν τῷ παρόντι λέγειν, ἀλλ' ἐκεῖ διπλασίως ἄμεινον· καὶ τούτων ὑμεῖς οἱ τὴν ψῆφον μέλλοντες φέρειν, ἐστέ μοι μάρτυρες· καί τοι τίς ἂν αὐτῷ καλλίων καιρὸς ἐγένετο, ἢ τότ' ἐξελέγχειν εὐθύς, εἴ τι τὴν πόλιν ἐξηπάτων; φῂς γάρ με ἐν μὲν τῇ πρώτῃ πρεσβείᾳ λαθεῖν σεαυτὸν συνεστηκότα ἐπὶ τὴν πόλιν, ἐν δὲ τῇ ὑστεραίᾳ αἰσθέσθαι, ἐν ᾗ συνηγορῶν μοι φαίνῃ· κἀκείνης μὲν ἅμα κατηγορῶν, οὐ φῂς κατηγορεῖν· τῆς δ' ἐπὶ τοὺς ὅρκους κατηγορεῖς. καίτοι εἰ τὴν εἰρήνην ψέγεις, σὺ καὶ τὴν συμμαχίαν ἔγραψας, καὶ Φίλιππος εἴ τι τὴν πόλιν ἐξηπάτα, διὰ τοῦτο ἐψεύδετο, ὅπως τῆς εἰρήνης, ἧσπερ ᾧ συνέφερεν αὐτῷ τύχοι· οὐκοῦν ἡ μὲν προτέρα πρεσβεία τὸν καιρὸν τοῦτον εἶχεν, ἡ δὲ ὑστέρα ἐπὶ πεπραγμένοις ἐγίνετο. τίνες οὖν ἦσαν αἱ ἀπάται; ταῦτα γὰρ τοῦ γόητος ἀνθρώπου, ἐξ ὧν εἴρηκε λογίσασθε· εἰσπλεῖν με φησὶν ἐν μονοξύλῳ πλοίῳ κατὰ τὸν Λυδίαν ποταμὸν τῆς νυκτός, ὡς Φί-



λιππον,

λιππον, καὶ τὴν ἐπιστολὴν, τὴν δεῦρο ἐλθοῦσαν Φιλίππῳ γράψαι· ὁ μὲν γὰρ Λεωσθένης, ὁ φεύγων ἐνθένδε διὰ τοὺς συκοφάντας, οὐ δυνατὸς ἦν ἐπιδεξίως ἐπιστολὴν γράψαι· ὃν οὐκ ὀκνοῦσί τινες ἀποφαίνεσθαι μετὰ Καλλίστρατον τὸν Ἀφιδναῖον, τῶν ἄλλων μάλιστα εἰπεῖν δύνασθαι· οὐδ' αὐτὸς ὁ Φίλιππος, πρὸς ὃν ἀντειπεῖν Δημοσθένης ὑπὲρ ὑμῶν οὐκ ἠδυνήθη· οὐδ' ὁ Βυζάντιος Πύθων, ἄνθρωπος περὶ τὸ γράφειν μέγα φρονῶν, ἀλλ' ὡς ἔοικε, τὸ πρᾶγμα ἐμοῦ προσεδεῖτο. καὶ λέγεις μὲν, ὅτι Φιλίππῳ μεθ' ἡμέραν, πολλάκις μόνος μόνῳ, διελεγόμην, αἰτιᾷ δὲ ἀποπλεῖν με νύκτωρ κατὰ τὸν ποταμόν. οὕτω νυκτερινῆς ἐπιστολῆς τὸ πρᾶγμα ἐδεῖτο; ὅτι δ' οὐδὲν ἀληθὲς λέγεις, ἥκουσι μὲν μαρτυρήσοντες, μεθ' ὧν συνεσίτουν, Ἀγλαοκρέων ὁ Τενέδιος, καὶ Ἰατροκλῆς ὁ Πασιφῶντος, μεθ' ὧν ἑξῆς ἅπαντα τὸν χρόνον τὰς νύκτας ἀνεπαυόμην· οἳ συνίσασιν ἐμοὶ, μηδεμίαν πώποτε ἀπ' αὐτῶν νύκτα ἀποζευγνυμένῳ, μηδὲ μέρος νυκτός· ἄγομεν δὲ καὶ τοὺς οἰκέτας, καὶ παραδίδομεν εἰς βάσανον. καὶ τὸν μὲν λόγον, εἰ συγχωρήσοι ὁ κατήγορος, καταλύω· παρέσται δὲ ἤδη ὁ δήμιος, καὶ βασανιεῖ ἐναντίον ὑμῶν, ἂν κελεύητε· ἐνδέχεται τὸ λοιπὸν μέρος τῆς ἡμέρας ταῦτα πρᾶξαι· πρὸς ἕνδεκα γὰρ ἀμφορέας ἐν διαμεμετρημένῃ τῇ ἡμέρᾳ κρίνομαι· κἂν φῶσιν ἀποκοιτεῖν με τουτωνὶ πώποτε τῶν συσσίτων βασανιζόμενοι γεγονέναι, μὴ φείσησθέ μου, ὦ Ἀθηναῖοι, ἀλλ' ἐξαναστάντες ἀποκτείνατε· ἐὰν δ' ἐξελεγχθῇς ψευδόμενος Δημόσθενες, ταύτην δίκην δός· ὁμολόγησον ἀνδρόγυνος εἶναι, καὶ μὴ ἐλεύθερος, ἐναντίον τούτων. κάλει μοι τοὺς οἰκέτας δεῦρο ἐπὶ τὸ βῆμα, καὶ τὴν τῶν συμπρέσβεων ἀναγίνωσκε μαρτυρίαν.

Μαρτυρία. Πρόκλησις. Ἐπειδὴ τοίνυν οὐ δέχεται τὴν πρόκλησιν, οὐδ' ἄν φησιν ἐν βασάνοις ἀνδραπόδων [illegible], λάβε μοι τὴν ἐπιστολὴν ταύτην, ἣν ὁ Φίλιππος ἔπεμψε· δῆλον γὰρ, ὅτι τὰ μεγάλα τὴν πόλιν παραλογίζεται, δι' ἣν ἠγρυπνοῦμεν γράφοντες.

Ἐπιστολή.

Ἀκούσατε, ὦ Ἀθηναῖοι, ὅτι τοὺς ὅρκους ἀπέδωκα (φησὶ) τοῖς ὑμετέροις πρέσβεσι, καὶ τῶν συμμάχων ἑαυτοῦ τοὺς παραγενομένους κατ' ὄνομα γέγραφα, καὶ αὐτοὺς, καὶ τὰς πόλεις αὐτῶν, τοὺς δ' ὑστερήσαντας τῶν συμμάχων ἀποστελεῖν φησὶ πρὸς ὑμᾶς. ταῦτ' οὖν οὐκ

ἂν οἴεσθε διώκεσθαι γράψαι φίλιππον μεθ' ἡμέραν ἀπὸ ἐμοῦ; ἀλλ' ἔμοιγε νὴ τοὺς θεοὺς ἐπεὶ δοκεῖ τοῦτο μόνον λογίζεσθαι, ὅπως μεταξὺ λέγων εὐδοκιμήσῃ· εἰ δὲ μικρὸν ἐπιτυχὼν δόξει πονηρότατος τῶν ἑλλήνων εἶναι, οὐδὲ μικρὸν φροντίζει. τί γὰρ ἄν τις τοιούτῳ πιστεύσειεν ἀνθρώπῳ, ὃς ἐγκεχείρηκε λέγειν, ὡς φίλιππος οὐ τοῖς αὑτοῦ στρατηγήμασιν, ἀλλὰ ταῖς ἐμαῖς δημηγορίαις εἴσω Πυλῶν παρῆλθε; καὶ λογισμόν τινα ἡμερῶν συνηριθμεῖτο πρὸς ὑμᾶς, ἐν αἷς ἐγὼ μὲν ἀπήγγελλον τὴν πρεσβείαν, οἱ δὲ Φαλαίκου τοῦ Φωκέων τυράννου δημοκήρυκες ἐνθένδε ἐκεῖσε διήγγελλον. πιστεύσαντες δὲ οἱ Φωκεῖς ἐμοὶ, εἴσω Πυλῶν αὐτὸν παρεδέξαντο, καὶ τὰς πόλεις τὰς αὑτῶν παρέδοσαν· ταῦτα μὲν οὖν ὁ κατήγορος μεμηχάνηται, τὰ δ' ἐν Φωκεῦσι διεφθάρη πράγματα· πρῶτον μὲν διὰ τὴν τύχην, ἣ πάντων ἐστὶ κυρία· ἔπειτα διὰ τὸ μῆκος τοῦ χρόνου, καὶ τὸν δεκαετῆ πόλεμον· τὸ γὰρ αὐτὸ ηὔξησέ τε τῶν ἐν Φωκεῦσι τυράννων τὰ πράγματα, καὶ καθεῖλε· κατέστησαν μὲν γὰρ εἰς τὴν ἀρχὴν, τολμήσαντες τῶν ἱερῶν χρημάτων ἅψασθαι, καὶ διὰ ξένων τὰς πολιτείας μετέστησαν· κατελύθησαν δ' ἀπορίᾳ χρημάτων, ἐπειδὴ κατεμισθοφόρησαν τὰ ὑπάρχοντα. τρίτον δ' αὐτοὺς καθεῖλεν ἡ τοῖς ἀπορουμένοις στρατοπέδοις συνήθως παρακολουθοῦσα στάσις· τέταρτον δ' ἡ Φαλαίκου περὶ τῶν μελλόντων ἔσεσθαι πραγμάτων ἄγνοια· ἡ μὲν γὰρ Θετταλῶν, καὶ φιλίππου στρατεία πρόδηλος ἦν· οὐ πολλῷ δὲ χρόνῳ πρότερον πρὶν ἢ τὴν πρὸς ὑμᾶς εἰρήνην γενέσθαι, πρέσβεις πρὸς ὑμᾶς ἦλθον ἐκ Φωκέων, βοηθεῖν αὐτοῖς κελεύοντες, καὶ ἐπαγγελλόμενοι παραδώσειν Ἀλπωνὸν, καὶ Θρόνιον, καὶ Νίκαιαν, τὰ τῶν παρόδων τῶν εἰς Πύλας χωρία κύρια· ψηφισαμένων δ' ὑμῶν παραδοῦναι Προξένῳ τῷ στρατηγῷ τοὺς Φωκέας ταῦτα τὰ χωρία, καὶ πεντήκοντα πληροῦν τριήρεις, καὶ τοὺς μέχρι τριάκοντα ἔτη γεγονότας ἐξιέναι, ἀντὶ τοῦ παραδοῦναι τὰ χωρία Προξένῳ, ἔδησαν οἱ τύραννοι τοὺς πρέσβεις τοὺς ἐπαγγειλαμένους ὑμῖν παραδώσειν τὰ φυλακτήρια, καὶ τοῖς σπονδοφόροις τοῖς τὰς μυστηριώτιδας σπονδὰς ἀπαγγέλλουσι μόνοι τῶν ἑλλήνων Φωκεῖς οὐκ ἐσπείσαντο· καὶ πάλιν Ἀρχιδάμου τοῦ Λάκωνος παραλαμβάνειν ὄντος ἑτοίμου τὰ χωρία, καὶ φυλάττειν, οὐκ ἐπείσθησαν, ἀλλ' ἀπεκρίναντο αὐτῷ τὰ τῆς Σπάρτης δεινὰ δεδιέναι, καὶ

μὴ τὰ παρ' αὐτοῖς. κἀνταῦθα οὔπω διελέλυσθε Φιλίππῳ, ἀλλ' ἐν τῇ αὐτῇ ἡμέρᾳ περί τε τῆς εἰρήνης ἐβουλεύεσθε καὶ τῆς ἐπιστολῆς ἠκούετε τοῦ Προξένου, ὅτι Φωκεῖς οὐ παραδεδώκασιν αὐτῷ τὰ χωρία, καὶ οἱ τὰ μυστήρια ἀπαγγέλλοντες μόνοι τῶν ἄλλων Ἑλλήνων ἀπέφηναν Φωκέας οὐ δεδεγμένους τὰς σπονδὰς, ἀλλὰ καὶ τοὺς δεῦρο ἐληλυθότας πρέσβεις δεδηκότας. ὅτι δὲ ἀληθῆ λέγω, κάλει μοι τοὺς σπονδοφόρους, καὶ τοὺς παρὰ Προξένου τοῦ στρατηγοῦ πρεσβεύσαντας εἰς Φωκέας, Καλλιστράτην, καὶ Μεταγένην· καὶ τῆς ἐπιστολῆς ἀκούσατε τοῦ Προξένου.

Ἐπιστολή.

Ἀκούετε, ὦ Ἀθηναῖοι, τῶν χρόνων παραναγινωσκομένων ἐκ τῶν δημοσίων γραμμάτων, καὶ τῶν μαρτύρων ἡμῖν προσδιαμαρτυρησάντων, ὅτι πρὶν ἐμὲ χειροτονηθῆναι πρεσβευτὴν, Φάλαικος, ὁ τῶν Φωκέων τύραννος, ἡμῖν μὲν καὶ Λακεδαιμονίοις ἠπίστει, Φιλίππῳ δ' ἐπίστευεν· ἀλλ' οὗτος μόνος τὸ συμβησόμενον ἠγνόει; ὑμεῖς δὲ αὐτοὶ δημοσίᾳ πῶς διέκεισθε; οὐ πάντες προσεδοκᾶτε Φίλιππον ταπεινώσειν Θηβαίους, ὁρῶντα αὐτῶν τὴν θρασύτητα, καὶ τὸ μὴ βούλεσθαι δύναμιν ἀνθρώπων ἀπίστων ἐπασκῆσαι; Λακεδαιμόνιοι δὲ οὐ μεθ' ἡμῶν τἀναντία Θηβαίοις ἐπρέσβευον, καὶ τελευτῶντες προσέκρουον φανερῶς ἐν Μακεδονίᾳ, καὶ διηπείλουν τοῖς τῶν Θηβαίων πρέσβεσιν; αὐτοὶ δὲ οὐκ ἠπόρουν καὶ ἐφοβοῦντο οἱ τῶν Θηβαίων πρέσβεις; Θετταλοὶ δὲ οὐ κατεγέλων τῶν ἄλλων, ὑπὲρ αὑτῶν φάσκοντες τὴν στρατείαν εἶναι; τῶν δ' ἑταίρων τινὲς τῶν Φιλίππου οὐ διαῤῥήδην πρός τινας ὑμῶν ἔλεγον, ὅτι τὰς ἐν Βοιωτοῖς πόλεις κατοικιεῖ Φίλιππος; Θηβαῖοι δ' οὐκ ἐξεληλύθεσαν πανδημεὶ, ἀπιστοῦντες τοῖς πράγμασιν; ὑμῖν δὲ ταῦθ' ὁρῶν οὐκ ἔπεμψεν ἐπιστολὴν ὁ Φίλιππος, ἐξιέναι κελεύων πάσῃ τῇ δυνάμει βοηθήσοντας τοῖς δικαίοις; οἱ δὲ νῦν πολεμικοὶ, καὶ τὴν εἰρήνην ἀνανδρίαν καλοῦντες, οὐ διεκώλυσαν ὑμᾶς ἐξελθεῖν, εἰρήνης καὶ συμμαχίας ὑμῖν γεγενημένης, δεδιέναι φάσκοντες μὴ τοὺς στρατιώτας ὑμῶν ὁμήρους λάβῃ Φίλιππος; Πότερον οὖν ἐγὼ τοὺς προγόνους ἐκώλυσα τὸν δῆμον μιμεῖσθαι, ἢ σὺ, καὶ οἱ μετὰ σοῦ συνεστηκότες ἐπὶ τὰ κοινά; καὶ πότερον ἦν ἀσφαλεστέρα, καὶ καλλίων Ἀθηναίοις ἡ ἔξοδος; ἡνίκα ἤκμαζον ἐν τῇ μανίᾳ Φωκεῖς, ἐπολέμουν δὲ Φιλίππῳ, εἶχον δὲ Ἀλπωνὸν, καὶ Νίκαιαν, μήπω παρα-

παραδόντος

δόντος Φιλίππου Μακεδόσι· τὰς σπονδὰς δέ, οἷς ἐμέλλομεν βοηθεῖν, τὰς μυστηριώτιδας οὐκ ἐδέχοντο· Θηβαίους δ᾽ ὄπισθεν κατελείπομεν, μεταπεμπομένου μὲν Φιλίππου, ὅρκων δ᾽ ἡμῖν καὶ συμμαχίας γεγενημένης, Θετταλῶν δὲ καὶ τῶν ἄλλων Ἀμφικτυόνων στρατευόντων; οὐ πολλῷ καλλίων ἦν ὁ καιρὸς ἐκεῖνος, ἐν ᾧ διὰ τὴν σὴν ἀνανδρίαν, καὶ ἅμα φθόνον, ἐσκευαγώγηνται ἐκ τῶν ἀγρῶν Ἀθηναῖοι, πρεσβεύοντος ἐμοῦ τὴν τρίτην ἤδη πρεσβείαν ἐπὶ τὸ κοινὸν τῶν Ἀμφικτυόνων, ἐφ᾽ ἣν τολμᾷς με λέγειν, ὡς οὐ χειροτονηθεὶς ᾠχόμην, ἐχθρὸς δ᾽ ὤν, ὅμως καὶ τήμερον τεθέληκάς με εἰσαγγεῖλαι παραπρεσβεύσασθαι; οὐ γὰρ δὴ φθονεῖς γέ μοι τῶν εἰς τὸ σῶμα τιμημάτων. τοιγάρτοι Θηβαίων μὲν παρακαθημένων καὶ δεομένων, τῆς δ᾽ ἡμετέρας πόλεως διὰ σὲ τεθορυβημένης, καὶ τῶν Ἀθηναίων ὁπλιτῶν οὐ παρόντων. Θετταλῶν δὲ Θηβαίοις προστιθεμένων διὰ τὴν ὑμετέραν ἀβουλίαν, καὶ τὴν πρὸς Φωκέας ἔχθραν, ἣ προϋπῆρχε Θετταλοῖς ἐκ παλαιῶν χρόνων, ὅτε αὐτῶν τοὺς ὁμήρους λαβόντες Φωκεῖς κατηλόησαν, Φαλαίκου δέ, πρὶν ἐμὲ ἐλθεῖν, καὶ Στέφανον, καὶ Δερκύλλον, καὶ τοὺς Ἀμφικτύονας πρέσβεις, ἀπεληλυθότος ὑποσπόνδου, Ὀρχομενίων δὲ περιφόβων ὄντων, καὶ σπονδὰς τοῖς σώμασιν αἰτησάντων, ὥστε ἀπελθεῖν ἐκ τῆς Βοιωτίας, παρεστηκότων μὲν τῶν Θηβαίων πρέσβεων, ὑπολειπομένης δ᾽ ἔχθρας φανερᾶς Φιλίππῳ πρὸς Θηβαίους καὶ Θετταλούς, τότε ἀπώλοντο αἱ πράξεις, οὐ δι᾽ ἐμέ, ἀλλὰ διὰ τὴν σὴν προδοσίαν, καὶ τὴν πρὸς Θηβαίους προξενίαν. μεγάλα δ᾽ οἶμαι τούτων ἐγὼ σημεῖα ἐπιδείξειν. Εἰ γάρ τι τούτων ἀληθὲς ἦν, ὧν σὺ λέγεις, κατηγόρουν ἄν μου Βοιωτοί, καὶ Φωκέων οἱ φεύγοντες, ὧν τοὺς μὲν ἐξεβεβλήκειν, τοὺς δ᾽ ἐκώλυσα κατελθεῖν· νῦν δ᾽ οὐχὶ τὰ συμβάντα λογιζόμενοι, ἀλλὰ τὴν εὔνοιαν τὴν ἐμὴν ἀποδεχόμενοι, συλλεγέντες οἱ φεύγοντες Βοιωτῶν, ᾕρηνταί μοι συνηγόρους· ἥκουσι δ᾽ ἀπὸ τῶν ἐν Φωκεῦσι πόλεων πρέσβεις, οὓς ἐγὼ τὴν τρίτην πρεσβείαν ἐπὶ τοὺς Ἀμφικτύονας πρεσβεύων ἔσωσα, Οἰταίων ἐγχειράντων λέγειν, ὡς δεῖ τοὺς ἡβῶντας ὠθεῖν κατὰ τοῦ κρημνοῦ, καὶ παρήγαγον εἰς τοὺς Ἀμφικτύονας, ὥστε ἀπολογίας τυχεῖν, ὁ μὲν γὰρ Φάλαικος τύραννος ὑπόσπονδος ἀφεῖτο, οἱ δὲ ἀναίτιοι ἀποθνήσκειν ἔμελλον, συναγορεύοντος δέ μου διεσώθησαν· ὅτι δ᾽ ἀληθῆ λέγω,

κάλει μοι Μνάσωνα τὸν Φωκέα, καὶ τοὺς συμπρέσβεις, καὶ τοὺς ἀπὸ τῆς Βοιωτῶν φυγῆς ᾑρημένους· ἀνάβηθι δεῦρο Λίπαρε, καὶ Πυθίων, καὶ τὴν αὐτὴν ἀπόδοτέ μοι χάριν εἰς τὴν τοῦ σώματος σωτηρίαν, ἥνπερ ἐγὼ ὑμῖν.

Συνηγορία Βοιωτῶν καὶ Φωκέων. Πῶς οὖν οὐκ ἂν δεινὰ πάθοιμι, εἰ κατηγοροῦντος μὲν Δημοσθένους τοῦ Θηβαίων προξένου, καὶ πονηροτάτου τῶν Ἑλλήνων, συνηγορούντων δέ μοι Φωκέων καὶ Βοιωτῶν ἁλοίην; ἐτόλμησε δ' εἰπεῖν, ὡς ἐγὼ τοῖς ἐμαυτοῦ λόγοις περιπίπτω. Φησὶ γάρ με εἰπεῖν, ὅτ' ἔκρινον Τίμαρχον, ὅτι πάντες κατ' αὐτοῦ τὴν τῆς πορνείας φήμην παρειλήφασι. τὸν δ' Ἡσίοδον ποιητὴν ἀγαθὸν ὄντα λέγειν·

Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ
Λαοὶ φημίξωσι· θεός νύ τις ἐστὶ καὶ αὐτή·

τὴν δ' αὐτὴν ταύτην θεὸν ἥκειν νῦν κατηγοροῦσαν ἐμοῦ· πάντας γὰρ λέγειν ὡς χρήματα ἔχω παρὰ Φιλίππου. Εὖ δ' ἴστε, ὦ Ἀθηναῖοι, ὅτι πλεῖστον διαφέρει φήμη καὶ συκοφαντία. φήμη μὲν γὰρ οὐ κοινωνεῖ διαβολῇ, διαβολὴ δὲ ἀδελφόν ἐστι καὶ συκοφαντία. διοριῶ δ' αὐτῶν ἑκάτερον σαφῶς. Φήμη μέν ἐστιν, ὅταν τὸ πλῆθος τῶν πολιτῶν αὐτόματον ἐκ μηδεμιᾶς προφάσεως λέγῃ τινὰ, ὡς γεγενημένην πρᾶξιν. Συκοφαντία δ' ἐστὶν, ὅταν πρὸς τοὺς πολλοὺς εἷς, ἀνὴρ αἰτίαν ἐμβαλὼν, ἔν τε ταῖς ἐκκλησίαις ἁπάσαις, πρός τε τὴν βουλὴν διαβάλλῃ τινά· καὶ τῇ μὲν φήμῃ δημοσίᾳ θύομεν, ὡς θεῷ, τῶν δὲ συκοφαντῶν, ὡς κακούργων δημοσίᾳ προβολὰς ποιούμεθα. μὴ οὖν σύναγε εἰς ταυτὸν τὰ κάλλιστα τοῖς αἰσχίστοις. ἐπὶ πολλοῖς μὲν οὖν ἔγωγε τῶν κατηγορημένων ἠγανάκτησα, μάλιστα δὲ ἡνίκα ᾐτιᾶτο εἶναί με προδότην· ἅμα γὰρ ταῖς αἰτίαις ταύταις φανῆναί με δεῖ θηριώδη, καὶ τὴν ψυχὴν ἄστοργον, καὶ πολλοῖς ἑτέροις ἁμαρτήμασι πρότερον ἔνοχον. τοῦ μὲν οὖν ἐμοῦ βίου, καὶ τῆς καθ' ἡμέραν διαίτης ὑμᾶς δοκιμαστὰς ἱκανοὺς εἶναι νομίζω· ἃ δ' ἐστὶ τοῖς μὲν πολλοῖς ἀσυνόπτα, τοῖς δὲ χρηστοῖς τὰς ψυχὰς μέγιστα, τούτων ὑμῖν τὰ πλεῖστα, καὶ καλῶς ἔχοντα ἐκ τῶν ἐμῶν ὁρᾶν ἀναβιβῶμαι, ἵν' εἰδῆτε τὰς ἐμὰς παρακαταθήκας, ἃς οἴκοι καταλιπὼν εἰς Μακεδονίαν ἐπρέσβευσα. Σὺ μὲν ὦ Δημόσθενες ταῦτα ἔπλασω ἐπ' ἐμέ. ἐγὼ δ' ὡς ἐπαιδεύθην, καὶ δικαίως ἐξηγήσομαι. Οὑτοσὶ μέν μοι ἐστὶ

πα-

πατὴρ Ἀτρόμητος, σχεδὸν πρεσβύτατος τῶν πολιτῶν· ἔτη γὰρ ἤδη βεβίωκεν ἐνενήκοντα καὶ τέτταρα· καὶ συμβέβηκεν αὐτῷ, νέῳ μὲν ὄντι, πρὶν τὴν οὐσίαν ἀπολέσαι διὰ τὸν πόλεμον, ἀθλεῖν τῷ σώματι, ἐκπεσόντι δὲ ὑπὸ τῶν τριάκοντα, στρατεύεσθαι μὲν ἐν τῇ Ἀσίᾳ, ἀριστεύειν δ' ἐν τοῖς κινδύνοις· εἶναι δ' ἐκ φατρίας τὸ γένος, ἣ τῶν αὐτῶν βωμῶν Ἐτεοβουτάδαις μετέχει, ὅθεν ἡ τῆς Ἀθηνᾶς τῆς Πολιάδος ἐστὶν ἱέρεια. συγκατάγειν δὲ τὸν δῆμον, ὥσπερ καὶ ὀλίγῳ πρότερον εἶπον, ἐλευθέρους δέ μοι συμβέβηκεν εἶναι, καὶ τοὺς πρὸς μητρὸς ἅπαντας, ἣ νυνὶ ἐμοὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνεται, φοβουμένη περὶ τῆς ἐμῆς σωτηρίας, καὶ διηπορημένη. Καίτοι, ὦ Δημόσθενες, ἡ μὲν ἐμὴ μήτηρ ἔφυγε μετὰ τοῦ αὐτῆς ἀνδρὸς ἐπὶ τῶν τριάκοντα εἰς Κόρινθον, καὶ μετέσχε τῶν πολιτικῶν κακῶν· σὺ δὲ, ἀμφισβητῶν ἀνὴρ εἶναι (καὶ γὰρ οὐκ ἂν ἀμφισβητήσαιμι εἰπεῖν, ὡς ἀνὴρ εἶ) ἐνεγράφης λιποταξίου, καὶ τὸν γραψάμενον Νικόδημον τὸν Ἀφιδναῖον χρήμασι πείσας ἐσώθης, ὃν ὕστερον μετὰ Ἀριστάρχου συναπέκτεινας, καὶ οὐ καθαρὸς ὢν τὰς χεῖρας εἰς τὴν ἀγορὰν ἐμβάλλεις.

Φιλοχάρης δ' οὑτοσὶ, ὁ πρεσβύτατος ἀδελφὸς ἡμῶν, οὐκ ἀγεννεῖς διατριβὰς (ὡς σὺ βλασφημεῖς) ἔχων, ἀλλ' ἐν γυμνασίοις διατρίβων, καὶ μετὰ Ἰφικράτους συνεστρατευμένος, καὶ συνεχῶς ἔτος ἤδη τουτὶ τρίτον στρατηγῶν, ἥκει δεησόμενος ὑμῶν ἐμὲ σῶσαι· Ἀφόβητος δ' οὑτοσὶ ὁ νεώτατος ἀδελφὸς ἡμῶν, πεπρεσβευκὼς μὲν ὑπὲρ ὑμῶν ἀξίως τῆς πόλεως πρὸς τὸν τῶν Περσῶν βασιλέα, καλῶς δὲ καὶ δικαίως τῶν ὑμετέρων προσόδων ἐπιμεληθεὶς, ὅτε αὐτὸν ἐπὶ τὴν κοινὴν διοίκησιν εἵλεσθε, καὶ πεπαιδοποιημένος κατὰ τοὺς νόμους, ἀλλ' οὐ Κνωσίωνι τὴν ἑαυτοῦ γυναῖκα παρακατακλίνων, ὥσπερ σὺ, πάρεστι καταφρονῶν τῶν σῶν λοιδοριῶν· τὸ γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. ἐτόλμησας δὲ κατὰ τῶν ἐμῶν κηδεστῶν εἰπεῖν οὕτως ἀναιδῶς καὶ πόρρωθεν ἀχάριστος εἶ, ὃς Φιλόδημον τὸν Φίλωνος πατέρα καὶ Ἐπικράτους οὐκ ἀγαπᾷς, οὐδὲ προσκυνεῖς, δι' ὃν εἰς τοὺς δημότας ἐνεγράφης, ὡς ἴσασιν οἱ πρεσβύτατοι Παιανιέων· ἐκπέπληγμαι δὲ, εἰ σὺ λοιδορεῖν Φίλωνα τολμᾷς, καὶ ταῦτα ἐν τοῖς ἐπιεικεστάτοις Ἀθηναίων, οἳ δεῦρο εἰσεληλύθασι δικάζοντες ἕνεκα τοῦ βελτίστου τῆς πόλεως, καὶ μᾶλλον προσέχουσι τοῖς βίοις ἡμῶν, ἢ τοῖς λόγοις. πότερα γὰρ ἂν προσδοκᾷς αὐτοὺς εὔξα-

δέξασθαι μυρίους ὁπλίτας ὁμοίους Φίλωνι γενέσθαι, καὶ τὰ σώματα οὕτω διακειμένους, καὶ τὴν ψυχὴν οὕτω σώφρονας. ἢ τρισμυρίους κιναίδους, οἷός περ σύ; καὶ τὴν Ἐπικράτους εὐαγωγίαν τοῦ Φίλωνος ἀδελφοῦ ἐπανάγεις εἰς ὄνειδος; καὶ τίς αὐτὸν εἶδε πώποτε ἀσχημονήσαντα, ἢ μεθ' ἡμέραν, ὡς σὺ φής, ἐν τῇ πομπῇ τῶν Διονυσίων, ἢ νύκτωρ; οὐ γὰρ ἂν τοῦτό γ' εἴποις, ὡς ἔλαθεν. οὐ γὰρ ἠγνοεῖτο. ἐμοὶ δέ, ὦ Ἀθηναῖοι, ἐκ τῆς Φιλοδήμου θυγατρός, καὶ Φίλωνος ἀδελφῆς, καὶ Ἐπικράτους, τρεῖς παῖδές εἰσι· μία μὲν θυγάτηρ, δύο δὲ υἱοί· οὓς ἐγὼ ἥκω μετὰ τῶν ἄλλων κομίζων, ἑνὸς ἐρωτήματος ἕνεκα, καὶ τεκμηρίου πρὸς τοὺς δικαστάς, ᾧ νῦν ἤδη χρήσομαι·

Ἐρωτῶ γάρ, ὦ Ἀθηναῖοι, εἰ δοκῶ ἂν ὑμῖν πρὸς τῇ πατρίδι, καὶ τῇ τῶν φίλων συνηθείᾳ, καὶ ἱερῶν, καὶ τάφων πατρῴων μετουσίᾳ, τούτους τοὺς πάντων ἀνθρώπων ἐμοὶ φιλτάτους προδοῦναι Φιλίππῳ, καὶ περὶ πλείονος τὴν ἐκείνου φιλίαν τῆς τούτων σωτηρίας ποιήσασθαι· ποίᾳ κρατηθεὶς ἡδονῇ; ἢ τί πώποτε ἄσχημον ἕνεκα χρημάτων πράξας; οὐ γὰρ ἡ Μακεδονία κακοὺς ἢ χρηστοὺς ποιεῖ, ἀλλ' ἡ φύσις· οὐδ' ἐσμὲν ἕτεροί τινες ἥκοντες ἀπὸ τῆς πρεσβείας, ἀλλ' οἵους ἐξεπέμψατε. συμπέπλεγμαι δ' ἐν τῇ πολιτείᾳ καθ' ὑπερβολὴν ἀνθρώπῳ γόητι, καὶ πονηρῷ, ὃς οὐδ' ἂν ἄκων ἀληθὲς οὐδὲν εἴποι· ἡγεῖται δ', ὅταν τι ψεύδηται, τῶν λόγων ὅρκος * κατὰ τῶν ἀναισχύντων ὀφθαλμῶν, καὶ τὰ γεγενημένα οὐ μόνον, ὡς ἔστι λέγει, ἀλλὰ καὶ τὴν ἡμέραν ἐν ᾗ φασι γενέσθαι, καὶ προστίθησί τινος ὄνομα πλασάμενος, ὡς ἔτυχε παρών, μιμούμενος τοὺς τἀληθῆ λέγοντας· ἓν δὲ ἀτυχοῦμεν οἱ μηδὲν ἀδικοῦντες, ὅτι πρὸς τῇ τερατείᾳ τοῦ τρόπου, καὶ τῇ τῶν ὀνομάτων συνθέσει, νοῦν οὐκ ἔχει. Σκέψασθε γὰρ ἀφροσύνην ἅμα καὶ ἀπαιδευσίαν ἀνθρώπου, ὃς τοιοῦτον ἔπλασε τὸ περὶ τὴν Ὀλυνθίαν γυναῖκα ψεῦδος κατ' ἐμοῦ, ἐφ' ᾧ μεταξὺ μὲν λέγων ὑφ' ὑμῶν ἐξερρίφη· (τὸν γὰρ πλεῖστον ἀφεστηκότα τῶν τοιούτων πρὸς τοὺς εἰδότας διέβαλλε·) σκέψασθε δέ, ὡς πόρρωθεν ἐπὶ τὴν αἰτίαν ταύτην παρεσκευάζετο. ἔστι γάρ τις ἐπιδημῶν ὑμῶν εἰς τὴν πόλιν Ἀριστοφάνης Ὀλύνθιος. τούτῳ συσχεθεὶς ὑπό τινων, καὶ πυθόμενος, ὡς εἰπεῖν δύναται, ὑπερεκθεραπεύσας αὐτὸν καὶ προσαγαγόμενος, τοῦτον ἔπειθεν ἐμοῦ τὰ ψευδῆ καταμαρτυρεῖν πρὸς ὑμᾶς. κἂν παρελθὼν ἐθελήσῃ σχετλιάσαι, καὶ λέγειν, ὡς εἰς οἰκείαν αὐτοῦ γυναῖκα,

καὶ

καὶ αἰχμάλωτον γεγενημένην πεπρακὼς εἴη, πεντακοσίας μὲν ἤδη δραχμὰς ὑπισχνεῖτο αὐτῷ δώσειν, πεντακοσίας δ' ἑτέρας, ἐπειδὰν καταμαρτυρήσῃ. ὁ δ' αὐτῷ ἀπεκρίνατο (ὡς αὐτὸς διηγεῖτο) ὅτι τῆς μὲν φυγῆς καὶ τῆς παρούσης ἀπορίας ἑαυτῷ οὐ κακῶς, ἀλλ' ὡς οἷόν τε ἄριστα στοχάζοιτο. τοῦ δὲ τρόπου πλεῖστον εἴη διημαρτηκώς· οὐδὲν γὰρ ἂν τοιοῦτο πρᾶξαι. ὅτι δὲ ἀληθῆ λέγω, αὐτὸν Ἀριστοφάνην μαρτυροῦντα παρέξομαι. κάλει μοι Ἀριστοφάνην Ὀλύνθιον, καὶ τὴν μαρτυρίαν ἀναγίνωσκε, καὶ τοὺς ἀκηκοότας αὐτοῦ, καὶ πρὸς ἐμὲ ἀγγείλαντας, Δερκύλλον Αὐτοκλέους Ἁγνούσιον, καὶ Ἀριστείδην Εὐφιλήτου Κηφισιέα. Μαρτυρία. Τῶν μὲν μαρτύρων διομνυμένων, καὶ μαρτυρούντων ἀκούετε· τὰς δ' ἀνοσίους τῶν λόγων ταύτας τέχνας, ἃς οὗτος πρὸς τοὺς νέους ἐπαγγέλλεται, καὶ κέχρηται νυνὶ κατ' ἐμοῦ, ἆρα μέμνησθε; ὡς ἐπιδακρύσας, καὶ τὴν Ἑλλάδα κατοδυράμενος, καὶ Σάτυρον τὸν κωμικὸν ὑποκριτὴν προσεπαινέσας, ὅτι ξένους τινὰς αὐτοῦ αἰχμαλώτους, σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργείῳ, καὶ δεδεμένους, παρὰ τὸν πότον ἐξῃτήσατο παρὰ τοῦ Φιλίππου. ταῦθ' ὑποθεὶς ἐπῆρεν (ἐντεινάμενος ταύτην τὴν ὀξεῖαν, καὶ ἀνοσίαν φωνὴν) ὡς δεινὸν, εἰ ὁ μὲν τοὺς Καρίωνας, καὶ Ξανθίας ὑποκρινόμενος, οὕτως εὐγενὴς, καὶ μεγαλόψυχός γε γένοιτο· ἐγὼ δ' ὁ τῆς μεγίστης πόλεως σύμβουλος, ὁ τοὺς μυρίους Ἀρκάδων νουθετῶν, οὐ κατάσχοιμι τὴν ὕβριν, ἀλλὰ παραθερμανθεὶς, ὅθ' ἡμᾶς εἱστία Ξενόδοκος τῶν ἑταίρων τις τῶν Φιλίππου, ἕλκοιμι τῶν τριχῶν, καὶ λαβὼν ῥυτῆρα μαστιγοῖμι τὴν αἰχμάλωτον γυναῖκα· εἰκὸν, εἰ ὑμεῖς αὐτῷ ἐπιστεύσατε, ἢ Ἀριστοφάνης μου συγκατεψεύσατο, ἐπ' αἰσχραῖς αἰτίαις ἀδίκως ἀπωλόμην ἄν. ἐάσετε οὖν αὐτὸν τοιοῦτον ἐμοῦ προστρόπαιον, (μὴ γὰρ δὴ τῆς πόλεως) ὥστε ἐν ὑμῖν ἀναστρέφεσθαι; καὶ τὴν μὲν ἐκκλησίαν καθαίρετε, ἐν δὲ τοῖς ψηφίσμασι διὰ τούτου τὰς εὐχὰς ποιήσεσθε; καὶ στρατιὰν, ἢ πεζὴν, ἢ ναυτικὴν ἐκπέμψετε; καὶ μὴν ὅ γε Ἡσίοδος λέγει.

Πολλάκι τοι ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα,
Ὅς κεν ἀλιτραίνῃ, καὶ ἀτάσθαλα μηχανάαται·

Ἔτι δὲ πρὸς τοῖς εἰρημένοις εἰπεῖν ὅτι βούλομαι· εἰ γὰρ

πα

τι τίς ἐστι κακία κατ' ἀνθρώπους, ἂν μὴ πρωτεύοντα περὶ ταύτην ἀποδείξω Δημοσθένην, θανάτῳ τιμῶμαι. ἀλλ' οἶμαι πολλὰ καὶ χαλεπὰ παρακολουθεῖ τῷ κρινομένῳ, καὶ μετακαλεῖ τὴν ψυχὴν ἀπὸ τῆς ὀργῆς ὁ κίνδυνος ἐπὶ τοὺς ὑπὲρ τῆς σωτηρίας λόγους, καὶ διαλογισμὸν παρίστησι, μή τι παραλίπῃ τῶν κατηγορημένων. ὥστε ἅμα μὲν ὑμᾶς, ἅμα δὲ ἐμαυτὸν εἰς ἀνάμνησιν τῶν κατηγορημένων ἀγαγεῖν βούλομαι.

Σκοπεῖτε γὰρ δὴ καθ' ἕκαστον, ὦ ἀθηναῖοι, ποῖον ἐγὼ ψήφισμα γράψας κρίνομαι, ἢ ποῖον νόμον λύσας, ἢ ποῖον γίνεσθαι κωλύσας, ἢ τίνας ὑπὲρ τῆς πόλεως συνθήκας ποιησάμενος, ἢ τί τῶν δεδογμένων περὶ τῆς εἰρήνης ἀπαλείψας, ἢ τί τῶν δοξάντων ὑμῖν μὴ προσγράψας; οὐκ ἤρεσκέ τισι τῶν ῥητόρων ἡ εἰρήνη; ἔπειτα οὐ τότε ἀντιλέγειν αὐτοὺς ἐχρῆν, ἀλλὰ μὴ νῦν ἐμὲ κρίνειν; ἐπλούτουν τινὲς ἐκ τοῦ πολέμου ἀπὸ τῶν ὑμετέρων εἰσφορῶν, καὶ τῶν δημοσίων προσόδων. νῦν δὲ πέπαυνται· εἰρήνη γὰρ ἀργίαν οὐ τρέφει. ἔπειτα οἱ μὲν οὐκ ἀδικούμενοι, ἀλλ' ἀδικοῦντες τὴν πόλιν, τιμωρήσονται τοὺς προστάντας τῆς εἰρήνης, οἱ δ' ὠφελούμενοι τοὺς χρησίμους εἰς τὰ κοινὰ γινομένους ἐγκαταλείψετε· συνῇδον δὲ τοὺς παιᾶνας φιλίππῳ, κατεσκαμμένων τῶν ἐν Φωκεῦσι πόλεων, ὡς φησιν ὁ κατήγορος· καὶ ποίῳ τεκμηρίῳ δύναιτ' ἄν τις σαφῶς τοῦτο ἐπιδεῖξαι; ἐκλήθην μὲν γὰρ ἐπὶ τὰ ξένια μετὰ τῶν συμπρέσβεων. ἦσαν δ' οἱ κλητοί, καὶ συνδειπνοῦντες, σὺν ταῖς ἀπὸ τῶν ἑλλήνων πρεσβείαις, οὐκ ἐλάττους ἢ διακόσιοι. ἐν δὲ τούτοις, ὡς ἔοικεν, ἐγὼ διαφανὴς ἦν, οὐχ ὑποσιγῶν, ἀλλὰ συνᾴδων, ὡς φησι Δημοσθένης, οὔτ' αὐτὸς παρών, οὔτε τῶν ἐκεῖ παρόντων οὐδένα παρασχόμενος μάρτυρα. καὶ τῷ γε δῆλος ἦν; εἰ μή γε ὥσπερ ἐν τοῖς χοροῖς προῇδον· οὐκοῦν εἰ μὲν ἐσίγων, ψευδῆ μου κατηγορεῖς. εἰ δὲ ὀρθῆς ὑμῖν τῆς πατρίδος οὔσης, καὶ τῶν πολιτῶν κοινῇ μηδὲν ἀτυχούντων συνῇδον μετὰ τῶν ἄλλων συμπρέσβεων τὸν παιᾶνα, ἡνίκα ὁ θεὸς μὲν ἐτιμᾶτο, ἀθηναῖοι δὲ μηδὲν ἠδόξουν, εὐσέβουν, ἀλλ' οὐκ ἠδίκουν, καὶ δικαίως ἂν σωζοίμην. ἔπειτα ἐγὼ μὲν διὰ ταῦτα ἀνηλεής τις εἰμὶ ἄνθρωπος, σὺ δὲ εὐσεβής, ὁ τῶν σπονδῶν καὶ συσσιτίων κατήγορος· ὠνείδισας δέ μοι καὶ πολιτείας ἐμπληξίαν, εἰ πεπρεσβευκὼς πρὸς φίλιππον πρότερον, παρεκάλουν ἐπ' ἐκεῖνον τοὺς ἕλλη-

ιας. καίτοι ταύτην, εἰ βούλει, τὴν κατηγορίαν καὶ τῶν ἄλλων Ἀθηναίων δημοσίᾳ κατηγορήσεις. ἐπολεμεῖτε Λακεδαιμονίοις, μετὰ τὴν ἐν Λεύκτροις συμφορὰν τοῖς αὐτοῖς ἐβοηθεῖτε. κατηγάγετε εἰς τὴν πατρίδα φεύγοντας Θηβαίους, καὶ πάλιν τούτοις ἐμάχεσθε ἐν Μαντινείᾳ. ἐπολεμήσατε Ἐρετριεῦσι, καὶ Θεμίσωνι, καὶ πάλιν ἐσώσατε, καὶ μυρίοις ἄλλοις ἤδη τῶν Ἑλλήνων οὕτω κέχρησθε. Τοῖς γὰρ καιροῖς συμπεριφέρεσθαι ἀνάγκη πρὸς τὸ κράτιστον, καὶ τὸν ἄνδρα καὶ τὴν πόλιν· τὸν δὲ ἀγαθὸν σύμβουλον τί χρὴ ποιεῖν; οὐ τῇ πόλει πρὸς τὸ παρὸν τὰ βέλτιστα συμβουλεύειν; τὸν δὲ πονηρὸν κατήγορον τί χρὴ λέγειν; οὐ τοὺς καιροὺς ἀποκρυπτόμενον, τῆς πράξεως κατηγορεῖν; τὸν δὲ ἐκ φύσεως προδότην πῶς χρὴ θεωρεῖν; ἆρά γε οὐχ, ὡς σὺ τοῖς ἐντυγχάνουσι καὶ πιστεύσασι κέχρησαι, λόγους εἰς δικαστήρια γράφοντα μισθοῦ, τούτους ἐκφέρειν τοῖς ἀντιδίκοις; ἔγραψας λόγον Φορμίωνι τῷ τραπεζίτῃ χρήματα λαβών. τοῦτον ἐξήνεγκας Ἀπολλοδώρῳ, τῷ περὶ τοῦ σώματος κρίνοντι Φορμίωνα. εἰσῆλθες εἰς εὐδαιμονοῦσαν οἰκίαν τὴν Ἀριστάρχου τοῦ Μόσχου, ταύτην ἀπώλεσας, προέλαβες τρία τάλαντα παρ' Ἀριστάρχου φεύγοντος. τοῦτον τὰ τῆς φυγῆς ἐφόδια ἀπεστέρησας, οὐκ αἰσχυνθεὶς τὴν φήμην, ἣν προσεποιήσω ζηλωτὴς εἶναι τῆς ἡλικίας τοῦ μειρακίου· οὐ γὰρ δὴ τῇ γε ἀληθείᾳ· οὐ γὰρ προσδέχεται δίκαιος ἔρως πονηρίαν. ταῦτ' ἐστὶν ὁ προδότης, καὶ τὰ τούτοις ὅμοια·

ἐμνήσθη δέ που περὶ τῆς στρατείας, καὶ τὸν καλὸν στρατιώτην ἐμὲ ὠνόμασεν. ἐγὼ δὲ οὐχ ἕνεκα τῆς τούτου βλασφημίας, ἀλλὰ τοῦ παρόντος κινδύνου προνοούμενος, καὶ περὶ τούτων ἀνεπίφθονον λέγειν εἶναί μοι νομίζω.

Ποῦ γάρ, ἢ πότε αὐτῶν, ἢ πρὸς τίνας, παραλιπὼν τήνδε τὴν ἡμέραν, μνησθήσομαι; ἐκ παίδων μὲν γὰρ ἀπαλλαγείς, περίπολος τῆς χώρας ταύτης ἐγενόμην δύο ἔτη. καὶ τούτων ὑμῖν τοὺς συνεφήβους, καὶ τοὺς συνάρχοντας ὑμῶν μάρτυρας παρέξομαι. πρώτην δ' ἐξελθὼν στρατείαν τὴν ἐν τοῖς Μέρεσι καλουμένην, καὶ συμπαραπέμπων μετὰ τῶν ἡλικιωτῶν, καὶ τῶν Ἀλκιβιάδου ξένων τὴν εἰς Φλιοῦντα παραπομπήν, κινδύνου συμβάντος ἡμῖν περὶ τὴν Νεμεάδα καλουμένην χαράδραν, οὕτως ἠγωνισάμην, ὥστε ὑπὸ τῶν ἡγεμόνων ἐπαινεῖσθαι· καὶ τὰς ἄλλας τὰς ἐκ διαδοχῆς ἐξόδους

τὰς.

τὰς ἐν τοῖς Ἐπωνύμοις, καὶ τοῖς Μέρεσιν ἐξῆλθον, καὶ τὴν ἐν Μαντινείᾳ μάχην συμμεμαχεσμένην οὐκ αἰσχρῶς, οὐδ' ἀναξίως τῆς πόλεως· καὶ τὰς εἰς Εὔβοιαν στρατείας ἐστρατευμένην, καὶ τὴν ἐν Ταμύναις μάχην ἐν τοῖς ἐπιλέκτοις οὕτως ἐκινδύνευσα, ὥστε κἀκεῖ στεφανωθῆναι ὑπὸ τῶν ἡγεμόνων, καὶ δεῦρο ἥκων πάλιν ὑπὸ τοῦ δήμου, τήν τε νίκην τῆς πόλεως ἐπαγγείλας, καὶ Τεμενίδου τοῦ τῆς Πανδιονίδος ταξιάρχου, καὶ συμπρεσβεύσαντος ἀπὸ στρατοπέδου μοι δεῦρο, καὶ τὰ περὶ τὸν γενόμενον κίνδυνον, οἷος ἦν ἀπαγγείλαντος· ὅτι δὲ ἀληθῆ λέγω, λαβέ μοι τοῦτο τὸ ψήφισμα, καὶ κάλει τὸν Τεμενίδην, καὶ τοὺς συνεστρατευμένους μοι τὰς ὑπὲρ τῆς πόλεως στρατείας, καὶ Φωκίωνα τὸν στρατηγὸν, μήπω συνήγορον, ἂν μὴ τούτοις συνδοκῇ, ἀλλ' ὑπεύθυνον τῷ συκοφάντῃ μάρτυρα, ἐὰν ψεύδηται.

Ψήφισμα. Μαρτυρίαι.

Ἀπαγγείλας τοίνυν πρῶτος τὴν τῆς πόλεως νίκην ὑμῖν, καὶ τὴν τῶν παίδων τῶν ὑμετέρων κατόρθωσιν, πρώτην ὑμᾶς ἀπαιτῶ χάριν, τὴν τοῦ σώματος σωτηρίαν, οὐ μισόδημος ὢν, ὥς φησιν ὁ κατήγορος, ἀλλὰ μισοπόνηρος, οὐ τοὺς Δημοσθένους ὑμᾶς ἐῶν προγόνους μιμεῖσθαι (οὐ γάρ εἰσιν) ἀλλὰ τῶν καλῶν τῇ πόλει βουλευμάτων ζηλωτὰς εἶναι παρακαλῶν· νυνὶ δ' αὐτὰ πόῤῥωθεν ἀρξάμενος μικρῷ δίειμι σαφέστερον. Πρότερον ἡ πόλις ἡμῶν εὐδόξησε μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν πρὸς τὸν Πέρσην, καὶ τῶν τειχῶν ὑπὸ τῶν βαρβάρων πεπτωκότων, εἰρήνης δ' ὑπαρχούσης πρὸς Λακεδαιμονίους, διέμενεν ἡμῖν τὸ τῆς δημοκρατίας πολίτευμα. συνταραχθέντες δὲ ὑπό τινων, καὶ καταστάντες πρὸς Λακεδαιμονίους εἰς πόλεμον, πολλὰ καὶ παθόντες κακὰ, καὶ ποιήσαντες, Μιλτιάδου τοῦ Κίμωνος προκηρυκευσαμένου πρὸς Λακεδαιμονίους, ὄντος προξένου, σπονδὰς τοῦ πολέμου πεντηκονταετεῖς ἐποιησάμεθα, ἐχρησάμεθα αὐταῖς δὲ ἔτη τρισκαίδεκα· ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐτειχίσαμεν τὸν Πειραιᾶ, καὶ τὸ βόρειον τεῖχος ᾠκοδομήσαμεν. ἑκατὸν δὲ τριήρεις πρὸς ταῖς ὑπαρχούσαις ἐναυπηγησάμεθα. τριακοσίους δὲ ἱππέας προσκατεσκευασάμεθα, καὶ τριακοσίους τοξότας Σκύθας ἐπριάμεθα, καὶ τὴν δημοκρατίαν βεβαίως εἴχομεν· παρεισπεσόντων δ' εἰς τὴν πολιτείαν ἡμῶν οὐκ ἐλευθέρων ἀνθρώπων, καὶ τοῖς τρόποις οὐ μετρίων, πάλιν

πρὸς

πρὸς Αἰγινήτας εἰς πόλεμον κατέστημεν· κἀνταῦθα οὐκ ὀλίγα βλαβέντες, τῆς μὲν εἰρήνης ἐπεθυμήσαμεν, Ἀνδοκίδην δ' ἐκπέμψαντες πρὸς τοὺς Λακεδαιμονίους, καὶ τοὺς συμπρέσβεις, εἰρήνην ἔτη τριάκοντα ἠγαγόμεθα, ἣ τὸν δῆμον ὑψηλὸν ἦρεν· χίλια μὲν γὰρ τάλαντα ἀνηνέγκαμεν νομίσματος εἰς τὴν ἀκρόπολιν, ἑκατὸν δὲ τριήρεις ἑτέρας ἐναυπηγησάμεθα, καὶ νεωσοίκους ᾠκοδομήσαμεν, χιλίους δὲ καὶ διακοσίους ἱππέας κατεστήσαμεν, καὶ τοξότας ἑτέρους τοσούτους· καὶ τὸ μακρὸν τεῖχος τὸ νότιον ἐτειχίσθη, καὶ τὸν δῆμον οὐδεὶς ἐνεχείρησε καταλῦσαι. Πάλιν δὲ εἰς πόλεμον πρὸς Μεγαρέας πεισθέντες καταστῆναι, καὶ τὴν χώραν τμηθῆναι προέμενοι, καὶ πολλῶν ἀγαθῶν στερηθέντες, εἰρήνης ἐδεήθημεν, καὶ ἐποιησάμεθα διὰ Νικίου τοῦ Νικηράτου· καὶ πάλιν ἐν τῷ χρόνῳ τούτῳ ἑπτακισχίλια τάλαντα ἀνηνέγκαμεν εἰς τὴν ἀκρόπολιν, διὰ τὴν εἰρήνην ταύτην· τριήρεις δ' ἐκτησάμεθα πλοΐμους καὶ ἐντελεῖς, οὐκ ἐλάττους ἢ τριακοσίας· φόρος δ' ἡμῖν κατ' ἐνιαυτὸν προσῄει πλέον, ἢ χίλια καὶ διακόσια τάλαντα· καὶ Χερσόνησον, καὶ Νάξον, καὶ τὴν Εὔβοιαν εἴχομεν, πλείστας δ' ἀποικίας ἐν τοῖς χρόνοις τούτοις ἀπεστείλαμεν, καὶ τοσαῦτα ἔχοντες τἀγαθὰ, πόλεμον δι' Ἀργείους πρὸς Λακεδαιμονίους ἐξηνέγκαμεν, πεισθέντες ὑπ' Ἀργείων· καὶ τελευτῶντες ἐκ τῆς τῶν ῥητόρων ἀψιμαχίας εἰς φρουρὰν τῆς πόλεως, καὶ τοὺς τετρακοσίους καὶ τοὺς ἀσεβεῖς τριάκοντα ἐνεπέσομεν, οὐκ εἰρήνην ποιησάμενοι, ἀλλ' ἐκ προσταγμάτων ἠναγκασμένοι· πάλιν δὲ σωφρόνως πολιτευθέντες, καὶ τοῦ δήμου κατελθόντος ἀπὸ Φυλῆς, Ἀρχίνου καὶ Θρασυβούλου προστάντων τοῦ δήμου, καὶ τὸ μὴ μνησικακεῖν πρὸς ἀλλήλους ἔνορκον ἡμῖν καταστησάντων· ὅθεν σοφωτάτην πάντες τὴν πόλιν ἡγήσαντο εἶναι· κἀνταῦθα ἀναφθέντος τοῦ δήμου, καὶ πάλιν ἐξ ἀρχῆς ἰσχύσαντος, ἄνθρωποι παρέγγραπτοι γεγενημένοι πολῖται, καὶ τὸ νοσοῦν τῆς πόλεως ἀεὶ προσαγόμενοι, καὶ πόλεμον ἐκ πολέμου πολιτευόμενοι, ἐν μὲν εἰρήνῃ τὰ δεινὰ τῷ λόγῳ προορώμενοι, καὶ τὰς ψυχὰς τὰς φιλοτίμους, καὶ λίαν ὀξείας ἐρεθίζοντες, ἐν δὲ τοῖς πολέμοις ὅπλων οὐχ ἁπτόμενοι, ἐξετασταὶ δὲ καὶ ἀποστολεῖς γινόμενοι, παιδοποιούμενοι δὲ ἐξ ἑταιρῶν, ἄτιμοι δὲ ἐκ συκοφαντίας εἰς τοὺς ἐσχάτους ἡμῶν κινδύνους τὴν πόλιν καθιστᾶσι, καὶ

τὸ μὲν τῆς δημοκρατίας ὄνομα οὐ τοῖς ἤθεσιν, ἀλλὰ τῇ κολακείᾳ θεραπεύοντες, καταλύοντες δὲ τὴν εἰρήνην, ἡ δημοκρατία σώζεται, συναγωνιζόμενοι δὲ τοῖς πολεμίοις, ἐξ ὧν ὁ δῆμος καταλύεται· οὗτοι νῦν ἐπ᾽ ἐμὲ συστραφέντες ἥκουσι, καί φασι μὲν τὸν Φίλιππον τὴν εἰρήνην πρίασθαι, καὶ προλαβὼν ἐν ταῖς συνθήκαις ἡμῶν ἅπαντα· ἣν δ᾽ αὐτὸς εὗρεν εἰρήνην αὐτῷ συμφέρουσαν, ταύτην παραβεβηκέναι, ἐμὲ δ᾽ οὐχ ὡς πρεσβευτὴν κρίνουσιν, ἀλλ᾽ ὡς ἐγγυητὴν Φιλίππου, καὶ τῆς εἰρήνης, καὶ τὸν μηδὲ τῶν ὅλων λόγων κύριον, τὰς τῶν ἔργων προσδοκίας ἀπαιτοῦσι· τὸν αὐτὸν δὲ ἐν μὲν τοῖς ψηφίσμασιν ἐπαινέτην ἐπιδείκνυμι, ἐν δὲ τῷ δικαστηρίῳ κατηγόρῳ κέχρημαι· δέκατος δ᾽ αὐτὸς πρεσβεύσας, μόνος τὰς εὐθύνας δίδωμι· κἀμοὶ μὲν οἱ συνδεησόμενοι πάρεισιν ὑμῶν· πατὴρ μὲν, οὗ τὰς τοῦ γήρως ἐλπίδας μὴ ἀφέλησθε· ἀδελφοὶ δὲ, οἱ διαζυγέντες ἐμοῦ, ζῆν οὐκ ἂν προέλοιντο· κηδεσταὶ δὲ, καὶ ταυτὶ μὲν τὰ μικρὰ παιδία, καὶ τοὺς κινδύνους οὔπω συνιέντα, ἐλεεινὰ δ᾽, εἴ τι συμβήσεται ἡμῖν παθεῖν· ὑπὲρ ὧν ἐγὼ δέομαι, καὶ ἱκετεύω πολλὴν πρόνοιαν ποιήσασθαι, καὶ μὴ τοῖς ἐχθροῖς αὐτοὺς, μηδ᾽ ἀνάνδρῳ, καὶ γυναικείῳ ἀνθρώπῳ τὴν ὀργὴν παραδοῦναι.

Παρακαλῶ δὲ, καὶ ἱκετεύω σῶσαί με πρῶτον μὲν τοὺς θεοὺς, δεύτερον δὲ ὑμᾶς, τοὺς τῆς ψήφου κυρίους, οἷς ἐγὼ πρὸς ἕκαστον τῶν κατηγορημένων εἰς μνήμην ὧν τὴν ἐμὴν ἀπολελόγημαι· καὶ δέομαι σῶσαί με, καὶ μὴ τῷ λογογράφῳ, καὶ Σκύθῃ κακῷ ὄντι παραδοῦναι· ὅσοι μὲν ὑμῶν πατέρες εἰσὶ παίδων, ἢ νεωτέρους ἀδελφοὺς περὶ πολλοῦ ποιεῖσθε, ἀναμνησθέντες, ὅτι τὴν τῆς σωφροσύνης παράκλησιν διὰ τῆς περὶ Τίμαρχον κρίσεως ἀειμνήστους παρακέκληκα· τοὺς δ᾽ ἄλλους ἅπαντας, οἷς ἐμαυτὸν ἄλυπον παρέσχημαι, τὴν μὲν τύχην ἰδιώτης ὢν, καὶ τοῖς μετρίοις ὑμῶν ὅμοιος, ἐν δὲ τοῖς πολιτικοῖς ἀγῶσι μόνος τῶν ἄλλων ἐφ᾽ ὑμᾶς οὐ συνεστηκὼς, αἰτῶ παρ᾽ ὑμῶν τὴν σωτηρίαν, μετὰ πάσης εὐνοίας τῇ πόλει πεπρεσβευκὼς, καὶ μόνος ὑπομείνας τὸν τῶν συκοφαντῶν θόρυβον, ὃν ἤδη πολλοὶ τῶν τὰς ψυχὰς ἐν τοῖς πολέμοις λαμπρῶν οὐχ ὑπέστησαν· οὐ γὰρ ὁ θάνατος δεινὸν, ἀλλ᾽ ἡ περὶ τὴν τελευτὴν ὕβρις φοβερά· πῶς δὲ οὐκ οἰκτρὸν βλέπειν ἐχθροῦ πρόσωπον ἐπεγγελῶντος, καὶ τοῖς ὠσὶ τῶν ὀ-

κιδῶν ἀκοῦσαι; ἀλλ᾽ ὅμως τετόλμηται, δέδοται τὸ σῶμα τῷ κινδύνῳ· παρ᾽ ὑμῖν ἐτράφην, ἐν ταῖς ὑμετέραις διατριβαῖς βεβίωκα· οὐδεὶς ὑμῶν διὰ τὰς ἐμὰς ἡδονὰς χεῖρον οἰκεῖ· οὐδὲ ἐστέρηται τῆς πατρίδος κατηγόρου τυχὼν ἐν τοῖς δήμοις, ὅτ᾽ ἦσαν αἱ διαψηφίσεις· οὐδ᾽ ὑπεύθυνος ὢν ἀρχῆς ἐκινδύνευσα. μικρὰ δ᾽ εἰπὼν ἤδη καταβαίνω· ἐγὼ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ μὲν μηδὲν ἀδικεῖν ὑμᾶς, κύριος ἦν· τοῦ δὲ μὴ ἔχειν αἰτίαν ἡ τύχη, ἥ συνεκλήρωσέ με ἀνθρώπῳ συκοφάντῃ βαρβάρῳ· ὃς οὔτε ἱερῶν, οὔτε σπονδῶν, οὔτε τραπέζης φροντίσας, ἀλλὰ τοὺς εἰς τὸν μέλλοντα αὐτῷ χρόνον ἀντεροῦντας ἐκφοβῶν, ἥκει ψευδῆ συντάξας καθ᾽ ἡμῶν κατηγορίαν· ἐὰν οὖν ἐθελήσητε σώζειν τοὺς τῆς εἰρήνης, καὶ τῆς ὑμετέρας ἀδείας συναγωνιστὰς, πολλοὺς βοηθοὺς λήψεσθε τὸ τῆς πόλεως συμφέρον, καὶ κινδυνεύειν ὑπὲρ ὑμῶν ἑτοίμους. Παρακαλῶ δὲ Εὔβουλον μὲν ἐκ τῶν πολιτικῶν καὶ σωφρόνων ἀνδρῶν συνήγορον, Φωκίωνα δ᾽ ἐκ τῶν στρατηγῶν, ἅμα δὲ καὶ δικαιοσύνῃ διενηνοχότα πάντων· ἐκ δὲ τῶν φίλων καὶ τῶν ἡλικιωτῶν τῶν ἐμαυτοῦ, Ναυσικλέα, καὶ τοὺς ἄλλους ἅπαντας οἷσπερ ἐγὼ κέχρημαι, καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων μετέσχηκα· ὁ μὲν οὖν ἐμὸς λόγος εἴρηται· τὸ δὲ σῶμα τοὐμὸν ἤδη παραδίδωσιν ὑμῖν, καὶ ἐγὼ, καὶ ὁ νόμος.

# ἘΚ ΤΩ͂Ν ΘΟΥΚΥΔΙ'ΔΟΥ

## ΔΗΜΗΓΟΡΙ'Α

### ΚΕΡΚΥΡΑΙ'ΩΝ, ΑἸΤΟΥ'ΝΤΩΝ ΠΑΡ' ἈΘΗΝΑΙ'ΩΝ ΤΗ'Ν ΒΟΗ'ΘΕΙΑΝ ΠΡΟ'Σ ΚΟΡΙΝΘΙ'ΟΥΣ.

Δίκαιον, ὦ ἀθηναῖοι, τοὺς μήτε εὐεργεσίας μεγάλης, μήτε ξυμμαχίας προοφειλομένης ἥκοντας παρὰ τοὺς πέλας ἐπικουρίας (ὥσπερ καὶ ἡμεῖς νῦν) δεησομένους, ἀναδιδάξαι πρῶτον, μάλιστα μὲν, ὡς καὶ ξύμφορα δέονται, εἰ δὲ μὴ, ὅτι γε οὐκ ἐπιζήμια· ἔπειτα δὲ, ὡς καὶ τὴν χάριν βέβαιον ἕξουσιν· εἰ δὲ τούτων μηδὲν σαφὲς καταστήσουσι, μὴ ὀργίζεσθαι, ἢν ἀτυχῶσι. Κερκυραῖοι δὲ μετὰ τῆς ξυμμαχίας τῆς αἰτήσεως καὶ ταῦτα πιστεύοντες ἐχυρὰ ὑμῖν παρέξεσθαι, ἀπέστειλαν ἡμᾶς. τετύχηκε δὲ τὸ αὐτὸ ἐπιτήδευμα πρός τε ὑμᾶς ἐς τὴν χρείαν ἡμῖν ἄλογον, καὶ ἐς τὰ ἡμέτερα αὐτῶν ἐν τῷ παρόντι ἀξύμφορον· ξύμμαχοί τε γὰρ οὐδενός πω ἐν τῷ πρὸ τοῦ χρόνῳ ἑκούσιοι γενόμενοι, νῦν ἄλλων τοῦτο δεησόμενοι ἥκομεν, καὶ ἅμα ἐς τὸν παρόντα πόλεμον Κορινθίων ἔρημοι δι' αὐτὸ καθέστημεν· καὶ περιέστηκεν ἡ δοκοῦσα ἡμῶν πρότερον σωφροσύνη, τὸ μὴ ἐν ἀλλοτρίᾳ ξυμμαχίᾳ τῇ τοῦ πέλας γνώμῃ ξυγκινδυνεύειν, νῦν ἀβουλία καὶ ἀσθένεια φαινομένη. Τὴν μὲν οὖν γενομένην ναυμαχίαν αὐτοὶ κατὰ μόνας ἀπεωσάμεθα Κορινθίους· ἐπειδὴ δὲ μείζονι παρασκευῇ ἀπὸ Πελοποννήσου, καὶ τῆς ἄλλης ἑλλάδος ἐφ' ἡμᾶς ὥρμηνται, καὶ ἡμεῖς ἀδύνατοι ὁρῶμεν ὄντες τῇ οἰκείᾳ μόνον δυνάμει περιγενέσθαι, καὶ ἅμα μέγας ὁ κίνδυνος, εἰ ἐσόμεθα ὑπ' αὐτοῖς, ἀνάγκη καὶ ὑμῶν, καὶ ἄλλου παντὸς ἐπικουρίας δεῖσθαι· καὶ ξυγγνώμη, εἰ μὴ μετὰ κακίας, δόξης δὲ μᾶλλον ἁμαρτίᾳ, τῇ πρότερον ἀπραγμοσύνῃ ἐναντία τολμῶμεν. Γενήσεται δὲ ὑμῖν πειθομένοις καλὴ ἡ ξυντυχία κατὰ πολλὰ τῆς ἡμετέρας χρείας· πρῶτον μὲν, ὅτι ἀδικουμένοις, καὶ οὐχ ἑτέρους βλάπτουσι, τὴν ἐπικουρίαν ποιήσεσθε· ἔπειτα, περὶ τῶν μεγίστων κινδυνεύοντας δεξάμενοι, ὡς ἂν μάλιστα μετ' ἀειμνήστου

μαρ-

μαρτυρίου τὴν χάριν καταθήσεσθε· ναυτικόν τε κεκτήμεθα, πλὴν τοῦ παρ' ὑμῖν, πλεῖστον. Καὶ σκέψασθε τίς εὐπραξία σπανιωτέρα, ἢ τίς τοῖς πολεμίοις λυπηροτέρα, εἰ ἣν ὑμεῖς ἂν πρὸ πολλῶν χρημάτων καὶ χάριτος ἐτιμήσασθε δύναμιν ὑμῖν προσγενέσθαι, αὕτη πάρεστιν αὐτεπάγγελτος ἄνευ κινδύνων καὶ δαπάνης διδοῦσα ἑαυτήν· καὶ προσέτι φέρουσα ἐς μὲν τοὺς πολλοὺς, ἀρετὴν, οἷς δὲ ἐπαμυνεῖτε, χάριν· ὑμῖν δ' αὐτοῖς, ἰσχύν, ἃ ἐν τῷ παντὶ χρόνῳ ὀλίγοις δὴ ἅμα πάντα ξυνέβη· καὶ ὀλίγοι ξυμμαχίας δεόμενοι, οἷς ἐπικαλοῦνται, ἀσφάλειαν καὶ κόσμον οὐχ ἧσσον διδόντες ἢ ληψόμενοι παραγίγνονται· τὸν δὲ πόλεμον δι' ὅνπερ χρήσιμοι ἂν εἶμεν, εἴ τις ὑμῶν μὴ οἴεται ἔσεσθαι, γνώμης ἁμαρτάνει, καὶ οὐκ αἰσθάνεται τοὺς Λακεδαιμονίους φόβῳ τῷ ὑμετέρῳ πολεμησείοντας, καὶ τοὺς Κορινθίους δυναμένους παρ' αὐτοῖς, καὶ ὑμῖν ἐχθροὺς ὄντας, καὶ προκαταλαμβάνοντας ἡμᾶς νῦν ἐς τὴν ὑμετέραν ἐπιχείρησιν, ἵνα μὴ τῷ κοινῷ ἔχθει κατ' αὐτῶν μετ' ἀλλήλων στῶμεν, μὴ δὲ δυοῖν φθάσαι ἁμάρτωσιν, ἢ κακῶσαι ἡμᾶς, ἢ σφᾶς αὐτοὺς βεβαιώσασθαι. Ὑμέτερον δέ γ' αὖ ἔργον προτερῆσαι, τῶν μὲν διδόντων, ὑμῶν δὲ δεξαμένων τὴν ξυμμαχίαν, καὶ προεπιβουλεύειν αὐτοῖς μᾶλλον, ἢ ἀντεπιβουλεύειν· ἢν δὲ λέγωσιν, ὡς οὐ δίκαιον τοὺς σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν, ὡς πᾶσα ἀποικία εὖ μὲν πάσχουσα, τιμᾷ τὴν μητρόπολιν· ἀδικουμένη δὲ, ἀλλοτριοῦται· οὐ γὰρ ἐπὶ τῷ δοῦλοι, ἀλλ' ἐπὶ τῷ ὁμοῖοι τοῖς λειπομένοις εἶναι ἐκπέμπονται· ὡς δὲ ἠδίκουν, σαφές ἐστι· προκληθέντες γὰρ περὶ Ἐπιδάμνου ἐς κρίσιν, πολέμῳ μᾶλλον ἢ τῷ ἴσῳ ἠβουλήθησαν τὰ ἐγκλήματα μετελθεῖν· καὶ ὑμῖν ἔστω τι τεκμήριον ἃ πρὸς ἡμᾶς τοὺς ξυγγενεῖς δρῶσιν, ὥς τε ἀπάτῃ τε μὴ παράγεσθαι ὑπ' αὐτῶν, δεομένοις τε ἐκ τοῦ εὐθέος μὴ ὑπουργεῖν· ὁ γὰρ ἐλαχίστας τὰς μεταμελείας ἐκ τοῦ χαρίζεσθαι τοῖς ἐναντίοις λαμβάνων, ἀσφαλέστατος ἂν διατελοίη. Λύσετε δὲ οὐδὲ τὰς Λακεδαιμονίων σπονδὰς, δεχόμενοι ἡμᾶς, μηδετέρων ὄντας ξυμμάχους· εἴρηται γὰρ ἐν αὐταῖς, τῶν Ἑλληνίδων πόλεων ἥτις μηδαμοῦ ξυμμαχεῖ, ἐξεῖναι παρ' ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν· καὶ δεινὸν, εἰ τοῖσδε μὲν ἀπό τε τῶν ἐνσπόνδων ἔσται πληροῦν τὰς ναῦς, καὶ προσέτι καὶ ἐκ τῆς ἄλλης Ἑλλάδος, καὶ οὐχ ἥκιστα ἀπὸ τῶν ὑμετέρων

ὑπη-

ὑπηκόων, ἡμᾶς δὲ ἀπὸ τῆς προκειμένης τε ξυμμαχίας εἴρξουσι, καὶ ἀπὸ τῆς ἄλλοθέν ποθεν ὠφελείας· εἶτα ἐν ἀδικήματι θήσονται, πεισθέντων ὑμῶν ἃ δεόμεθα. Πολὺ δὲ ἐν πλείονι αἰτίᾳ ἡμεῖς μὴ πείσαντες ὑμᾶς, ἕξομεν· ἡμᾶς μὲν γὰρ κινδυνεύοντας, καὶ οὐκ ἐχθροὺς ὄντας, ἀπώσεσθε· τῶνδε δὲ οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων, καὶ ἐπιόντων γενήσεσθε, ἀλλὰ καὶ ἀπὸ τῆς ὑμετέρας ἀρχῆς δύναμιν προσλαβεῖν περιόψεσθε, ἣν οὐ δίκαιον, ἀλλ' ἢ κἀκείνων κωλύειν τοὺς ἐκ τῆς ὑμετέρας μισθοφόρους, ἢ καὶ ἡμῖν πέμπειν, καθ' ὅτι ἂν πεισθῆτε, ὠφέλειαν· μάλιστα δὲ ἀπὸ τοῦ προφανοῦς δεξαμένους, βοηθεῖν. Πολλὰ δέ, ὥσπερ ἐν ἀρχῇ ὑπείπομεν, τὰ ξυμφέροντα ἀποδείκνυμεν· καὶ μέγιστον, ὅτι οἵ τε αὐτοὶ πολέμιοι ὑμῖν ἦσαν, ὅπερ σαφεστάτη πίστις, καὶ οὗτοι οὐκ ἀσθενεῖς, ἀλλ' ἱκανοὶ τοὺς μεταστάντας βλάψαι· καὶ ναυτικῆς καὶ οὐκ ἠπειρώτιδος τῆς ξυμμαχίας διδομένης, οὐχ ὁμοία ἡ ἀλλοτρίωσις· ἀλλὰ μάλιστα μὲν, εἰ δύνασθε, μηδένα ἄλλον ἐᾶν κεκτῆσθαι ναῦς, εἰ δὲ μή, ὅστις ἐχυρώτατος, τοῦτον φίλον ἔχειν. Καὶ ὅτῳ τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι, φοβεῖται δὲ μὴ δι' αὐτὰ πειθόμενος τὰς σπονδὰς λύσῃ, γνώτω τὸ μὲν δεδιὸς αὐτοῦ ἰσχὺν ἔχον, τοὺς ἐναντίους μᾶλλον φοβῆσον· τὸ δὲ θαρσοῦν μὴ δεξαμένου, ἀσθενὲς ὂν πρὸς ἰσχύοντας τοὺς ἐχθροὺς ἀδεέστερον ἐσόμενον. Καὶ ἅμα οὐ περὶ τῆς Κερκύρας νῦν τὸ πλέον, ἢ δὲ τῶν Ἀθηνῶν βουλευόμενος· καὶ οὐ τὰ κράτιστα αὐταῖς προνοῶν, ὅταν ἐς τὸν μέλλοντα, καὶ ὅσον οὔπω παρόντα πόλεμον, τὸ αὐτίκα περισκοπῶν, ἐνδοιάζῃ χωρίον προσλαβεῖν, ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦταί τε, καὶ πολεμοῦται· τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας καλῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυτικὸν ἐᾶσαι Πελοποννησίοις ἐπελθεῖν, τό, τε ἐνθένδε πρὸς τἀκεῖ παραπέμψαι, καὶ ἐς τἆλλα ξυμφορώτατόν ἐστι. Βραχυτάτῳ δ' ἂν κεφαλαίῳ τοῖς τε ξύμπασι καὶ καθέκαστον, τῷδ' ἂν μὴ προέσθαι ἡμᾶς μάθοιτε· τρία μὲν ὄντα λόγου ἄξια τοῖς Ἕλλησι ναυτικά, τὸ παρ' ὑμῖν, καὶ τὸ ἡμέτερον, καὶ τὸ Κορινθίων, τούτων δ' εἰ περιόψεσθε τὰ δύο ἐς τὸ αὐτὸ ἐλθεῖν, καὶ Κορίνθιοι ἡμᾶς προκαταλήψονται, Κερκυραίοις τε καὶ Πελοποννησίοις ἅμα ναυμαχήσετε· δεξάμενοι δὲ ἡμᾶς, ἕξετε πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ἡμετέραις ἀγωνίζεσθαι. Τοιαῦτα μὲν οἱ Κερκυραῖοι εἶπον· οἱ δὲ Κορίνθιοι, μετ' αὐτοὺς τοιάδε.

ΔΗ-

## ΔΗΜΗΓΟΡΙ'Α ΚΟΡΙΝΘΙ'ΩΝ.

ἈΝαγκαῖον, Κερκυραίων τῶνδε οὐ μόνον περὶ τοῦ δέξασθαι σφᾶς τὸν λόγον ποιησαμένων, ἀλλ' ὡς καὶ ἡμεῖς τε ἀδικοῦμεν, καὶ αὐτοὶ οὐκ εἰκότως πολεμοῦνται, μνησθέντας πρῶτον καὶ ἡμᾶς περὶ ἀμφοτέρων, οὕτω καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰέναι, ἵνα τὴν ἀφ' ἡμῶν τε ἀξίωσιν ἀσφαλέστερον προειδῆτε, καὶ τὴν τῶνδε χρείαν μὴ ἀλογίστως ἀπώσησθε. Φασὶ δὲ ξυμμαχίαν διὰ τὸ σῶφρον οὐδενός πω δέξασθαι· τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν, ξύμμαχόν τε οὐδένα βουλόμενοι πρὸς τἀδικήματα, οὐδὲ μάρτυρα ἔχειν, οὔτε παρακαλοῦντες αἰσχύνεσθαι· καὶ ἡ πόλις αὐτῶν ἅμα αὐτάρκη θέσιν κειμένη, παρέχει αὐτοὺς δικαστὰς, ὧν βλάπτουσί τινας μᾶλλον, ἢ κατὰ ξυνθήκας γίγνεσθαι, διὰ τὸ ἥκιστα ἐπὶ τοὺς πέλας ἐκπλέοντας, μάλιστα τοὺς ἄλλους ἀνάγκῃ καταίροντας δέχεσθαι· κἀν τούτῳ τὸ εὐπρεπὲς ἄσπονδον, οὐχ ἵνα μὴ ξυναδικῶσιν ἑτέροις, προβέβληνται, ἀλλ' ὅπως κατὰ μόνας ἀδικῶσι, καὶ ὅπως ἐν ᾧ μὲν ἂν κρατῶσι, βιάζωνται· οὗ δ' ἂν λάθωσι, πλέον ἔχωσιν· ἢν δέ πού τι προσλάβωσιν, ἀναισχυντῶσι· καί τοι εἰ ἦσαν ἄνδρες, ὥσπερ φασὶν, ἀγαθοὶ, ὅσῳ ἀληπτότεροι ἦσαν τοῖς πέλας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν διδοῦσι, καὶ δεχομένοις τὰ δίκαια, δεικνύναι· ἀλλ' οὔτε πρὸς τοὺς ἄλλους, οὔτε ἐς ἡμᾶς τοιοίδε εἰσίν· ἄποικοι δ' ὄντες, ἀφεστᾶσί τε διαπαντὸς, καὶ νῦν πολεμοῦσι, λέγοντες, ὡς οὐκ ἐπὶ τῷ κακῶς πάσχειν ἐκπεμφθείησαν· ἡμεῖς δὲ οὐδ' αὐτοί φαμεν ἐπὶ τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ τῷ ἡγεμόνες τε εἶναι, καὶ τὰ εἰκότα θαυμάζεσθαι· αἱ γοῦν ἄλλαι ἀποικίαι τιμῶσιν ἡμᾶς, καὶ μάλιστα ὑπὸ ἀποίκων στεργόμεθα· καὶ δῆλον ὅτι εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμεν, τοῖσδ' ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν, οὐδ' ἐπιστρατεύοιμεν ἀπρεπῶς, μὴ καὶ διαφερόντως τι ἀδικούμενοι· καλὸν δ' ἦν, εἰ καὶ ἡμαρτάνομεν, τοῖσδε μὲν, εἶξαι τῇ ἡμετέρᾳ ὀργῇ, ἡμῖν δὲ, αἰσχρὸν βιάσασθαι τὴν τούτων μετριότητα· ὕβρει δὲ καὶ ἐξουσίᾳ πλούτου, πολλὰ ἐς ἡμᾶς ἄλλα τε ἡμαρτήκασι, καὶ Ἐπίδαμνον ἡμετέραν οὖσαν, κακουμένην μὲν, οὐ προσεποιοῦντο· ἐλθόντων δὲ ἡμῶν ἐπὶ τιμωρίᾳ, ἑλόντες βίᾳ, ἔχουσι. Καί φασι δὴ

δίκῃ

δίκῃ πρότερον ἐθελῆσαι κρίνεσθαι, ἥν γε οὐ τὸν προὔχοντα, καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον λέγειν τι, δοκεῖν δεῖ τηρεῖν, ἀλλὰ τὸν ἐς ἴσον τὰ ἔργα ὁμοίως, καὶ τοὺς λόγους πρὶν διαγωνίζεσθαι, καθιστάντα· οὗτοι δ' οὐ πρὶν πολιορκεῖν τὸ χωρίον, ἀλλ' ἐπειδὴ ἡγήσαντο ἡμᾶς οὐ περιόψεσθαι, τότε καὶ τὸ εὐπρεπὲς τῆς δίκης παρέσχοντο· καὶ δεῦρο ἥκουσιν, οὐ τἀκεῖ μόνον αὐτοὶ ἁμαρτόντες, ἀλλὰ καὶ ὑμᾶς νῦν ἀξιοῦντες οὐ ξυμμαχεῖν, ἀλλὰ ξυναδικεῖν· καὶ διαφόρους ὄντας ἡμῖν, δέχεσθαι σφᾶς, οὓς χρῆν ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προσιέναι, καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν ἠδικήμεθα, οὗτοι δὲ κινδυνεύουσι, μηδ' ἐν ᾧ ὑμεῖς τούτε δυνάμεως αὐτῶν τότε οὐ μεταλαβόντες, τῆς ὠφελείας νῦν μεταδώσετε, καὶ τῶν ἁμαρτημάτων ἀπογενόμενοι, τῆς ἀφ' ἡμῶν αἰτίας τὸ ἴσον ἕξετε· πάλαι δὲ κοινώσαντας τὴν δύναμιν, κοινὰ καὶ τὰ ἀποβαίνοντα ἔχειν· ἐγκλημάτων δὲ μόνων ἀμετόχους, οὕτω τῶν μετὰ τὰς πράξεις τούτων μὴ κοινωνεῖν. Ὡς μὲν οὖν αὐτοί τε μετὰ προσηκόντων τῶν τοῦ δικαίου κεφαλαίων ἐς ὑμᾶς ἐρχόμεθα, καὶ οἵδε βίαιοι καὶ πλεονέκται εἰσί, δεδήλωται· ὡς δὲ οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε μαθεῖν χρή· εἰ γὰρ εἴρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι παρ' ὁποτέρους τις τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν, οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστίν, ἀλλ' ὅστις μὴ ἄλλου ἑαυτὸν ἀποστερῶν, ἀσφαλείας δεῖται, καὶ ὅστις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι, πόλεμον ἀντ' εἰρήνης ποιήσει, ὃ νῦν ὑμεῖς μὴ πειθόμενοι ἡμῖν, πάθοιτε ἄν. Οὐ γὰρ τοῖσδε μόνον ἐπίκουροι ἂν γένοισθε, ἀλλὰ καὶ ἡμῖν ἀντὶ ἐνσπόνδων πολέμιοι. ἀνάγκη γὰρ, εἰ ἴτε μετ' αὐτῶν, καὶ ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τούτους· καίτοι δίκαιοί γ' ἐστὲ, μάλιστα μὲν ἐκποδὼν στῆναι ἀμφοτέροις· εἰ δὲ μὴ, τοὐναντίον, ἐπὶ τούτους μεθ' ὑμῶν ἰέναι· (Κορινθίοις μέν γε ἔνσπονδοί ἐστε, Κερκυραίοις δὲ, οὐδὲ δι' ἀνακωχῆς πώποτ' ἐγένεσθε·) καὶ τὸν νόμον μὴ καθιστάναι, ὥστε τοὺς ἑτέρων ἀφισταμένους δέχεσθαι· οὐδὲ γὰρ ἡμεῖς, Σαμίων ἀποστάντων, ψῆφον προσεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων Πελοποννησίων δίχα ἐψηφισμένων εἰ χρὴ αὐτοῖς ἀμύνειν· φανερῶς δὲ ἀντείπομεν, τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν· εἰ γὰρ τοὺς κακόν τι δρῶντας δεχόμενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόσεισι, καὶ τὸν νόμον ἐφ' ὑμῖν αὐτοῖς μᾶλλον, ἢ

ἐφ' ἡμῖν θήσετε. Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν ἱκανὰ, κατὰ τοὺς Ἑλλήνων νόμους· παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε, ἣν οὐκ ἐχθροὶ ὄντες, ὥστε βλάπτειν, οὐδ' αὖ φίλοι, ὥστ' ἐπιχρῆσθαι, ἀντιδοθῆναι ἡμῖν ἐν τῷ παρόντι φαμὲν χρῆναι· νεῶν γὰρ μακρῶν σπανίσαντές ποτε τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδικὰ πόλεμον, παρὰ Κορινθίων εἴκοσι ναῦς ἐλάβετε· καὶ ἡ εὐεργεσία αὕτη τε, καὶ ἡ ἐς Σαμίους, τὸ δι' ἡμᾶς Πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, παρέσχεν ὑμῖν Αἰγινητῶν μὲν ἐπικράτησιν, Σαμίων δὲ κόλασιν. Καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο, οἷς μάλιστα ἄνθρωποι ἐπ' ἐχθροὺς τοὺς σφετέρους ἰόντες, τῶν ἁπάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν· φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἢν δὲ πρότερον ἐχθρὸς ᾖ, πολέμιόν τε τὸν ἀντιστάντα, ἢν καὶ τύχῃ φίλος ὤν, ἐπεὶ καὶ τὰ οἰκεῖα χεῖρον τίθενται, φιλονεικίας ἕνεκα τῆς αὐτίκα· ὧν ἐνθυμηθέντες, καὶ νεώτερός τις παρὰ πρεσβυτέρου αὐτὰ μαθὼν, ἀξιούτω τοῖς ὁμοίοις ὑμᾶς ἀμύνεσθαι· καὶ μὴ νομίσῃ δίκαια μὲν τάδε λέγεσθαι, ξύμφορα δὲ, εἰ πολεμήσει, ἄλλα εἶναι. Τό, τε γὰρ ξυμφέρον, ἐν ᾧ ἄν τις ἐλάχιστα ἁμαρτάνοι, μάλιστα ἕπεται· καὶ τὸ μέλλον τοῦ πολέμου, ᾧ φοβοῦντες ὑμᾶς Κερκυραῖοι, κελεύουσιν ἀδικεῖν, ἐν ἀφανεῖ ἔτι κεῖται· καὶ οὐκ ἄξιον ἐπαρθέντας αὐτῷ, φανερὰν ἔχθραν ἤδη, καὶ οὐ μέλλουσαν πρὸς Κορινθίους κτήσασθαι· τῆς δὲ ὑπαρχούσης πρότερον διὰ Μεγαρέας ὑποψίας σῶφρον ὑφελεῖν μᾶλλον. ἡ γὰρ τελευταία χάρις καιρὸν ἔχουσα, κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα λῦσαι. Μηδ' ὅτι ναυτικοῦ ξυμμαχίαν μεγάλην διδόασι, τούτῳ ἐφέλκεσθε. τὸ γὰρ μὴ ἀδικεῖν τοὺς ὁμοίους, ἐχυρωτέρα δύναμις, ἢ τῷ αὐτίκα φανερῷ ἐπαρθέντας, διὰ κινδύνων τὸ πλέον ἔχειν. Ἡμεῖς δὲ περιπεπτωκότες οἷς ἐν τῇ Λακεδαίμονι αὐτοὶ προείπομεν, τοὺς σφετέρους ξυμμάχους αὐτόν τινα κολάζειν, νῦν παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι, καὶ μὴ τῇ ἡμετέρᾳ ψήφῳ ὠφεληθέντας, τῇ ὑμετέρᾳ ἡμᾶς βλάψαι· τὸ δ' ἴσον ἀνταπόδοτε, γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρὸν, ἐν ᾧ ὅ τε ὑπουργῶν, φίλος μάλιστα, καὶ ὁ ἀντιστὰς, ἐχθρός· καὶ Κερκυραίους τε τούσδε, μήτε ξυμμάχους δέχησθε βίᾳ ἡμῶν, μήτε ἀμύνητε αὐτοῖς ἀδικοῦσι· καὶ τάδε ποιοῦντες, τὰ προσήκον-

τά τε δρᾶτε, καὶ τὰ ἄριστα βουλεύεσθε ὑμῖν αὐτοῖς. Τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον.

## ΔΗΜΗΓΟΡΙ'Α ΚΟΡΙΝΘΙ'ΩΝ

## Ε'ΠΙ' ΛΑΚΕΔΑΙΜΟΝΙ'ΟΥΣ ΠΕΡΙ' ΤΩ͂Ν Α'ΔΙΚΗΣΑ'ΝΤΩΝ Α'ΘΗΝΑΙ'ΩΝ.

Τὸ πιστὸν ὑμᾶς, ὦ Λακεδαιμόνιοι, τῆς καθ' ὑμᾶς αὐτοὺς πολιτείας, καὶ ὁμιλίας ἀπιστοτέρους ἐς τοὺς ἄλλους, ἤν τι λέγωμεν, καθίστησι· καὶ ἀπ' αὐτοῦ, σωφροσύνην μὲν ἔχετε, ἀμαθίᾳ δὲ πλείονι πρὸς τὰ ἔξω πράγματα χρῆσθε. Πολλάκις γὰρ προαγορευόντων ἡμῶν ἃ ἐμέλλομεν ὑπὸ Ἀθηναίων βλάπτεσθαι, οὐ περὶ ὧν ἐδιδάσκομεν ἑκάστοτε τὴν μάθησιν ἐποιεῖσθε, ἀλλὰ τῶν λεγόντων μᾶλλον ὑπενοεῖτε, ὡς ἕνεκα τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσι· καὶ δι' αὐτὸ οὐ πρὶν πάσχειν, ἀλλ' ἐπειδὴ ἐν τῷ ἔργῳ ἐσμέν, τοὺς ξυμμάχους τούσδε παρεκαλέσατε, ἐν οἷς προσήκει ἡμᾶς οὐχ ἥκιστα εἰπεῖν, ὅσῳ καὶ μέγιστα ἐγκλήματα ἔχομεν, ὑπὸ μὲν Ἀθηναίων ὑβριζόμενοι, ὑπὸ δὲ ὑμῶν ἀμελούμενοι. Καὶ εἰ μὲν ἀφανεῖς που ὄντες ἠδίκουν τὴν Ἑλλάδα, διδασκαλίας ἂν ὡς οὐκ εἰδόσι προσέδει· νῦν δὲ τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν δεδουλωμένους ὁρᾶτε, τοῖς δ' ἐπιβουλεύοντας αὐτούς, καὶ οὐχ ἥκιστα τοῖς ἡμετέροις ξυμμάχοις, καὶ ἐκ πολλοῦ προπαρεσκευασμένους, εἴποτε ἄρα πολεμήσονται. Οὐ γὰρ ἂν Κέρκυράν τε ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον, καὶ Ποτίδαιαν ἐπολιόρκουν· ὧν τὸ μὲν, ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ Θρᾴκης ἐπιχρῆσθαι, ἡ δὲ ναυτικὸν ἂν μέγιστον παρέσχε Πελοποννησίοις. Καὶ τῶνδε ὑμεῖς αἴτιοι, τό, τε πρῶτον ἐάσαντες αὐτοὺς τὴν πόλιν μετὰ τὰ Μηδικὰ κρατῦναι, καὶ ὕστερον τὰ μακρὰ στῆσαι τείχη· ἐς τόδε τε αἰεὶ ἀποστεροῦντες, οὐ μόνον τοὺς ὑπ' ἐκείνων δεδουλωμένους ἐλευθερίας, ἀλλὰ καὶ τοὺς ὑμετέρους ἤδη ξυμμάχους. Οὐ γὰρ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ, ἀληθέστερον αὐτὸ δρᾷ, εἴπερ καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς, ὡς ἐλευθερῶν τὴν Ἑλλάδα φέρεται. Μόλις δὲ νῦν τε ξυνήλθομεν, καὶ οὐδὲ νῦν ἐπὶ φανεροῖς· χρῆν γὰρ οὐκ εἰ ἀδικούμεθα ἔτι σκοπεῖν, ἀλλὰ καθότι ἀμυνούμεθα· οἱ γὰρ δρῶντες βεβουλευμένοι πρὸς

οὐ διε-

ȣ̓ διεγνωκότας ἤδη, καὶ ȣ̓ μέλλοντες ἐπέρχονται. καὶ ἐπιστάμεθα οἵᾳ ὁδῷ οἱ Ἀθηναῖοι, καὶ ὅτι κατ' ὀλίγον χωρȣ̃σιν ἐπὶ τȣ̀ς πέλας· καὶ λανθάνειν μὲν οἰόμενοι διὰ τὸ ἀναίσθητον ὑμῶν, ἧσσον θαῤῥȣ̃σι· γνόντες δὲ εἰδότας περιορᾶν, ἰσχυρῶς ἐγκείσονται. Ἡσυχάζετε γὰρ μόνοι Ἑλλήνων, ὦ Λακεδαιμόνιοι, ȣ̓ τῇ δυνάμει τινὰ, ἀλλὰ τῇ μελλήσει ἀμυνόμενοι· καὶ μόνοι ȣ̓κ ἀρχομένην τὴν αὔξησιν τῶν ἐχθρῶν, διπλασιουμένην δὲ καταλύοντες. Καίτοι ἐλέγεσθε ἀσφαλεῖς εἶναι, ὧν ἄρα ὁ λόγος τȣ̃ ἔργȣ ἐκράτει· τόντε γὰρ Μῆδον αὐτοὶ ἴσμεν ἐκ περάτων γῆς πρότερον ἐπὶ τὴν Πελοπόννησον ἐλθόντα, ἢ τὰ παρ' ὑμῶν ἀξίως προαπαντῆσαι· καὶ νῦν τȣ̀ς Ἀθηναίȣς ȣ̓χ ἑκὰς, ὥσπερ ἐκεῖνον, ἀλλ' ἐγγὺς ὄντας, περιορᾶτε, καὶ ἀντὶ τȣ̃ ἐπελθεῖν αὐτοὶ, ἀμύνεσθαι βȣ́λεσθε μᾶλλον ἐπιόντας, καὶ ἐς τύχας πρὸς πολλῷ δυνατωτέρȣς ἀγωνιζόμενοι καταστῆναι, ἐπιστάμενοι καὶ τὸν βάρβαρον αὐτὸν περὶ αὑτῷ τὰ πλείω σφαλέντα, καὶ πρὸς αὐτȣ̀ς τȣ̀ς Ἀθηναίȣς, πολλὰ ἡμᾶς ἤδη τοῖς ἁμαρτήμασιν αὐτῶν μᾶλλον, ἢ τῇ ἀφ' ὑμῶν τιμωρίᾳ περιγεγενημένȣς· ἐπεὶ αἵγε ὑμέτεραι ἐλπίδες ἤδη τινάς πȣ καὶ ἀπαρασκεύȣς διὰ τὸ πιστεῦσαι ἔφθειραν. Καὶ μηδεὶς ὑμῶν ἐπ' ἔχθρᾳ τὸ πλέον, ἢ αἰτίᾳ νομίσῃ τάδε λέγεσθαι. αἰτία μὲν γὰρ, φίλων ἀνδρῶν ἐστιν ἁμαρτανόντων· κατηγορία δὲ, ἐχθρῶν ἀδικησάντων. Καὶ ἅμα, εἴπερ τινὲς καὶ ἄλλοι, νομίζομεν ἄξιοι εἶναι τοῖς πέλας ψόγον ἐπενεγκεῖν· ἄλλως τε καὶ μεγάλων τῶν διαφερόντων καθεστώτων, περὶ ὧν ȣ̓κ αἰσθάνεσθαι ἡμῖν γε δοκεῖτε, ȣ̓δ' ἐκλογίσασθαι πώποτε πρὸς οἵȣς ὑμῖν Ἀθηναίȣς ὄντας, καὶ ὅσον ὑμῶν, καὶ ὡς πᾶν διαφέροντας, ὁ ἀγὼν ἔσται· οἱ μέν γε νεωτεροποιοὶ, καὶ ἐπινοῆσαι ὀξεῖς, καὶ ἐπιτελέσαι ἔργῳ, ὃ ἂν γνῶσιν· ὑμεῖς δὲ τὰ ὑπάρχοντά τε σώζειν, καὶ ἐπιγνῶναι μηδὲν, καὶ ἔργῳ ȣ̓δὲ τἀναγκαῖα ἐξικέσθαι. Αὖθις δὲ οἱ μὲν, καὶ παρὰ δύναμιν τολμηταὶ, καὶ παρὰ γνώμην κινδυνευταὶ, καὶ ἐν τοῖς δεινοῖς εὐέλπιδες· τὸ δὲ ὑμέτερον, τῆς τε δυνάμεως ἐνδεᾶ πρᾶξαι, τῆς τε γνώμης, μηδὲ τοῖς βεβαίοις πιστεῦσαι, τῶν τε δεινῶν μηδέποτε οἴεσθαι ἀπολυθήσεσθαι. Καὶ μὴν καὶ ἄοκνοι πρὸς ὑμᾶς μελλητὰς, καὶ ἀποδημηταὶ πρὸς ἐνδημοτάτȣς· οἴονται γὰρ οἱ μὲν, τῇ ἀπουσίᾳ ἄν τι κτᾶσθαι, ὑμεῖς δὲ, τῷ ἐ-

πελθεῖν, καὶ τὰ ἑτοῖμα ἂν βλάψαι· κρατοῦντές τε τῶν ἐχθρῶν, ἐπὶ πλεῖστον ἐξέρχονται, καὶ νικώμενοι, ἐπ' ἐλάχιστον ἀναπίπτουσιν. Ἔτι δὲ, τοῖς μὲν σώμασιν, ἀλλοτριωτάτοις ὑπὲρ τῆς πόλεως χρῶνται, τῇ δὲ γνώμῃ οἰκειοτάτῃ ἐς τὸ πράσσειν τι ὑπὲρ αὐτῆς· καὶ ἃ μὲν ἂν ἐπινοήσαντες μὴ ἐπεξέλθωσιν, οἰκείων στέρεσθαι ἡγοῦνται· ἃ δ' ἂν ἐπελθόντες κτήσωνται, ὀλίγα πρὸς τὰ μέλλοντα τυχεῖν πράξαντες. ἢν δ' ἄρα του καὶ πείρᾳ σφαλῶσιν, ἀντελπίσαντες ἄλλα ἐπλήρωσαν τὴν χρείαν· μόνοι γὰρ ἔχουσί τε ὁμοίως, καὶ ἐλπίζουσιν ἃ ἂν ἐπινοήσωσι, διὰ τὸ ταχεῖαν τὴν ἐπιχείρησιν ποιεῖσθαι ὧν ἂν γνῶσι. Καὶ ταῦτα μετὰ πόνων πάντα καὶ κινδύνων δι' ὅλου τοῦ αἰῶνος μοχθοῦσι· καὶ ἀπολαύουσιν ἐλάχιστα τῶν ὑπαρχόντων, διὰ τὸ αἰεὶ κτᾶσθαι· καὶ μήτε ἑορτὴν ἄλλο τι ἡγεῖσθαι, ἢ τὸ τὰ δέοντα πρᾶξαι· ξυμφοράν τε οὐχ ἧσσον, ἡσυχίαν ἀπράγμονα, ἢ ἀσχολίαν ἐπίπονον. Ὥς τε εἴ τις αὐτοὺς ξυνελὼν φαίη πεφυκέναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν, μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾷν, ὀρθῶς ἂν εἴποι. Ταύτης μέντοι τοιαύτης ἀντικαθεστηκυίας πόλεως, ὦ Λακεδαιμόνιοι, διαμέλλετε· καὶ οἴεσθε τὴν ἡσυχίαν οὐ τούτοις τῶν ἀνθρώπων ἐπιπλεῖστον ἀρκεῖν, οἳ ἂν τῇ μὲν παρασκευῇ δίκαια πράσσωσι, τῇ δὲ γνώμῃ, ἢν ἀδικῶνται, δῆλοι ὦσι μὴ ἐπιτρέψοντες· ἀλλ' ἐπὶ τῷ μὴ λυπεῖν τε τοὺς ἄλλους, καὶ αὐτοὶ ἀμυνόμενοι μὴ βλάπτεσθαι, τὸ ἴσον νέμετε. Μόλις δ' ἂν πόλει ὁμοίᾳ παροικοῦντες ἐτυγχάνετε τούτου· νῦν δ' ὅπερ καὶ ἄρτι ἐδηλώσαμεν, ἀρχαιότροπα ὑμῶν τὰ ἐπιτηδεύματα πρὸς αὐτούς ἐστιν. ἀνάγκη δ' ὥσπερ τέχνης αἰεὶ τὰ ἐπιγιγνόμενα κρατεῖν· καὶ ἡσυχαζούσῃ μὲν πόλει τὰ ἀκίνητα νόμιμα ἄριστα, πρὸς πολλὰ δὲ ἀναγκαζομένοις ἰέναι, πολλῆς καὶ τῆς ἐπιτεχνήσεως δεῖ· διόπερ καὶ τὰ τῶν Ἀθηναίων ἀπὸ τῆς πολυπειρίας ἐπιπλέον ὑμῶν κεκαίνωται. μέχρι μὲν οὖν τοῦδε ὡρίσθω ὑμῶν ἡ βραδυτής. Νῦν δὲ τοῖς τε ἄλλοις, καὶ Ποτιδαιάταις, ὥσπερ ὑπεδέξασθε, βοηθήσατε κατὰ τάχος ἐσβαλόντες ἐς τὴν Ἀττικὴν, ἵνα μὴ ἄνδρας τε φίλους, καὶ ξυγγενεῖς τοῖς ἐχθίστοις προῆσθε, καὶ ἡμᾶς τοὺς ἄλλους ἀθυμίᾳ πρὸς ἑτέραν τινὰ ξυμμαχίαν τρέψητε. δρῷμεν δ' ἂν ἄδικον οὐδὲν, οὔτε πρὸς θεῶν τῶν ὁρκίων, οὔτε πρὸς ἀνθρώπων τῶν αἰσθανομένων· λύουσι γὰρ

σπον-

σπονδὰς οὐχ οἱ δι' ἐρημίαν ἄλλοις προσιόντες, ἀλλ' οἱ μὴ βοηθοῦντες οἷς ἂν ξυνομόσωσι. βουλομένων δὲ ὑμῶν προθύμων εἶναι, μενοῦμεν· οὔτε γὰρ ὅσια ἂν ποιοῖμεν μεταβαλλόμενοι, οὔτε ξυνηθεστέρους ἂν ἄλλους εὕροιμεν. Πρὸς τάδε βουλεύεσθε εὖ, καὶ τὴν Πελοπόννησον πειρᾶσθε μὴ ἐλάσσω ἐξηγεῖσθαι, ἢ οἱ πατέρες ὑμῖν παρέδοσαν.

## ΔΗΜΗΓΟΡΙ'Α Α'ΘΗΝΑΙ'ΩΝ.

Ἡ Μὲν πρέσβευσις ἡμῶν οὐκ ἐς ἀντιλογίαν τοῖς ἡμετέροις ξυμμάχοις ἐγένετο, ἀλλὰ περὶ ὧν ἡ πόλις ἔπεμψεν. Αἰσθόμενοι δὲ καταβοὴν οὐκ ὀλίγην οὖσαν ἡμῶν, παρήλθομεν, οὐ τοῖς ἐγκλήμασι τῶν πόλεων ἀντεροῦντες, (οὐ γὰρ παρὰ δικασταῖς ὑμῖν, οὔτε ἡμῶν, οὔτε τούτων οἱ λόγοι ἂν γίγνοιντο,) ἀλλ' ὅπως μὴ ῥᾳδίως περὶ μεγάλων πραγμάτων, τοῖς ξυμμάχοις πειθόμενοι, χεῖρον βουλεύσησθε· καὶ ἅμα βουλόμενοι περὶ τοῦ παντὸς λόγου τοῦ ἐς ἡμᾶς καθεστῶτος δηλῶσαι, ὡς οὔτε ἀπεικότως ἔχομεν ἃ κεκτήμεθα, ἥ τε πόλις ἡμῶν ἀξία λόγου ἐστί. Καὶ τὰ μὲν πάνυ παλαιὰ τί δεῖ λέγειν, ὧν ἀκοαὶ μᾶλλον λόγων μάρτυρες, ἢ ὄψεις τῶν ἀκουσομένων; τὰ δὲ Μηδικὰ, καὶ ὅσα αὐτοὶ ξύνισε, εἰ καὶ δι' ὄχλου μᾶλλον ἔσται ἀεὶ προβαλλομένοις, ἀνάγκη λέγειν. Καὶ γὰρ ὅτε ἐδρῶμεν, ἐπ' ὠφελείᾳ ἐκινδυνεύετο, ἧς τοῦ μὲν ἔργου μέρος μετέσχετε, τοῦ δὲ λόγου, μὴ παντὸς, εἴ τι ὠφελεῖ, στερισκώμεθα. ῥηθήσεται δὲ οὐ παραιτήσεως μᾶλλον ἕνεκα, ἢ μαρτυρίου, καὶ δηλώσεως, πρὸς οἵαν ὑμῖν πόλιν μὴ εὖ βουλευομένοις ὁ ἀγὼν καταστήσεται. Φαμὲν γὰρ Μαραθῶνί τε μόνοι προκινδυνεῦσαι τῷ βαρβάρῳ, καὶ ὅτε τὸ ὕστερον ἦλθεν, οὐχ ἱκανοὶ ὄντες κατὰ γῆν ἀμύνεσθαι, ἐσβάντες ἐς τὰς ναῦς πανδημεὶ, ἐν Σαλαμῖνι ξυνναυμαχῆσαι, ὅπερ ἔσχε, μὴ κατὰ πόλεις αὐτὸν ἐπιπλέοντα τὴν Πελοπόννησον πορθεῖν, ἀδυνάτων ὄντων πρὸς ναῦς πολλὰς ἀλλήλοις ἐπιβοηθεῖν· τεκμήριον δὲ μέγιστον αὐτὸς ἐποίησε. Νικηθεὶς γὰρ ταῖς ναυσὶν, ὡς οὐκέτι αὐτῷ ὁμοίας οὔσης τῆς δυνάμεως, κατὰ τάχος τῷ πλέονι τοῦ στρατοῦ ἀνεχώρησε· τοιούτου μέντοι τούτου ξυμβάντος, καὶ σαφῶς δηλωθέντος, ὅτι ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων τὰ πράγματα ἐγένετο,

τρία τὰ ὠφελιμώτατα ἐς αὐτὸ παρεσχόμεθα, ἀριθμόν τε νεῶν πλεῖστον, καὶ ἄνδρα στρατηγὸν ξυνετώτατον, καὶ προθυμίαν ἀοκνοτάτην· ναῦς μέν γε ἐς τὰς τετρακοσίας ὀλίγῳ ἐλάσσους τῶν δύο μοιρῶν. Θεμιστοκλέα δὲ ἄρχοντα, ὃς αἰτιώτατος ἐν τῷ στενῷ ναυμαχῆσαι ἐγένετο, ὅπερ σαφέστατα ἔσωσε τὰ πράγματα· καὶ αὐτὸν διὰ τοῦτο ὑμεῖς ἐτιμήσατε, μάλιστα δὴ ἄνδρα ξένον τῶν ὡς ὑμᾶς ἐλθόντων. προθυμίαν δὲ καὶ πολὺ τολμηροτάτην ἐδείξαμεν, οἵγε ἐπειδὴ ἡμῖν κατὰ γῆν οὐδεὶς ἐβοήθει, τῶν ἄλλων ἤδη μέχρι ἡμῶν δουλευόντων, ἠξιώσαμεν ἐκλιπόντες τὴν πόλιν, καὶ τὰ οἰκεῖα διαφθείραντες, μηδ' ὡς τὸ τῶν περιλοίπων ξυμμάχων κοινὸν προλιπεῖν, μηδὲ σκεδασθέντες, ἀχρεῖοι αὐτοῖς γενέσθαι, ἀλλ' ἐσβάντες ἐς τὰς ναῦς, κινδυνεῦσαι, καὶ μὴ ὀργισθῆναι ὅτι ἡμῖν οὐ προετιμωρήσατε. Ὥστε φαμὲν οὐχ ἧσσον αὐτοὶ ὠφελῆσαι ὑμᾶς, ἢ τυχεῖν τούτου· ὑμεῖς μὲν γὰρ ἀπό τε οἰκουμένων τῶν πόλεων, καὶ ἐπὶ τῷ τὸ λοιπὸν νέμεσθαι, ἐπειδὴ ἐδείσατε ὑπὲρ ὑμῶν, καὶ οὐχ ἡμῶν τὸ πλέον, ἐβοηθήσατε· ὅτε γοῦν ἦμεν ἔτι σῷοι, οὐ παρεγένεσθε· ἡμεῖς δὲ ἀπό τε τῆς οὐκ οὔσης ἔτι ὁρμώμενοι, καὶ ὑπὲρ τῆς ἐν βραχείᾳ ἐλπίδι οὔσης κινδυνεύοντες, ξυνεσώσαμεν ὑμᾶς τε τὸ μέρος, καὶ ἡμᾶς αὐτούς. Εἰ δὲ προσεχωρήσαμεν πρότερον τῷ Μήδῳ δείσαντες, ὥσπερ καὶ ἄλλοι, περὶ τῇ χώρᾳ, ἢ μὴ ἐτολμήσαμεν ὕστερον ἐσβῆναι ἐς τὰς ναῦς, ὡς διεφθαρμένοι, οὐδὲν ἂν ἔτι ἔδει ὑμᾶς μὴ ἔχοντας ναῦς ἱκανὰς ναυμαχεῖν, ἀλλὰ καθ' ἡσυχίαν ἂν αὐτῷ προεχώρησε τὰ πράγματα, ᾗ ἐβούλετο. Ἆρ' ἄξιοι ἐσμέν, ὦ Λακεδαιμόνιοι, καὶ προθυμίας ἕνεκα τῆς τότε, καὶ γνώμης ξυνέσεως, ἀρχῆς τε, ἧς ἔχομεν, τοῖς Ἕλλησι μὴ οὕτως ἄγαν ἐπιφθόνως διακεῖσθαι; καὶ γὰρ αὐτὴν τήνδε ἐλάβομεν οὐ βιασάμενοι, ἀλλ' ὑμῶν μὲν οὐκ ἐθελησάντων παραμεῖναι πρὸς τὰ ὑπόλοιπα τοῦ βαρβάρου, ἡμῖν δὲ προσελθόντων τῶν ξυμμάχων, καὶ αὐτῶν δεηθέντων ἡγεμόνας καταστῆναι. ἐξ αὐτοῦ δὲ τοῦ ἔργου κατηναγκάσθημεν τὸ πρῶτον προαγαγεῖν αὐτὴν ἐς τόδε, μάλιστα μὲν ὑπὸ δέους, ἔπειτα δὲ καὶ τιμῆς, ὕστερον καὶ ὠφελίας. Καὶ οὐκ ἀσφαλὲς ἔτι ἐδόκει εἶναι τοῖς πολλοῖς ἀπηχθημένους· καί τινων καὶ ἤδη ἀποστάντων κατεστραμμένων, ὑμῶν τε ἡμῖν οὐκέτι ὁμοίως φίλων, ἀλλ' ὑπόπτων, καὶ διαφόρων ὄντων, ἀνέντας

κιν-

κινδυνεύειν. καὶ γὰρ ἂν αἱ ἀποστάσεις πρὸς ὑμᾶς ἐγίγνοντο. Πᾶσι δὲ ἀνεπίφθονον, τὰ ξυμφέροντα τῶν μεγίστων πέρι κινδύνων εὖ τίθεσθαι· ὑμεῖς γοῦν, ὦ Λακεδαιμόνιοι, τὰς ἐν τῇ Πελοποννήσῳ πόλεις ἐπὶ τὸ ὑμῖν ὠφέλιμον καταστησάμενοι ἐξηγεῖσθε. Καὶ εἰ τότε ὑπομείναντες διαπαντὸς ἀπήχθεσθε ἐν τῇ ἡγεμονίᾳ, ὥσπερ ἡμεῖς, εὖ ἴσμεν μὴ ἂν ἧσσον ὑμᾶς λυπηροὺς γενομένους τοῖς ξυμμάχοις, καὶ ἀναγκασθέντας ἂν ἢ ἄρχειν ἐγκρατῶς, ἢ αὐτοὺς κινδυνεύειν. οὕτως οὐδ᾽ ἡμεῖς θαυμαστὸν οὐδὲν πεποιήκαμεν, οὐδ᾽ ἀπὸ τοῦ ἀνθρωπείου τρόπου, εἰ ἀρχήν τε διδομένην ἐδεξάμεθα, καὶ ταύτην μὴ ἀνεῖμεν ὑπὸ τῶν μεγίστων νικηθέντες, τιμῆς, καὶ δέους, καὶ ὠφελίας. Οὐδ᾽ αὖ πρῶτοι τοῦ τοιούτου ὑπάρξαντες, ἀλλ᾽ αἰεὶ καθεστῶτος, τὸν ἥσσω ὑπὸ τοῦ δυνατωτέρου κατείργεσθαι· ἄξιοί τε ἅμα νομίζοντες εἶναι, καὶ ὑμῖν δοκοῦντες, μέχρις οὗ τὰ ξυμφέροντα λογιζόμενοι, τῷ δικαίῳ λόγῳ νῦν χρῆσθε, ὃν οὐδείς πω παρατυχὸν ἰσχύϊ τι κτήσασθαι, προθεὶς, τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο· ἐπαινεῖσθαί τε ἄξιοι, οἵτινες χρησάμενοι τῇ ἀνθρωπείᾳ φύσει, ὥστε ἑτέρων ἄρχειν, δικαιότεροι, ἢ κατὰ τὴν ὑπάρχουσαν δύναμιν γένωνται. ἄλλους γ᾽ ἂν οὖν οἰόμεθα τὰ ἡμέτερα λαβόντας δεῖξαι ἂν μάλιστα εἴ τι μετριάζομεν. Ἡμῖν δὲ καὶ ἐκ τοῦ ἐπιεικοῦς ἀδοξία τὸ πλέον, ἢ ἔπαινος οὐκ εἰκότως περιέστη. καὶ ἐλασσούμενοι γὰρ ἐν ταῖς ξυμβολαίαις πρὸς τοὺς ξυμμάχους δίκαις, καὶ παρ᾽ ἡμῖν αὐτοῖς ἐν τοῖς ὁμοίοις νόμοις ποιήσαντες τὰς κρίσεις, φιλοδικεῖν δοκοῦμεν· καὶ οὐδεὶς σκοπεῖ αὐτῶν, τοῖς καὶ ἄλλοθί που ἀρχὴν ἔχουσι, καὶ ἧσσον ἡμῶν πρὸς τοὺς ὑπηκόους μετρίοις οὖσι, διότι τοῦτο οὐκ ὀνειδίζεται. Βιάζεσθαι γὰρ οἷς ἂν ἐξῇ, δικάζεσθαι οὐδὲν προσδέονται· οἱ δὲ, εἰθισμένοι πρὸς ἡμᾶς ἀπὸ τοῦ ἴσου ὁμιλεῖν, ἤν τι παρὰ τὸ μὴ οἴεσθαι χρῆναι, ἢ γνώμῃ, ἢ δυνάμει τῇ διὰ τὴν ἀρχὴν καὶ ὁπωσοῦν ἐλασσωθῶσιν, οὐ τοῦ πλέονος μὴ στερισκόμενοι χάριν ἔχουσιν, ἀλλὰ τοῦ ἐνδεοῦς, χαλεπώτερον φέρουσιν, ἢ εἰ ἀπὸ πρώτης ἀποθέμενοι τὸν νόμον, φανερῶς ἐπλεονεκτοῦμεν. Ἐκείνως δὲ οὐδ᾽ ἂν αὐτοὶ ἀντέλεγον, ὡς οὐ χρεὼν τὸν ἧσσω τῷ κρατοῦντι ὑποχωρεῖν. ἀδικούμενοί τε, ὡς ἔοικεν, οἱ ἄνθρωποι μᾶλλον ὀργίζονται, ἢ βιαζόμενοι· τὸ μὲν γὰρ ἀπὸ τοῦ ἴσου, δοκεῖ πλεονεκτεῖσθαι, τὸ δ᾽

ὑπὸ τοῦ κρείττονος, καταναγκάζεσθαι, ὑπὸ γὰρ τοῦ Μήδου δεινότερα τούτων πάσχοντες ἠνείχοντο· ἡ δὲ ἡμετέρα ἀρχὴ, χαλεπὴ δοκεῖ εἶναι. εἰκότως· τὸ παρὸν γὰρ ἀεὶ βαρὺ τοῖς ὑπηκόοις. Ὑμεῖς γ' ἂν οὖν εἰ καθελόντες ἡμᾶς ἄρξεται, τάχα ἂν τὴν εὔνοιαν, ἣν διὰ τὸ ἡμέτερον δέος εἰλήφατε, μεταβάλοιτε, εἴπερ οἷα καὶ τότε πρὸς τὸν Μῆδον δι' ὀλίγου ἡγησάμενοι ἀπεδείξατε, ὅμοια καὶ νῦν γνώσεσθε. ἄμικτα γὰρ τά τε καθ' ὑμᾶς αὐτοὺς νόμιμα τοῖς ἄλλοις ἔχετε, καὶ προσέτι εἷς ἕκαστος ἐτιὼν, οὔτε τούτοις χρῆται, οὔθ' οἷς ἡ ἄλλη Ἑλλὰς νομίζει. Βουλεύεσθε οὖν βραδέως, ὡς οὐ περὶ βραχέων· καὶ μὴ ἀλλοτρίαις γνώμαις, καὶ ἐγκλήμασι πεισθέντες, οἰκεῖον πόνον πρόσθησθε· τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος ἐστὶ, πρὶν ἐν αὐτῷ γενέσθαι, προδιαγνῶτε. μηκυνόμενος γὰρ φιλεῖ ἐς τύχας τὰ πολλὰ περιίστασθαι· ὧν ἴσον τε ἀπέχομεν, καὶ ὁποτέρως ἔσται, ἐν ἀδήλῳ κινδυνεύεται. Ἰόντες τε οἱ ἄνθρωποι ἐς τοὺς πολέμους, τῶν ἔργων πρότερον ἔχονται, ἃ χρῆν ὕστερον δρᾷν· κακοπαθοῦντες δὲ ἤδη, τῶν λόγων ἅπτονται. Ὑμεῖς δὲ ἐν οὐδεμιᾷ πω τοιαύτῃ ἁμαρτίᾳ ὄντες, οὔτ' αὐτοὶ, οὔθ' ὑμᾶς ὁρῶντες, λέγομεν ὑμῖν, ἕως ἔτι αὐθαίρετος ἀμφοτέροις ἡ εὐβουλία, σπονδὰς μὴ λύειν, μηδὲ παραβαίνειν τοὺς ὅρκους, τὰ δὲ διάφορα δίκῃ λύεσθαι κατὰ τὴν ξυνθήκην· ἢ θεοὺς τοὺς ὁρκίους μάρτυρας ποιούμενοι, πειρασόμεθα ἀμύνεσθαι πολέμου ἄρχοντας ταύτῃ ᾗ ἂν ὑφηγῆσθε.

## ΔΗΜΗΓΟΡΙΑ ΑΡΧΙΔΑΜΟΥ Ἐπὶ ΣΥΜΜΑΧΟΥΣ.

Ἄνδρες Πελοποννήσιοι, καὶ οἱ ξύμμαχοι, καὶ οἱ πατέρες ἡμῶν πολλὰς στρατείας καὶ ἐν αὐτῇ τῇ Πελοποννήσῳ, καὶ ἔξω ἐποιήσαντο, καὶ ἡμῶν αὐτῶν οἱ πρεσβύτεροι οὐκ ἄπειροι πολέμων εἰσίν· ὅμως δὲ τῆσδε οὔπω μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν, ἀλλὰ καὶ ἐπὶ πόλιν δυνατωτάτην νῦν ἐρχόμεθα, καὶ αὐτοὶ πλεῖστοι καὶ ἄριστοι στρατεύοντες. Δίκαιον οὖν ἡμᾶς μήτε τῶν πατέρων χείρους φαίνεσθαι, μήτε ἡμῶν αὐτῶν τῆς δόξης ἐνδεεστέρους· ἡ γὰρ Ἑλλὰς πᾶσα τῇδε τῇ ὁρμῇ ἐπῆρται, καὶ προσέχει τὴν γνώμην, εὔνοιαν ἔχουσα διὰ τὸ Ἀθηναίων ἔχθος, πρᾶξαι ἡμᾶς, ἃ ἐπινοοῦμεν. Οὐκ

οὖν

οὐ χρὴ εἴ τῳ καὶ δοκοῦμεν πλήθει ἐπιέναι, καὶ ἀσφάλεια πολλὴ εἶναι, μὴ ἂν ἐλθεῖν τοὺς ἐναντίους ἡμῖν διὰ μάχης, τούτων ἕνεκα ἀμελέστερόν τι παρεσκευασμένους χωρεῖν, ἀλλὰ καὶ πόλεως ἑκάστης ἡγεμόνα, καὶ στρατιώτην τὸ καθ' αὑτὸν αἰεὶ προσδέχεσθαι ἐς κίνδυνόν τινα ἥξειν· ἄδηλα γὰρ τὰ τῶν πολέμων, καὶ ἐξ ὀλίγου τὰ πολλὰ, καὶ δι' ὀργῆς αἱ ἐπιχειρήσεις γίγνονται. πολλάκις τε τὸ ἔλασσον πλῆθος δεδιὸς, ἄμεινον ἠμύνατο τοὺς πλέονας, διὰ τὸ καταφρονοῦντας ἀπαρασκεύους γενέσθαι. Χρὴ δὲ αἰεὶ ἐν τῇ πολεμίᾳ τῇ μὲν γνώμῃ θαρσαλέους στρατεύειν, τῷ δὲ ἔργῳ, δεδιότας παρεσκευάσθαι· οὕτω γὰρ πρός τε τὸ ἐπιέναι τοῖς ἐναντίοις εὐψυχότατοι ἂν εἶεν, πρός τε τὸ ἐπιχειρεῖσθαι ἀσφαλέστατοι. ἡμεῖς δὲ οὐδ' ἐπὶ ἀδύνατον ἀμύνεσθαι οὕτω πόλιν ἐρχόμεθα, ἀλλὰ τοῖς πᾶσιν ἄριστα παρεσκευασμένην. Ὥστε χρὴ καὶ πάνυ ἐλπίζειν διὰ μάχης ἰέναι αὐτοὺς, εἰ μὴ καὶ νῦν ὥρμηνται, ἐν ᾧ οὔπω πάρεσμεν, ἀλλ' ὅταν ἐν τῇ γῇ ὁρῶσιν ἡμᾶς δῃοῦντάς τε καὶ τἀκείνων φθείροντας· πᾶσι γὰρ ἐν τοῖς ὄμμασι καὶ ἐν τῷ παραυτίκα ὁρᾶν πάσχοντάς τι ἄηθες, ὀργὴ προσπίπτει· καὶ οἱ λογισμῷ ἐλάχιστα χρώμενοι, θυμῷ πλεῖστα ἐς ἔργον καθίστανται. Ἀθηναίους δὲ καὶ πλέον τι τῶν ἄλλων εἰκὸς τοῦτο δρᾶσαι, οἱ ἄρχειν τε τῶν ἄλλων ἀξιοῦσι, καὶ ἐπιόντες τὴν τῶν πέλας δῃοῦν μᾶλλον ἢ τὴν ἑαυτῶν ὁρᾶν. Ὡς οὖν ἐπὶ τοσαύτην πόλιν στρατεύοντες, καὶ μεγίστην δόξαν οἰσόμενοι τοῖς τε προγόνοις, καὶ ἡμῖν αὐτοῖς, ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων, ἕπεσθ' ὅποι ἄν τις ἡγῆται, κόσμον καὶ φυλακὴν περὶ παντὸς ποιούμενοι, καὶ τὰ παραγγελλόμενα ὀξέως δεχόμενοι· κάλλιστον γὰρ τόδε καὶ ἀσφαλέστατον, πολλοὺς ὄντας ἑνὶ κόσμῳ χρωμένους φαίνεσθαι·

## ΔΗΜΗΓΟΡΙ'Α ΚΝΗ'ΜΟΥ, ΚΑΙ' ΤΩ͂Ν ΣΥ'Ν ΑΥ'Τῼ͂ ΠΕΛΟΠΟΝΝΗΣΙ'ΩΝ.

Ἡ Μὲν γενομένη ναυμαχία, ὦ ἄνδρες Πελοποννήσιοι, εἴ τις ἄρα δι' αὐτὴν ὑμῶν φοβεῖται τὴν μέλλουσαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ ἐκφοβῆσαι· τῇ τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο, ὥσπερ ἴστε, καὶ οὐχὶ ἐς ναυμαχίαν μᾶλλον, ἢ ἐπὶ στρατείαν ἐπλέο-

μεν. Ξυνέβη δὲ καὶ τὰ ἀπὸ τῆς τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι. καί πού τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλεν· ὥστε οὐ κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσῆσθαι προσεγένετο· οὐδὲ δίκαιον τῆς γνώμης τὸ μὴ κατὰ κράτος νικηθὲν, ἔχον δέ τινα ἐν αὐτῷ ἀντιλογίαν, τῆς γε ξυμφορᾶς τῷ ἀποβάντι ἀμβλύνεσθαι, νομίσαι δὲ ταῖς μὲν τύχαις, ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους, ταῖς δὲ γνώμαις τοὺς αὐτοὺς ἀεὶ ἀνδρείους ὀρθῶς εἶναι, καὶ μὴ ἀπειρίαν τοῦ ἀνδρείου παρόντος προβαλλομένους, εἰκότως ἂν ἔν τινι κακοὺς γενέσθαι. Ὑμῶν δὲ οὐδ᾽ ἡ ἀπειρία τοσοῦτον λείπεται, ὅσον τόλμῃ προέχετε· τῶνδε δὲ ἡ ἐπιστήμη, ἣν μάλιστα φοβεῖσθε, ἀνδρείαν μὲν ἔχουσα, καὶ μνήμην ἕξει ἐν τῷ δεινῷ ἐπιτελεῖν ἃ ἔμαθεν, ἄνευ δ᾽ εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει. Φόβος γὰρ μνήμην ἐκπλήσσει, τέχνη δὲ ἄνευ ἀλκῆς οὐδὲν ὠφελεῖ. Πρὸς μὲν οὖν τὸ ἐμπειρότερον αὐτῶν, τὸ τολμηρότερον ἀντιτάξασθε· πρὸς δὲ τὸ διὰ τὴν ἧσσαν δεδιέναι, τὸ ἀπαράσκευοι τότε τυχεῖν. Περιγίγνεται δὲ ὑμῖν πλῆθός τε νεῶν, καὶ πρὸς τῇ γῇ οἰκείᾳ οὔσῃ, ὁπλιτῶν παρόντων, ναυμαχεῖν· τὰ δὲ πολλὰ τῶν πλεόνων καὶ ἄμεινον παρεσκευασμένων τὸ κράτος ἐστίν. ὥστε οὐδὲ καθ᾽ ἓν εὑρίσκομεν εἰκότως ἂν ἡμᾶς σφαλλομένους· καὶ ὅσα ἡμάρτομεν πρότερον, νῦν αὐτὰ ταῦτα προσγενόμενα διδασκαλίαν παρέξει. Θαρσοῦντες οὖν καὶ κυβερνῆται, καὶ ναῦται, τὸ καθ᾽ ἑαυτὸν ἕκαστος ἕπεσθε, χώραν μὴ λείποντες, ᾗ ἄν τις προσταχθῇ. Τῶν δὲ πρότερον ἡγεμόνων οὐ χεῖρον τὴν ἐπιχείρησιν ἡμεῖς παρασκευάσομεν, καὶ οὐκ ἐνδώσομεν πρόφασιν οὐδενὶ κακῷ γενέσθαι· ἢν δέ τις ἄρα καὶ βουληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ· οἱ δὲ ἀγαθοὶ τιμήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς.

## ΔΗΜΗΓΟΡΙΑ ΦΟΡΜΙΩΝΟΣ

Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πεφοβημένους τὸ πλῆθος τῶν ἐναντίων, ξυνεκάλεσα, οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀρρωδίᾳ ἔχειν. Οὗτοι γὰρ πρῶτον μὲν διὰ τὸ προνενικῆσθαι, καὶ μηδὲ αὐτοὶ οἴεσθαι ὁμοῖοι ἡμῖν εἶναι, τὸ πλῆθος τῶν νεῶν, καὶ οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαντο. ἔπειτα ᾧ μάλιστα πιστεύοντες προσ-

ἐπέρχονται, ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι θαρσοῦσιν, ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν, τὰ πλείω κατορθοῦντες, καὶ οἴονται σφίσι καὶ ἐν τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό. τὸ δ' ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ· ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσι· τῷ δὲ ἑκάτεροί τι ἐμπειρότεροι εἶναι, θρασύτεροί ἐσμεν. Λακεδαιμόνιοί τε ἡγούμενοι τῶν ξυμμάχων, διὰ τὴν σφετέραν δόξαν, ἄκοντας προσάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον. ἐπεὶ οὐκ ἄν ποτε ἐνεχείρησαν ἡσσηθέντες παραπολὺ, αὖθις ναυμαχεῖν. Μὴ δὴ αὐτῶν τὴν τόλμαν δείσητε· πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω φόβον παρέχετε, καὶ πιστότερον, κατά τε τὸ προνενικηκέναι, καὶ ὅτι οὐκ ἂν ἡγοῦνται μὴ μέλλοντάς τι ἄξιον τοῦ παραπολὺ πράξειν, ἀνθίστασθαι ὑμᾶς. Ἀντίπαλοι μὲν γὰρ οἱ πλείους, ὥσπερ οὗτοι, τῇ δυνάμει τὸ πλέον πίσυνοι, ἢ τῇ γνώμῃ ἐπέρχονται· οἱ δ' ἐκ πολλῷ ὑποδεεστέρων, καὶ ἅμα οὐκ ἀναγκαζόμενοι, μέγα τι τῆς διανοίας τὸ βέβαιον ἔχοντες ἀντιτολμῶσιν. Ἃ λογιζόμενοι οὗτοι, τῷ οὐκ εἰκότι πλέον πεφόβηνται ἡμᾶς ἢ τῇ κατὰ λόγον παρασκευῇ. πολλὰ δὲ καὶ στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων τῇ ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ· ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν. τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλπῳ ἑκὼν εἶναι ποιήσομαι, οὐδὲ πλεύσομαι ἐς αὐτόν. Ὁρῶ γὰρ ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας, ὀλίγαις ναυσὶν ἐμπείροις καὶ ἄμεινον πλεούσαις ἡ στενοχωρία οὐ ξυμφέρει. οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις, ὡς χρὴ, ἐς ἐμβολὴν, μὴ ἔχων τὴν πρόοψιν τῶν πολεμίων ἐκ πολλοῦ, οὔτε ἂν ἀποχωρήσειεν ἐν δέοντι πιεζόμενος· διέκπλοι τε οὐκ εἰσὶν, οὐδὲ ἀναστροφαὶ, ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν· ἀλλ' ἀνάγκη ἂν εἴη τὴν ναυμαχίαν, πεζομαχίαν καθίστασθαι. καὶ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους γίγνονται. Τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν πρόνοιαν κατὰ τὸ δυνατὸν· ὑμεῖς δὲ, εὔτακτοι παρὰ ταῖς ναυσὶ μένοντες, τά τε παραγγελλόμενα ὀξέως δέχεσθε, ἄλλως τε καὶ δι' ὀλίγου τῆς ἐφορμήσεως οὔσης, καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου ἡγεῖσθε· (ὃ ἔς τε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέρει, καὶ ναυμαχίαις οὐχ ἥκιστα) ἀμύνεσθέ τε τούσδε ἀξίως τῶν προειργασμένων. Ὁ δὲ ἀγὼν μέγας ὑμῖν, ἢ καταλῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ, ἢ

ἐγγυτέρω καταστῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης. Ἀναμιμνήσκω δ' αὖ ὑμᾶς, ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς· ἡσσημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς αὐτοὺς κινδύνους ὅμοιαι εἶναι.

## ΔΗΜΗΓΟΡΙΑ ΜΙΤΥΛΗΝΑΙΩΝ, ἐπὶ τοὺς ΣΥΜΜΑΧΟΥΣ ΠΕΛΟΠΟΝΝΗΣΙΟΥΣ.

ΤΟ μὲν καθεστὸς τοῖς Ἕλλησι νόμιμον, ὦ ἄνδρες Λακεδαιμόνιοι, καὶ ξύμμαχοι, ἴσμεν. τοὺς γὰρ ἀφισαμένους ἐν τοῖς πολέμοις, καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας οἱ δεξάμενοι, καθ' ὅσον μὲν ὠφελοῦνται, ἐν ἡδονῇ ἔχουσι· νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ τοῦ φίλων, χείρους ἡγοῦνται. Καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσίς ἐστιν, εἰ τύχοιεν πρὸς ἀλλήλους οἵ τε ἀφισάμενοι, καὶ ἀφ' ὧν διακρίνοιντο, ἴσοι μὲν τῇ γνώμῃ ὄντες, καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ καὶ δυνάμει, πρόφασίς τε ἐπιεικὴς μηδεμία ὑπάρχοι τῆς ἀποστάσεως· ὃ ἡμῖν τε καὶ Ἀθηναίοις οὐκ ἦν. Μὴ δὲ τῳ χείρους δόξωμεν εἶναι, εἰ ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ' αὐτῶν, ἐν τοῖς δεινοῖς ἀφισάμεθα. περὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον, ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι, τοὺς λόγους ποιησόμεθα· εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην, οὔτε κοινωνίαν πόλεσιν ἐς οὐδέν, εἰ μὴ μετ' ἀρετῆς δοκήσης ἐς ἀλλήλους γίγνοιντο, καὶ τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλλάσσοντι τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται. Ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγένετο πρῶτον, ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου, παραμεινάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων· ξύμμαχοι μέντοι ἐγενόμεθα, οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων Ἀθηναίοις, ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ Μήδου τοῖς Ἕλλησι. καὶ μέχρι μὲν ἀπὸ τῆς ἴσης ἡγοῦντο, προθύμως εἱπόμεθα· ἐπειδὴ δὲ ἑωρῶμεν αὐτοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν ἀνιέντας, τὴν δὲ τῶν ξυμμάχων δούλωσιν ἐπαγομένους, οὐκ ἀδεεῖς ἔτι ἦμεν. Ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι διὰ πολυψηφίαν ἀμύνασθαι, οἱ ξύμμαχοι ἐδουλώθησαν, πλὴν ἡμῶν, καὶ Χίων· ἡμεῖς δὲ αὐτόνομοι δὴ ὄντες, καὶ ἐλεύθεροι τῷ ὀνόματι ξυνεστρατεύσαμεν. Καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας Ἀθηναίους, παραδείγμασι τοῖς προγι-

γνομένοις χρώμενοι. Οὐ γὰρ εἰκὸς ἦν αὐτοὺς, οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους ἐποιήσαντο, καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους, εἴ ποτε ἄρα ἐδυνήθησαν, μὴ δρᾶσαι τοῦτο. καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βεβαιότεροι ἂν ἡμῖν ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν, καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον, τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου· ἄλλως τε, καὶ ὅσῳ δυνατώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο, καὶ ἡμεῖς ἐρημότεροι. τὸ δὲ ἀντίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν. Ὁ γὰρ παραβαίνειν τι βουλόμενος, τὸ μὴ προέχων ἂν ἐπελθεῖν, ἀποτρέπεται. αὐτόνομοί τε ἐλείφθημεν οὐ δι' ἄλλο τι, ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρχὴν, εὐπρεπείᾳ τε λόγου, καὶ γνώμης μᾶλλον ἐφόδῳ, ἢ ἰσχύος, τὰ πράγματα ἐφαίνετο καταληπτά· ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο, μὴ ἂν τούς γε ἰσοψήφους ἄκοντας, εἰ μή τι ἠδίκουν οἷς ἐπῇσαν, ξυστρατεύειν· ἐν τῷ αὐτῷ δὲ καὶ τὰ κράτιστα ἐπί τε τοὺς ὑποδεεστέρους πρώτους ξυνεπῆγον, καὶ τὰ τελευταῖα λιπόντες, τοῦ ἄλλου περιῃρημένου, ἀσθενέστερα ἔμελλον ἕξειν. Εἰ δὲ ἀφ' ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων, αὐτῶν τε ἰσχὺν, καὶ πρὸς ὅ, τι χρὴ στῆναι, οὐκ ἂν ὁμοίως ἐχειρώσαντο· τό τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον, μή ποτε καθ' ἓν γενόμενον, ἢ ὑμῖν, ἢ ἄλλῳ τῳ προσθέμενον κίνδυνον σφίσι παράσχῃ· τὰ δὲ, καὶ ἀπὸ θεραπείας τοῦ τε κοινοῦ αὐτῶν, καὶ τῶν ἀεὶ προεστώτων, περιεγιγνόμεθα. οὐ μέν τοι ἐπιπολύ γ' ἂν ἐδοκοῦμεν δυνηθῆναι, εἰ μὴ ὁ πόλεμος ὅδε κατέστη, παραδείγμασι χρώμενοι τοῖς ἐς τοὺς ἄλλους. Τίς οὖν αὕτη ἢ φιλία ἐγίγνετο, ἢ ἐλευθερία πιστὴ, ἐν ᾗ παρὰ γνώμην ἀλλήλους ὑπεδεχόμεθα; καὶ οἱ μὲν ἡμᾶς ἐν τῷ πολέμῳ δεδιότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν; ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχε· δέει τε τὸ πλέον, ἢ φιλίᾳ κατεχόμενοι, ξύμμαχοι ἦμεν· καὶ ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλεια θράσος, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον. Ὥστε εἴ τῳ δοκοῦμεν ἀδικεῖν, προαποστάντες διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ ἀντανακμείναντες σαφῶς εἰδέναι εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθῶς σκοπεῖ· εἰ

γὰρ

γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι, καὶ ἀντεπιμελλῆσαι, τί ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ' ἐκείνοις εἶναι; ἐπ' ἐκείνοις δὲ ὄντος ἀεὶ τοῦ ἐπιχειρεῖν, καὶ ἐφ' ἡμῖν εἶναι δεῖ τὸ προαμύνασθαι. Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακεδαιμόνιοι, καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς ἀκούουσι γνῶναι, ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι, καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι, βουλομένους μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν ὡς ὑμᾶς περὶ ἀποστάσεως, ὑμῶν δὲ οὐ προσδεξαμένων, κωλυθέντες. Νῦν δὲ, ἐπειδὴ Βοιωτοὶ προὐκαλέσαντο, εὐθὺς ὑπηκούσαμεν, καὶ ἐνομίζομεν ἀποστήσεσθαι διπλῆν ἀπόστασιν, ἀπό τε τῶν Ἑλλήνων, μὴ ξὺν κακῶς ποιεῖν αὐτοὺς μετ' Ἀθηναίων, ἀλλὰ ξυνελευθεροῦν, ἀπό τε Ἀθηναίων, μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν ὑστέρῳ, ἀλλὰ προποιῆσαι. ἡ μέντοι ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται, καὶ ἀπαράσκευος· ᾗ καὶ μᾶλλον χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς, διὰ ταχέων βοήθειαν ἀποστέλλειν, ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ, καὶ ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες. Καιρὸς δὲ, ὡς οὔπω πρότερον· νόσῳ τε γὰρ ἐφθάραται Ἀθηναῖοι, καὶ χρημάτων δαπάνῃ· νῆές τε αὐτοῖς αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσὶν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται. ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἢν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τὸ δεύτερον· ἀλλ' ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας, ἢ ἀπ' ἀμφοτέρων ἀποχωρήσονται. Νομίσῃ τε μηδεὶς ἀλλοτρίας γῆς πέρι, οἰκεῖον κίνδυνον ἕξειν· ᾧ γὰρ δοκεῖ μακρὰν ἀπεῖναι ἡ Λέσβος, τὴν ὠφέλειαν αὐτῷ ἐγγύθεν παρέξει· οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ὥς τις οἴεται, ἀλλὰ δι' ἣν ἡ Ἀττικὴ ὠφελεῖται. Ἔστι δὲ τῶν χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων ἔσται, εἰ ἡμᾶς καταστρέψονται· οὔτε γὰρ ἀποστήσεται ἄλλος, τά τε ἡμέτερα προσγενήσεται· πάθοιμέν τ' ἂν δεινότερα, ἢ οἱ πρὶν δουλεύοντες. βοηθησάντων δὲ ὑμῶν προθύμως, πόλιν τε προσλήψεσθε ναυτικὸν ἔχουσαν μέγα, οὗπερ ὑμῖν μάλιστα προσδεῖ, καὶ Ἀθηναίους ῥᾷον καθαιρήσετε, ὑφαιροῦντες αὐτῶν τοὺς ξυμμάχους· θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται· τήν τε αἰτίαν ἀποφεύξεσθε, ἣν εἴχετε μὴ βοηθεῖν τοῖς ἀφισταμένοις· ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος τοῦ πολέμου βεβαιότερον ἕξετε.

ἄξετε. Αἰσχυνθέντες οὖν τάς τε τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας, καὶ Δία τὸν Ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται ἐσμὲν, ἐπαμύνατε, Μιτυληναίοις ξύμμαχοι γενόμενοι· καὶ μὴ πρόησθε ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορθῶσαι ὠφέλειαν ἅπασι δώσοντας· ἔτι δὲ κοινοτέραν τὴν βλάβην, εἰ, μὴ πεισθέντων ὑμῶν, σφαλησόμεθα. Γίγνεσθε δὲ ἄνδρες, οἵους περ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι, καὶ τὸ ἡμέτερον δέος βούλεται.

## ΔΗΜΗΓΟΡΙ'Α ΤΕΥΤΙΑ'ΠΛΟΥ.

Ἀ'λκίδα, καὶ Πελοποννησίων ὅσοι πάρεσμεν ἄρχοντες τῆς στρατιᾶς, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ Μιτυλήνην, πρὶν ἐκπύστους γενέσθαι, ὥσπερ ἔχομεν. κατὰ γὰρ τὸ εἰκὸς ἀνδρῶν νεωστὶ πόλιν ἐχόντων, πολὺ τὸ ἀφύλακτον εὑρήσομεν· κατὰ μὲν θάλασσαν καὶ πάνυ, ᾗ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα σφίσι πολέμιον, καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει μάλιστα οὖσα. Εἰκὸς δὲ καὶ τὸ πεζὸν αὐτῶν κατ' οἰκίας ἀμελέστερον, ὡς κεκρατηκότων, διεσπάρθαι. Εἰ οὖν προσπέσοιμεν ἄφνω τε καὶ νυκτὸς, ἐλπίζω μετὰ τῶν ἔνδον (εἴ τις ἄρα ἡμῖν ἐστιν ὑπόλοιπος εὔνους) καταληφθῆναι ἂν τὰ πράγματα· καὶ μὴ ἀποκνήσωμεν τὸν κίνδυνον, νομίσαντες οὐκ ἄλλο τι εἶναι τὸ καινὸν τοῦ πολέμου, ἢ τὸ τοιοῦτον, ὃ εἴ τις στρατηγὸς ἔν τε αὑτῷ φυλάσσοιτο, καὶ τοῖς πολεμίοις ἐνορῶν ἐπιχειροίη, πλεῖστ' ἂν ὀρθοῖτο.

## ΔΗΜΗΓΟΡΙ'Α ΔΗΜΟΣΘΕ'ΝΟΥΣ Ε'πὶ τοὺς Ο'ΠΛΙ'ΤΑΣ.

Ἄ'Νδρες οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου, μηδεὶς ὑμῶν ἐν τῇ τοιᾷδε ἀνάγκῃ ξυνετὸς βουλέσθω δοκεῖν εἶναι, ἐκλογιζόμενος ἅπαν τὸ περιεστὼς ἡμᾶς δεινὸν, μᾶλλον ἢ ἀπερισκέπτως εὔελπις ὁμόσε χωρῆσαι τοῖς ἐναντίοις, καὶ ἐκ τούτων ἂν περιγενόμενος. ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται, ὥσπερ τάδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα, κινδύνου τοῦ ταχίστου προσδεῖται. Ἐγὼ δὲ καὶ τὰ πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλωμέν τε μεῖναι, καὶ μὴ τῷ πλήθει αὐτῶν καταπλαγέντες, τὰ ὑπάρχοντα ἡμῖν κρείσσω καταπροδοῦναι.

τοῦ

τό τε γὰρ χωρίον τὸ δυσέμβατον, ἡμέτερον νομίζω, ὃ μενόντων ἡμῶν ξύμμαχον γίγνεται, ὑποχωρήσασι δὲ, καίπερ χαλεπὸν ὂν, εὔπορον ἔσαι, μηδενὸς κωλύοντος· καὶ τὸν πολέμιον δεινότερον ἕξομεν, μὴ ῥᾳδίας αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως, ἢν καὶ ὑφ' ἡμῶν βιάζηται. Ἐπὶ γὰρ ταῖς ναυσὶ, ῥᾷστοί εἰσιν ἀμύνεσθαι· ἀποβάντες δὲ, *ἐν τῷ ἴσῳ ἤδη τότε πλῆθος αὐτῶν οὐκ ἄγαν δεῖ φοβεῖσθαι· κατ' ὀλίγον γὰρ μαχεῖται, καίπερ πολὺ ὂν, ἀπορίᾳ τῆς προσορμίσεως· καὶ οὐκ ἐν γῇ στρατός ἐστιν ἐκ τοῦ ὁμοίου μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ καίρια δεῖ ἐν τῇ θαλάσσῃ ξυμβῆναι. ὥστε τὰς τούτων ἀπορίας ἀντιπάλους ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει. Καὶ ἅμα ἀξιῶ ὑμᾶς Ἀθηναίους ὄντας, καὶ ἐπισταμένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλους ἀπόβασιν (ὅτι εἴ τις ὑπομένοι, καὶ μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κατάπλου ὑποχωροίη, οὐκ ἄν ποτε βιάζοιτο) καὶ αὐτοὺς νῦν μεῖναί τε, καὶ ἀμυνομένους παρ' αὐτὴν τὴν ῥαχίαν, σώζειν ἡμᾶς τε αὐτοὺς, καὶ τὸ χωρίον.

## ΔΗΜΗΓΟΡΊΑ ΛΑΚΕΔΑΙΜΟΝΊΩΝ Ἐπὶ τοὺς ΚΡΑΤΟΥ͂ΝΤΑΣ ἈΘΗΝΑΊΟΥΣ.

Ἔπεμψαν ἡμᾶς Λακεδαιμόνιοι, ὦ Ἀθηναῖοι, περὶ τῶν ἐν τῇ νήσῳ ἀνδρῶν πράξοντας ὅ, τι ἂν ὑμῖν τε ὠφέλιμον ὂν, τὸ αὐτὸ πείθωμεν. καὶ ἡμῖν ἐς τὴν ξυμφορὰν, ὡς ἐκ τῶν παρόντων, κόσμον μάλιστα μέλλῃ οἴσειν. Τοὺς δὲ λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν, ἀλλ' ἐπιχώριον ὂν ἡμῖν, οὗ μὲν βραχεῖς ἀρκῶσι, μὴ πολλοῖς χρῆσθαι, πλέοσι δὲ, ἐν ᾧ ἂν καιρὸς ᾖ διδάσκοντάς τι τῶν πρὔργου λόγοις τὸ δέον πράσσειν· λάβετε δὲ αὐτοὺς μὴ πολεμίως, μηδ' ὡς ἀξύνετοι διδασκόμενοι, ὑπόμνησιν δὲ τοῦ καλῶς βουλεύσασθαι πρὸς εἰδότας ἡγησάμενοι. Ὑμῖν γὰρ εὐτυχίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι, ἔχουσι μὲν ὧν κρατεῖτε, προσλαβοῦσι δὲ τιμὴν, καὶ δόξαν· καὶ μὴ παθεῖν, ὅπερ οἱ ἀήθως τι ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων· αἰεὶ γὰρ τοῦ πλέονος ἐλπίδι ὀρέγονται, διὰ τὸ καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι. οἷς δὲ πλεῖσται μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβεβήκασι, δίκαιοί εἰσι, καὶ ἀπιστότατοι εἶναι ταῖς εὐπραγίαις· ὃ τῇ τε

ὑμε-

ὑμετέρᾳ πόλει δι' ἐμπειρίαν, καὶ ἡμῖν μάλιστ' ἂν ἐκ
τοῦ εἰκότος προσείη. Γνῶτε δὲ καὶ ἐς τὰς ἡμετέρας νῦν
ξυμφορὰς ἀπιδόντες· οἵτινες ἀξίωμα μέγιστον τῶν Ἑλ-
λήνων ἔχοντες ἥκομεν παρ' ὑμᾶς, πρότερον αὐτοὶ
κυριώτεροι νομίζοντες εἶναι δοῦναι, ἐφ' ἃ νῦν ἀφιγ-
μένοι, ὑμᾶς αἰτούμεθα. καί τοι οὔτε δυνάμεως ἐν-
δείᾳ ἐπάθομεν αὐτὸ, οὔτε μείζονος προσγενομένης ὑ-
βρίσαντες, ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων γνώμῃ σφα-
λέντες, ἐν ᾧ πᾶσι τὸ αὐτὸ ὁμοίως ὑπάρχει. Ὥστε οὐκ
εἰκὸς ὑμᾶς διὰ τὴν παροῦσαν νῦν ῥώμην πόλεώς τε
καὶ τῶν προσγεγενημένων, καὶ τὸ τῆς τύχης οἴεσθαι ἀεὶ
μεθ' ὑμῶν ἔσεσθαι· σωφρόνων δὲ ἀνδρῶν οἵτινες τἀ-
γαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο, καὶ ταῖς ξυμ-
φοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο, τόν
τε πόλεμον νομίσωσι μὴ καθ' ὅσον ἄν τις αὐτοῦ μέ-
ρος βούληται μεταχειρίζειν, τούτῳ ξυνεῖναι, ἀλλ' ὡς
ἂν αἱ τύχαι αὐτῶν ἡγήσωνται· καὶ ἐλάχιστ' ἂν οἱ
τοιοῦτοι πταίοντες, διὰ τὸ μὴ τῷ ὀρθουμένῳ αὐτοῦ πι-
στεύοντες ἐπαίρεσθαι, ἐν τῷ εὐτυχεῖν ἂν μάλιστα κα-
ταλύοιντο. Ὃ νῦν ὑμῖν, ὦ Ἀθηναῖοι, καλῶς ἔχει πρὸς
ἡμᾶς πρᾶξαι, καὶ μή ποτε ὕστερον, ἢν ἄρα μὴ πειθό-
μενοι σφαλῆτε, (ἃ πολλὰ ἐνδέχεται,) νομισθῆναι
τύχῃ καὶ τὰ νῦν προχωρήσαντα κρατῆσαι, ἐξὸν ἀκίν-
δυνον δόκησιν ἰσχύος καὶ ξυνέσεως ἐς τὸ ἔπειτα κα-
ταλιπεῖν. Λακεδαιμόνιοι δὲ ὑμᾶς προκαλοῦνται ἐς
σπονδὰς, καὶ διάλυσιν πολέμου, διδόντες μὲν εἰρήνην,
καὶ ξυμμαχίαν, καὶ ἄλλην φιλίαν πολλὴν, καὶ οἰκειό-
τητα ἐς ἀλλήλους ὑπάρχειν, ἀνταιτοῦντες δὲ τοὺς ἐκ
τῆς νήσου ἄνδρας· καὶ ἄμεινον ἡγούμενοι ἀμφοτέροις μὴ
διακινδυνεύεσθαι, εἴτε βίᾳ διαφύγοιεν, παρατυ-
χούσης τινὸς σωτηρίας, εἴτε καὶ ἐκπολιορκηθέντες, μᾶλ-
λον ἂν χειρωθεῖεν. νομίζομέν τε τὰς μεγάλας ἔχθρας
μάλιστ' ἂν διαλύεσθαι βεβαίως, οὐκ ἢν ἀνταμυνό-
μενός τις, καὶ ἐπικρατήσας τὰ πλέω τοῦ πολέμου, κατ'
ἀνάγκην ὅρκοις ἐγκαταλαμβάνων, μὴ ἀπὸ τοῦ ἴσου
ξυμβῇ· ἀλλ' ἢν παρὸν τὸ αὐτὸ δρᾶσαι πρὸς τὸ ἐ-
πιεικὲς, καὶ ἀρετῇ αὐτὸν νικήσας παρὰ ἃ προσεδέχετο,
μετρίως ξυναλλαγῇ. Ὀφείλων γὰρ ἤδη ὁ ἐναντίος
μὴ ἀνταμύνεσθαι ὡς βιασθεὶς, ἀλλ' ἀνταποδοῦναι
ἀρετὴν, ἑτοιμότερός ἐστιν αἰσχύνῃ ἐμμένειν, οἷς ξυ-
νέθετο· καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο

δρῶσιν

δρῶσιν οἱ ἄνθρωποι, ἢ πρὸς τοὺς τὰ μέτρια διενεχθέντας· πεφύκασί τε τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν, ἀνθησσᾶσθαι μεθ' ἡδονῆς, πρὸς δὲ τὰ ὑπεραυχοῦντα, καὶ παρὰ γνώμην διακινδυνεύειν. ἡμῖν δὲ καλῶς, εἴπερ ποτὲ, ἔχει ἀμφοτέροις ἡ ξυναλλαγὴ, πρίν τι ἀνήκεστον διὰ μέσου γενόμενον ἡμᾶς καταλαβεῖν, ἐν ᾧ ἀνάγκη ἀίδιον ὑμῖν ἔχθραν πρὸς τῇ κοινῇ, καὶ ἰδίαν ἔχειν· ὑμᾶς δὲ στερηθῆναι, ὧν νῦν προκαλούμεθα. Ἔτι δ' ὄντων ἀκρίτων, καὶ ὑμῖν μὲν δόξης καὶ ἡμετέρας φιλίας προσγιγνομένης, ἡμῖν δὲ πρὸ αἰσχροῦ τινος, ξυμφορᾶς μετρίως κατατιθεμένης, διαλλαγῶμεν· καὶ αὐτοί τε ἀντὶ πολέμου εἰρήνην ἑλώμεθα, καὶ τοῖς ἄλλοις Ἕλλησιν ἀνάπαυσιν κακῶν ποιήσωμεν, οἳ καὶ ἐν τούτῳ ὑμᾶς αἰτιωτέρους ἡγήσονται. πολεμοῦνται γὰρ ἀσαφῶς ὁποτέρων ἀρξάντων· καταλύσεως δὲ γενομένης, ἧς νῦν ὑμεῖς τὸ πλέον κύριοί ἐστε, τὴν χάριν ὑμῖν προσθήσουσιν. ἤν τε γνῶτε, Λακεδαιμονίοις ἔξεστιν ὑμῖν φίλους γενέσθαι βεβαίως, αὐτῶν τε προκαλεσαμένων, χαρισαμένοις τε μᾶλλον, ἢ βιασαμένοις. Καὶ ἐν τούτῳ τὰ ἐνόντα ἀγαθὰ σκοπεῖτε, ὅσα εἰκὸς εἶναι· ἡμῶν γὰρ καὶ ὑμῶν ταυτὰ λεγόντων, τό γε ἄλλο ἑλληνικὸν ἴστε, ὅτι ὑποδεέστερον ὂν τὰ μέγιστα τιμήσει.

## ΔΗΜΗΓΟΡΙ'Α ΒΡΑΣΙ'ΔΟΥ Ἐπὶ τοὺς Α'ΚΑΝΘΙ'ΟΥΣ.

Ἡ Μὲν ἔκπεμψίς μου καὶ τῆς στρατιᾶς ὑπὸ Λακεδαιμονίων, ὦ Ἀκάνθιοι, γεγένηται τὴν αἰτίαν ἐπαληθεύσασα, ἣν ἀρχόμενοι τοῦ πολέμου προείπομεν Ἀθηναίοις, ἐλευθεροῦντες τὴν ἑλλάδα πολεμήσειν· εἰ δὲ χρόνῳ ἐπήλθομεν, σφαλέντες τῆς ἀπὸ τοῦ ἐκεῖ πολέμου δόξης, ᾗ διὰ τάχους αὐτοὶ ἄνευ τοῦ ὑμετέρου κινδύνου ἠλπίσαμεν Ἀθηναίους καθαιρήσειν, μηδεὶς μεμφθῇ. νῦν γὰρ ὅτε παρέσχεν ἀφιγμένοι, καὶ μετὰ ὑμῶν πειρασόμεθα κατεργάζεσθαι αὐτούς. Θαυμάζω δὲ, τῇ τε ἀποκλείσει μου τῶν πυλῶν, καὶ εἰ μὴ ἀσμένοις ὑμῖν ἀφῖγμαι. ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι, οἰόμενοί τε παρὰ ξυμμάχους, καὶ πρὶν ἔργῳ ἀφικέσθαι, τῇ γοῦν γνώμῃ ἥξειν καὶ βουλομένοις ἔσεσθαι, κίνδυνόν τε τοσόνδε ἀνεῤῥίψαμεν, διὰ τῆς ἀλλοτρίας πολλῶν ἡμε-

ρῶν ὁδὸν ἰόντες, καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι. ὑμεῖς δὲ, εἴ τι ἄλλο ἐν νῷ ἔχετε, ἢ εἰ ἐναντιώσεσθε, τῇ τε ὑμετέρᾳ αὐτῶν ἐλευθερίᾳ, καὶ τῶν ἄλλων ἑλλήνων, δεινὸν ἂν εἴη. καὶ γὰρ οὐ μόνον ὅτι αὐτοὶ ἀνθίστασθε, ἀλλὰ καὶ οἷς ἂν ἐπίω, ἧσσόν τις ἐμοὶ πρόσεισι· καὶ δυσχερὲς ποιούμενοι, εἰ ἐπὶ οὓς πρῶτον ἦλθον ὑμᾶς, καὶ πόλιν ἀξιόχρεων παρεχομένους, καὶ ξύνεσιν δοκοῦντας ἔχειν, μὴ ἐδέξασθε· καὶ τὴν αἰτίαν οὐχ ἕξω πιστὴν ἀποδεικνύναι, ἀλλ' ἢ ἄδικον τὴν ἐλευθερίαν ἐπιφέρειν, ἢ ἀσθενὴς καὶ ἀδύνατος τιμωρῆσαι τὰ πρὸς ἀθηναίους, ἢν ἐπίωσιν, ἀφῖχθαι. Καίτοι στρατιᾷ γε τῇδ', ἣν νῦν ἐγὼ ἔχω ἐπὶ Νίσαιαν, ἐμοῦ βοηθήσαντος, οὐκ ἠθέλησαν ἀθηναῖοι πλέονες ὄντες, προσμίξαι. ὥστε οὐκ εἰκὸς νηΐτῃ γε αὐτοὺς τῷ ἐν Νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖλαι. αὐτός τε οὐκ ἐπὶ κακῷ, ἐπ' ἐλευθερώσει δὲ τῶν ἑλλήνων παρελήλυθα· ὅρκοις τε λακεδαιμονίων καταλαβὼν τὰ τέλη τοῖς μεγίστοις, ἦ μὴν οὓς ἂν ἔγωγε προσαγάγωμαι ξυμμάχους, ἔσεσθαι αὐτονόμους· καὶ ἅμα οὐχ ἵνα ξυμμάχους ὑμᾶς ἔχωμεν, ἢ βίᾳ, ἢ ἀπάτῃ προσλαβόντες, ἀλλὰ τοὐναντίον, ὑμῖν δεδουλωμένοις ὑπὸ ἀθηναίων, ξυμμαχήσοντες. Οὔκουν ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι, πίστεις τε διδοὺς τὰς μεγίστας, οὔτε τιμωρὸς ἀδύνατος νομισθῆναι, προσχωρεῖν τε ὑμᾶς θαρσήσαντας. Καὶ εἴ τις ἰδίᾳ τινὰ δεδιὼς ἄρα μὴ ἐγώ τισι προσθῶ τὴν πόλιν, ἀπρόθυμός ἐστι, πάντων μάλιστα πιστευσάτω. οὐ γὰρ ξυστασιάσων ἥκω, οὐδὲ ἀσφαλῆ τὴν ἐλευθερίαν νομίζω ἐπιφέρειν, εἰ τὸ πάτριον παρεὶς, τὸ πλέον τοῖς ὀλίγοις, ἢ τὸ ἔλασσον τοῖς πᾶσι δουλώσαιμι· χαλεπωτέρα γὰρ ἂν τῆς ἀλλοφύλου ἀρχῆς εἴη, καὶ ἡμῖν τοῖς Λακεδαιμονίοις οὐκ ἂν ἀντὶ πόνων χάρις καθίσταιτο, ἀντὶ δὲ τιμῆς καὶ δόξης, αἰτία μᾶλλον· οἷς τε τοὺς ἀθηναίους ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοίμεθα ἐχθίονα, ἢ ὁ μὴ ὑποδείξας ἀρετὴν, κατακτώμενοι· ἀπάτῃ γὰρ εὐπρεπεῖ αἴσχιον τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι, ἢ βίᾳ ἐμφανεῖ. τὸ μὲν γὰρ, ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται· τὸ δὲ, γνώμης ἀδίκου ἐπιβουλῇ. οὕτω πολλὴν περιωπὴν τῶν ἡμῖν ἐς τὰ μέγιστα διαφόρων ποιούμεθα. Καὶ οὐκ ἂν μείζω πρὸς τοῖς ὅρκοις βεβαίωσιν λάβοιτε, ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀ-

ναθρού-

καθισταμένη, δόκησιν ἀναγκαίαν παρέχεται, ὡς καὶ ξυμφέρει ὁμοίως ὡς εἶπον. εἰ δ' ἐμοῦ ταῦτα προϊσχομένου, ἀδύνατοι μὲν φήσετε εἶναι, εὖνοι δ' ὄντες ἀξιώσετε μὴ κακούμενοι διωθεῖσθαι, καὶ τὴν ἐλευθερίαν μὴ ἀκίνδυνον ὑμῖν φαίνεσθαι, δίκαιόν τε εἶναι, οἷς καὶ δυνατὸν δέχεσθαι αὐτὴν, τούτοις καὶ ἐπιφέρειν, ἄκοντα δὲ μηδένα προσαναγκάζειν· μάρτυρας μὲν θεοὺς, καὶ ἥρωας τοὺς ἐγχωρίους ποιήσομαι, ὡς ἐπ' ἀγαθῷ ἥκων οὐ πείθω. γῆν δὲ τὴν ὑμετέραν δῃῶν, πειράσομαι βιάζεσθαι· καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ, προσεῖναι δέ τι μοι καὶ κατὰ δύο ἀνάγκας τὸ εὔλογον· τῶν μὲν Λακεδαιμονίων, ὅπως μὴ τῷ ὑμετέρῳ εὔνῳ, εἰ μὴ προσαχθήσεσθε, τοῖς ἀπὸ ὑμῶν χρήμασι φερομένοις παρ' Ἀθηναίους, βλάπτωνται· οἱ δὲ Ἕλληνες ἵνα μὴ κωλύωνται ὑφ' ὑμῶν δουλείας ἀπαλλαγῆναι. Οὐ γὰρ δὴ εἰκότως γ' ἂν τάδε πράσσοιμεν· οὐδὲ ὀφείλομεν οἱ Λακεδαιμόνιοι μὴ κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ, τοὺς μὴ βουλομένους ἐλευθεροῦν· οὐδ' αὖ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδοντες, τοὺς πλείους ἂν ἀδικοῖμεν, εἰ ξύμπασιν αὐτονομίαν ἐπιφέροντες, ὑμᾶς τοὺς ἐναντιουμένους περιίδοιμεν. Πρὸς ταῦτα βουλεύεσθε εὖ, καὶ ἀγωνίσασθε, τοῖς τε Ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας, καὶ ἀΐδιον δόξαν καταθέσθαι, καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι, καὶ ξυμπάσῃ τῇ πόλει τὸ κάλλιστον ὄνομα περιθεῖναι.

## ΠΑΡΑΚΕ'ΛΕΥΣΙΣ ΠΑΓΟ'ΝΔΟΥ Ἐπὶ τοὺς ΒΟΙΩΤΟΥ'Σ.

Χρῆν μὲν, ὦ ἄνδρες Βοιωτοὶ, μηδ' ἐς ἐπίνοιάν τινα ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων, ὡς οὐκ εἰκὸς Ἀθηναίοις, ἢν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτοὺς, διὰ μάχης ἐλθεῖν. τὴν γὰρ Βοιωτίαν ἐκ τῆς ὁμόρου ἐλθόντες, τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν· καὶ εἰσὶ δήπου πολέμιοι, ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι, καὶ ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν. Νυνὶ δ' εἴ τῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω· οὐ γὰρ τὸ προμηθὲς οἷς ἂν ἄλλος ἐπίῃ, περὶ τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμὸν, καὶ ὅστις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ δὲ πλείονος ὀρεγόμενος, ἑκὼν τινι ἐπέρχεται· πάτριόν τε ὑμῖν, στρατὸν ἀλλόφυλον ἐπελ-

θέντι, καὶ ἐν τῇ οἰκείᾳ, καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι· Ἀθηναίους δὲ, καὶ προσέτι ὁμόρους ὄντας, πολλῷ μάλιστα δεῖ. πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται· καὶ πρὸς τούτους γε δὴ, οἳ καὶ μὴ τοὺς ἐγγὺς, ἀλλὰ καὶ τοὺς ἄπωθεν πειρῶνται δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; Παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας, καὶ τῆς ἄλλης Ἑλλάδος τὸ πολὺ, ὡς αὐτοῖς διάκειται· καὶ γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται· ἡμῖν δὲ ἐς πᾶσαν, ἢν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται· ἐσελθόντες γὰρ, βίᾳ τὰ ἡμέτερα ἕξουσι· τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχομεν. Εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας (ὥσπερ Ἀθηναῖοι νῦν) ἐπιόντες, τὸν μὲν ἡσυχάζοντα, καὶ ἐν τῇ ἑαυτοῦ μόνον ἀμυνόμενον, ἀδεέστερον ἐπιστρατεύειν· τὸν δὲ ἔξω ὅρων προαπαντῶντα, καὶ, ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα, ἧσσον ἑτοίμως κατέχειν. Πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούσδε· νικήσαντες γὰρ ἐν Κορωνείᾳ αὐτοὺς, ὅτε τὴν γῆν, ἡμῶν στασιαζόντων, κατέσχον, πολλὴν ἄδειαν ἐν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κατεστήσαμεν. Ὧν χρὴ μνησθέντας ἡμᾶς, τούς τε πρεσβυτέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶσθαι μὴ αἰσχῦναι τὰς προσηκούσας ἀρετάς· πιστεύσαντες δὲ τῷ θεῷ πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες, νέμονται, καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖσδε, καὶ δεῖξαι ὅτι ὧν μὲν ἐφίενται, πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθωσαν· οἷς δὲ γενναῖον τήν τε αὐτῶν αἰεὶ ἐλευθεροῦν μάχῃ, καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως, ἀναγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασι.

## ΠΑΡΑΚΕ'ΛΕΥΣΙΣ Ι'ΠΠΟΚΡΑ'ΤΟΥΣ.

Ὦ Ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός τε τοὺς ἀγαθοὺς ἄνδρας δύναται, καὶ ὑπόμνησιν μᾶλλον ἔχει, ἢ ἐπικέλευσιν. Παραστῇ δὲ μηδενὶ ὑμῶν, ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον τοσόνδε κίνδυνον ἀναῤῥιπτοῦμεν· ἐν γὰρ τῇ * τούτων, ὑπὲρ τῆς ὑμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ

μήπο-

μήποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τοῦ τῶνδε ἵππου ἐσβάλωσιν· ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προσκτᾶσθε, καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. Χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πατέρων, οἳ τούσδε μάχῃ κρατοῦντες μετὰ Μυρωνίδου ἐν Οἰνοφύτοις τὴν Βοιωτίαν ποτὲ ἔσχον.

# ΤΕ'ΛΟΣ.

ACADEMIA ESPAÑOLA BIBLIOTECA

REAL ACADEMIA ESPAÑOLA

REAL ACADEMIA ESPAÑOLA

REAL ACADEMIA ESPAÑOLA